This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

WIDENER LIBRARY
HX Q2RI .

Gt 55.130

HARVARD
COLLEGE
LIBRARY

THUCYDIDIS

DE

BELLO PELOPONNESIACO

LIBRI OCTO.

EX RECENSIONE

IMMANUELIS BEKKERI.

ACCEDUNT

SCHOLIA GRÆCA ET DUKERI WASSIIQUE ANNOTATIONES.

VOL. I.

OXONII,

APUD J. PARKER; ET R. BLISS:

LONDINI, APUD G. ET W. B. WHITTAKER: CANTABRIGIÆ,

APUD J. DEIGHTON ET FIL.

1821.

Gt55.130

Excudebant S. et J. Collingwood.

PRÆFATIO EDITORIS.

OPERÆ a me in Thucydide positæ partes sunt duæ, altera mea sponte suscepta, altera alienis rationibus concessa. Ego enim cum codices nactus essem nec notos antea et notis præstantes, ad emendandam iis nobilissimi scriptoris orationem utebar, scholiastam aut editores non attingebam. Redemptori aliter visum. Cui dum morem gero, id studui ut, quanquam quæ supervacua minusque necessaria ducerem non omnia tollebam, falsa tamen et inutilia pauca relinquerem. Itaque et scholia passim de conjectura refinxi, et nugis quorundam hominum abolitis Wassio ac Dukero, si quid nunc si revivisserent non videbantur posse scribere, remisi. Rursus criticum instrumentum ita administravi, ut quantum moli ejus detraherem, tantum pretio adderem. Addidi lectiones sane multas, quas a me e bonis libris accurate excerptas præstare possem; detraxi quicquid aut fide careret aut utilitate. Atque fide carere existimabam, quæ originem haberent aut incompertam aut dubiam, editiones primas, Stephanianæ marginem, conjecturas ex interpretatione Vallæ factas; utilitatem desiderabam eorum, quæ ex codicibus maximam partem recentissimis tradi solent de interpunctione, de littera paragogica, de apostropho, de universa orthographia.

Superest ut sigla codicum exponam. Est igitur

A. codex membr. f. max. qui cum ex Italia superiore Parisiensi bibliothecæ illatus esset, anno 1815 Austriacis redditus ubi nunc lateat nescio. Ejus folio ultimo inscriptum erat illud Θουκυδίδης ἐλέλιξεν (ita enim legebatur) τὸν νόον—πολυθρέπτοιο τιθήνης, additis pagina versa his: ἐμετρήθησαν τὰ φύλλα τοῦ παρόντος βιβλίου παρ' ἐμοῦ θεοδώρου, καὶ εὑρέθησαν ὄντα διακόσια ἐνενήκοντα καὶ ἕν. εἰσὶ δὲ ἐξ αὐτῶν κεκομμένα ἐξ ἀκ... δέκα τρία. καὶ ἐγράφησαν παρ' ἐμοῦ οἰκειοχείρως. Scholia ine-

rant, ad medium fere librum ab antiqua manu scripta, deinde a recentiore. Hunc ego anno 1812 Bellovaci apud Seguerium meum excussi.

B. Vaticanus 126. membr. f. paullo minore, fol. 188. versuum 30—32. qui singuli litteras habent 60—70. scriptura compendiis referta neque absimili Coisliniano 345. Scholia ab eadem manu adscripta. In ultima pagina epigrammatis illis, Θουκυδίδης ἐλέλιξεν, et Ὦ φίλος εἰ σοφὸς εἶ, subjecti versus iambici quatuor, litteris grandioribus:

χαῖρε — φῶν χα — θουκυδίδη
— γλῶτταν ἐστόμωσα τοῖς σοφοῖς λόγοις
ἠρόδοτε πρ — δώρεω —
— βραδεῖς γίνεσθε πρὸς παρουσίαν.

C. Laurentianus plut. 69. cod. 2. membr. f. max. litteris grandibus et rotundis, quæ Platonicum Δ referant. Versus habet vicenos septenos, litterarum 26—28. Folia sex ab initio recentia. Scholia et lemmata a recentiore manu satis multa, ab antiqua rara neque ante librum secundum. Subscriptionem mireris: DEO GRATIAS PETRUS SCRIPSIT. Hujus ego librum secundum, et primi capita 15—146. octavi 1—31. cum editis comparavi.

D. Marcianus 367. Bessarioneus, bomb. f. max. fol. 61. versuum 60—64. Præmissum folium recens vitam Thucydidis habet. Ego librum septimum comparavi.

E. Palatinus 252. Heidelberg. membr. f. max. fol. 326. versuum 32. manu Aristophanem Ravennatem et Photium Marcianum referente. Habet et Marcellinum. Scholia nec multa neque antiqua. Comparavi libros tertium et sextum, et primi capita ea quæ desunt Laurentiano.

F. Augustanus (Reiser. p. 69. n. 40.) membr. seculo duodecimo antiquior.

G. Basileensis s. Camerarianus.

H. Cassellanus, bomb. scriptus anno 1252.

I. Vindobonensis (n. 33. codd. histor. Gr. ap. Alter.)

K. Græviánus, chart.
L. Arundelianus.
M. Baroccianus, qui conciones tantum habet.
N. Clarendonianus (nunc Cant. Nn. 3. 18. teste P. P. Dobraeo ad Aristophan. Plut. 145.)
O. Claymondianus collegii Corporis Christi Oxon.
P. Danicus s. Hafniensis.
Q. Mosquensis 217. chart.
a. Parisiensis 1868, qui finitur primi libri capite 40.
b. ——— 1791—2.
c. ——— 1636 (ol. 2537). chart. fol. 195.
d. ——— 1637 (ol. 2645). membr. fol. 226.
e. ——— 1733.
f. ——— 1735 (ol. 3046). chart. fol. 325.
g. ——— 1736 (ol. 3044). chart. fol. 357. Dukeri Regius.
h. ——— 1734. (ol. 3047). chart. fol. 396.
i. ——— 1638.
k. ——— 317.

Parisienses cum valde recentes esse omnes viderem, inspexi, non pertractavi; quo factum est ut non nisi in sexto libro aliquoties discesserim a Gailio. Ceteros non vidi.

Scrib. Berolini Cal. Feb. a. 1821.

ΜΑΡΚΕΛΛΙΝΟΥ

ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ ΒΙΟΥ

ΚΑΙ ΤΗΣ ΙΔΕΑΣ ΑΥΤΟΥ

ΑΠΟ ΤΗΣ ΟΛΗΣ ΕΥΓΓΡΑΦΗΣ ΠΑΡΕΚΒΟΛΗ.

Τῶν Δημοσθένους μύστας γεγενημένους θείων λόγων τε καὶ ἀγώνων, συμβουλευτικῶν τε καὶ δικανικῶν νοημάτων μεστοὺς γενομένους καὶ ἱκανῶς ἐμφορηθέντας, ὥρα λοιπὸν καὶ τῶν Θουκυδίδου τελετῶν ἐντὸς καταστῆναι· πολὺς γὰρ ὁ ἀνὴρ τέχναις καὶ κάλλει λόγων καὶ ἀκριβείᾳ πραγμάτων καὶ στρατηγίᾳ καὶ συμβουλαῖς καὶ πανηγυρικαῖς ὑποθέσεσιν. ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν τοῦ ἀνδρὸς καὶ τὸ γένος καὶ τὸν βίον· πρὸ γὰρ τῶν λόγων ταῦτα ἐξεταστέον τοῖς φρονοῦσι καλῶς. Θουκυδίδης τοίνυν ὁ συγγραφεὺς Ὀλόρου μὲν προῆλθε πατρὸς, τὴν ἐπωνυμίαν ἔχοντος ἀπὸ Ὀλόρου τοῦ Θρᾳκῶν βασιλέως, καὶ μητρὸς Ἡγησιπύλης, ἀπόγονος δὲ τῶν εὐδοκιμωτάτων στρατηγῶν, λέγω δὴ τῶν περὶ Μιλτιάδην καὶ Κίμωνα. ᾠκείωτο δὲ ἐκ παλαιοῦ τῷ γένει πρὸς Μιλτιάδην τὸν στρατηγόν, τῷ δὲ Μιλτιάδῃ πρὸς Αἰακὸν τὸν Διός. οὕτως αὐχεῖ τὸ γένος ὁ συγγραφεὺς ἄνωθεν. καὶ τούτοις Δίδυμος μαρτυρεῖ, Φερεκύδην ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν φάσκων οὕτως λέγειν· "Φιλαίας δὲ ὁ Αἴαντος οἰκεῖ ἐν ταῖς Ἀθήναις. ἐκ τούτου δὲ γίγνεται Δάϊκλος[a], τοῦ δὲ Ἐπίδυκος, τοῦ δὲ Ἀκέστωρ, τοῦ δὲ Ἀγήνωρ, τοῦ δὲ Ὄλιος, τοῦ δὲ Λύκης· τοῦ δὲ Τύφων, τοῦ δὲ Λάϊος, τοῦ δὲ Ἀγαμήστωρ, τοῦ δὲ Τίσανδρος, ἐφ' οὗ ἄρχοντος ἐν Ἀθήναις * τοῦ δὲ Μιλτιάδης, τοῦ δὲ Ἱπποκλείδης, ἐφ' οὗ ἄρχοντος Παναθήναια ἐτέθη * τοῦ

[a] Forsan Αἴκλος. CASAUBON.

δὲ Μιλτιάδης, ὃς ᾤκισε Χερρόνησον." μαρτυρεῖ τούτοις καὶ Ἑλλάνικος ἐν τῇ ἐπιγραφομένῃ Ἀσώπιδι. ἀλλ' οὐκ ἂν εἴποι τις, τί αὐτῷ πρὸς Θουκυδίδην; ἔστι γὰρ οὗτος τούτου συγγενής. Θρᾷκες καὶ Δόλοπες[b] ἐπολέμουν πρὸς Ἀψινθίους, ὄντας γείτονας· ταλαιπωρούμενοι δὲ τῷ πολέμῳ, καὶ τί κακὸν οὐ πάσχοντες ἐκ τοῦ μεῖον ἔχειν ἀεὶ τῶν πολεμίων, καταφεύγουσιν ἐπὶ τὰ τοῦ θεοῦ χρηστήρια, εἰδότες ὅτι μόνος ὁ θεὸς ἐξ ἀμηχάνων εὑρίσκει πόρους. θεῶν γὰρ ἰσχὺς καὶ κατ' Αἰσχύλον[c] ὑπερτέρα· πολλάκις δ' ἐν κακοῖσι τὰν ἀμήχανον ἐκ χαλεπᾶς δύας, ὑπέρ τε ὀμμάτων κρημναμέναν νεφέλαν ὀρθοῖ. καὶ οὐκ ἐψεύσθησαν τῶν ἐλπίδων· ἐχρήσθησαν γὰρ κράτιστον ἕξειν ἡγεμόνα τοῦτον, ὃς ἂν αὐτοὺς ἀλωμένους ἐπὶ ξενίαν καλέσοι. τότε καὶ Κροῖσος εἶχε Λυδίαν καὶ τὰς Ἀθήνας ἡ Πεισιστρατιδῶν τυραννίς. ἐπανιόντες οὖν ἀπὸ τοῦ χρηστηρίου περιέτυχον τῷ Μιλτιάδῃ πρὸ τῶν ὅρων καθεζομένῳ τῆς Ἀττικῆς[d], ἀχθομένῳ μὲν τῇ τυραννίδι, δικαίαν δὲ ζητοῦντι τῆς Ἀττικῆς ἔξοδον· ταῦτα γὰρ ᾠκονόμησεν ὁ χρησμὸς αὐτοῖς. ὁρῶν οὖν αὐτοὺς πλανήτων ἔχοντας στολήν, συνεὶς τί δύναται πλάνη, καλεῖ τοὺς ἄνδρας ἐπὶ ξενίαν, ὑπηρετῶν τῷ χρησμῷ λανθάνων. οἱ δ' ἥσθησαν τὸν ἡγεμόνα τὸν ἀπὸ τῶν ξενίων εἰληφότες, καὶ πάντα αὐτῷ διηγησάμενοι στρατηγὸν ἐχειροτόνησαν αὐτόν. οἱ μὲν οὖν τὸν θεὸν φασιν ἐρωτήσαντα ἐξελθεῖν, οἱ δὲ οὐκ ἄνευ γνώμης τοῦ τυράννου τὴν ἔξοδον πεποιηκέναι, ἀλλὰ τῷ κρατοῦντι τὴν πρόσκλησιν τῶν Θρᾳκῶν διηγησάμενον ἀπελθεῖν. ὃς καὶ προσδοὺς δύναμιν ἀπέπεμψεν, ἡσθεὶς ὅτι μέγα δυνάμενος ἀνὴρ ἕξεισι τῶν Ἀθηνῶν. οὗτος οὖν ἡγούμενος ἐπλήρωσε τὰ μεμαντευμένα, καὶ μετὰ τὴν νίκην γίνεται καὶ Χερρονήσου οἰκιστής. ἀποθανόντος δὲ μετὰ παιδὸς αὐτοῦ, διαδέχεται τὴν ἐν Χερρονήσῳ ἀρχὴν Στησαγόρας [ὁ] ἀδελφὸς αὐτοῦ ὁμομήτριος. ἀποθανόντος δὲ καὶ τούτου, διαδέχεται τὴν ἀρχὴν Μιλτιάδης, ὁμώνυμος μὲν τῷ

[b] Δόλογκοι Wesseling. ad Herodot. p. 452.

[c] Septem 200.

[d] Immo πρὸ τῶν θυρῶν καθεζομένῳ τῆς αὐτοῦ οἰκίας, ut dudum correxit Rutgersius.

πρώτῳ οἰκιστῇ, ἀδελφὸς δὲ Στησαγόρου ὁμομήτριος καὶ ὁμοπάτριος. οὗτος οὖν, ὄντων αὐτῷ παίδων ἐξ Ἀττικῆς γυναικὸς, ὅμως ἐπιθυμῶν δυναστείας λαμβάνει Θρᾳκῶν βασιλέως Ὀλόρου θυγατέρα Ἡγησιπύλην πρὸς γάμον. ἐξ οὗ καὶ αὐτῆς γίνεται παιδίον. κατελθόντων δὲ εἰς τὴν Ἑλλάδα Περσῶν συσκευασάμενος τὰ αὐτοῦ εἰς τὰς Ἀθήνας πέμπει, καὶ τὰ πολλὰ τοῦ γένους ἀποστέλλει. ἡ δὲ ναῦς ἁλίσκεται, ἐν ᾗ καὶ οἱ παῖδες αὐτοῦ, ἀλλ' οὐχ οἱ ἐκ τῆς γυναικὸς τῆς Θρᾳκικῆς· ἀφίενται δ' ὑπὸ βασιλέως, εἴγε μὴ Ἡρόδοτος ψεύδεται. Μιλτιάδης δ' εἰς τὴν Ἀττικὴν ἐκ Θρᾴκης διαφυγὼν σώζεται. οὐκ ἀπέδρα δὲ καὶ τὴν τῶν [ἐχθρῶν] συκοφαντίαν· ἐγκλήματα γὰρ αὐτῷ [ἐπέφερον,] διεξιόντες [αὐτοῦ] τὴν τυραννίδα [τὴν ἐν Χερρονήσῳ.] ἀποφεύγει δὲ [καὶ τούτους, καὶ] στρατηγὸς τοῦ πρὸς τοὺς βαρβάρους πολέμου γίγνεται. ἀπὸ τούτου οὖν κατάγεσθαί φασι τὸ Θουκυδίδου γένος, καὶ μέγιστον τεκμήριον νομίζουσι τὴν πολλὴν περιουσίαν καὶ τὰ ἐπὶ Θρᾴκης κτήματα καὶ μέταλλα χρυσᾶ. δοκεῖ οὖν τισὶν [ἀδελφιδοῦς] εἶναι τοῦ Μιλτιάδου ἢ θυγατριδοῦς. παρέσχε δ' ἡμῖν τηνάλλως αὐτὸς ζήτησιν, μηδεμίαν μνήμην περὶ τοῦ γένους πεποιημένος. μὴ ἀγνοῶμεν δὲ τοῦτο, ὅτι Ὄρολος ὁ πατὴρ αὐτῷ ἐστὶ, τῆς μὲν πρώτης συλλαβῆς τὸ ῥ ἐχούσης, τῆς δὲ δευτέρας τὸ λ. αὕτη γὰρ ἡ γραφὴ, ὡς καὶ Διδύμῳ δοκεῖ, ἡμάρτηται. ὅτι γὰρ Ὄρολός ἐστιν, ἡ στήλη δηλοῖ ἡ ἐπὶ τοῦ τάφου αὐτοῦ κειμένη, ἔνθα κεχάρακται

Θουκυδίδης Ὀρόλου Ἀλιμούσιος ἐνθάδε κεῖται.

πρὸς γὰρ ταῖς Μελιτίσι πύλαις καλουμέναις ἐστὶν ἐν Κοίλῃ τὰ καλούμενα Κιμώνια μνήματα, ἔνθα δείκνυται Ἡροδότου καὶ Θουκυδίδου τάφος, εὑρίσκεται δηλονότι τοῦ Μιλτιάδου γένους ὄντως· ξένος γὰρ οὐδεὶς ἐκεῖ θάπτεται. καὶ Πολέμων δὲ ἐν τῷ περὶ ἀκροπόλεως μαρτυρεῖ· ἔνθα * καὶ θεο * [c] αὐτῷ γεγενῆσθαι προσιστορεῖ. ὁ δὲ Ἕρμιππος καὶ ἀπὸ τῶν Πεισιστρατιδῶν αὐτὸν λέγει τῶν τυράννων ἕλκειν τὸ γένος, διὸ καὶ διαφθονεῖν αὐ-

[c] ἔνθα καὶ Τιμόθεον υἱὸν αὐτῷ Casaubon. secutus Suidam v. Θουκυδίδης.

τόν φησιν ἐν τῇ συγγραφῇ ταῖς περὶ Ἁρμοδίου καὶ Ἀριστογείτονα, λέγοντα ὡς οὐκ ἐγένοντο τυραννοφόνοι· οὐ γὰρ ἐφόνευσαν τὸν τύραννον, ἀλλὰ τὸν ἀδελφὸν τοῦ τυράννου Ἵππαρχον. ἠγάγετο δὲ γυναῖκα ἀπὸ Σκαπτῆς ὕλης τῆς Θράκης πλουσίαν σφόδρα καὶ μέταλλα κεκτημένην ἐν τῇ Θράκῃ. τοῦτον δὲ τὸν πλοῦτον λαμβάνων οὐκ εἰς τρυφὴν ἀνήλισκεν, ἀλλὰ πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου τὸν πόλεμον αἰσθηθεὶς κινεῖσθαι μέλλοντα, προελόμενος συγγράψαι αὐτὸν παρεῖχε πολλὰ τοῖς Ἀθηναίων στρατιώταις καὶ τοῖς Λακεδαιμονίων καὶ πολλοῖς ἄλλοις, ἵνα ἀπαγγέλλοιεν αὐτῷ βουλομένῳ συγγράφειν τὰ γινόμενα κατὰ καιρὸν καὶ λεγόμενα ἐν αὐτῷ τῷ πολέμῳ. ζητητέον δὲ διὰ τί καὶ Λακεδαιμονίοις παρεῖχε καὶ ἄλλοις, ἐξὸν Ἀθηναίοις μόνοις διδόναι καὶ παρ' ἐκείνων μανθάνειν. καὶ λέγομεν ὅτι οὐκ ἀσκόπως καὶ τοῖς ἄλλοις παρεῖχε· σκοπὸς γὰρ ἦν αὐτῷ τὴν ἀλήθειαν τῶν πραγμάτων συγγράψαι, εἰκὸς δὲ ἦν Ἀθηναίους πρὸς τὸ χρήσιμον ἀπαγγέλλοντας τὸ ἑαυτῶν ψεύδεσθαι, καὶ λέγειν πολλάκις ὡς ἡμεῖς ἐνικήσαμεν, οὐ νικήσαντες. διὸ πᾶσι παρεῖχεν, ἐκ τῆς τῶν πολλῶν συμφωνίας θηρώμενος τὴν τῆς ἀληθείας κατάληψιν· τὸ γὰρ ἀσαφὲς ἐξελέγχεται τῇ τῶν πολλῶν συναδούσῃ συμφωνίᾳ. Ἤκουσε δὲ διδασκάλων Ἀναξαγόρου μὲν ἐν φιλοσόφοις, ὅθεν, φησὶν Ἀντυλλος, καὶ ἄθεος ἠρέμα ἐνομίσθη, τῆς ἐκεῖθεν θεωρίας ἐμφορηθείς, Ἀντιφῶντος δὲ ῥήτορος, δεινοῦ τὴν ῥητορικὴν ἀνδρὸς, οὗ καὶ μέμνηται ἐν τῇ ὀγδόῃ ὡς αἰτίου τῆς καταλύσεως τῆς δημοκρατίας καὶ τῆς τῶν τετρακοσίων καταστάσεως. ὅτι δὲ μετὰ τὸν θάνατον τιμωρούμενοι τὸν Ἀντιφῶντα οἱ Ἀθηναῖοι ἔῤῥιψαν ἔξω τῆς πόλεως τὸ σῶμα, σεσιώπηκεν, ὡς διδασκάλῳ χαριζόμενος· λέγεται γὰρ ὡς ἔῤῥιψαν αὐτοῦ τὸ σῶμα οἱ Ἀθηναῖοι ὡς αἰτίου τῆς μεταβολῆς τῆς δημοκρατίας. οὐκ ἐπολιτεύσατο δὲ ὁ συγγραφεὺς γενόμενος ἐν ἡλικίᾳ, οὐδὲ προσῆλθε τῷ βήματι, ἐστρατήγησε δὲ ἀρχέκακον ἀρχὴν παραλαβών· ἀπὸ γὰρ ταύτης φυγαδεύεται. πεμφθεὶς γὰρ ἐπ' Ἀμφίπολιν, Βρασίδου φθάσαντος καὶ προλαβόντος αὐτὴν ἔσχεν αἰτίαν, καίτοι μὴ

πάντα καταστὰς ἀνόητος Ἀθηναίοις· τῆς μὲν γὰρ ἁμαρτάνει, Ἠιόνα δὲ τὴν ἐπὶ Στρυμόνι λαμβάνει. ἀλλὰ καὶ οὗτοι, τὸ πρῶτον ἀτύχημα εἰς ἁμάρτημα μεταλαβόντες, φυγαδεύουσιν αὐτόν. γενόμενος δ' ἐν Αἰγίνῃ μετὰ τὴν φυγήν, ὡς ἂν πλουτῶν, ἐθάνεισε τὰ πλεῖστα τῶν χρημάτων. ἀλλὰ κἀκεῖθεν μετῆλθε, καὶ διατρίβων ἐν Σκαπτῇ ὕλῃ ὑπὸ πλατάνῳ ἔγραφε· μὴ γὰρ δὴ πειθόμενοι Τιμαίῳ λέγωσι ὡς φυγὼν ᾤκησεν ἐν Ἰταλίᾳ. ἔγραφε δ' οὐδ' οὕτω μωσικακῶν τοῖς Ἀθηναίοις, ἀλλὰ φιλαλήθης ὢν καὶ τὰ ἤθη μέτριος, εἴγε οὔτε Κλέων παρ' αὐτῷ οὔτε Βρασίδας ὁ τῆς συμφορᾶς αἴτιος ἀπέλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου. καίτοι οἱ πολλοὶ τοῖς ἰδίοις πάθεσι συνέθεσαν τὰς ἱστορίας, ἥκιστα μελήσαν αὐταῖς τῆς ἀληθείας. Ἡρόδοτος μὲν γὰρ ὑπεροφθεὶς ὑπὸ Κορινθίων, ἀποδρᾶναί φησιν αὐτοὺς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν· Τίμαιος δ' ὁ Ταυρομενίτης Τιμολέοντα ὑπερεπῄνεσε τοῦ μετρίου, καθότι Ἀνδρόμαχον τὸν αὐτοῦ πατέρα οὐ κατέλυσε τῆς μοναρχίας· Φίλιστος δὲ τῷ νέῳ Διονυσίῳ τοῖς λόγοις πολεμεῖ· Ξενοφῶν δὲ Μένωνι λοιδορεῖται τῷ Πλάτωνος ἑταίρῳ διὰ τὸν πρὸς Πλάτωνα ζῆλον. ὁ δὲ μέτριος καὶ ἐπιεικὴς, τῆς ἀληθείας ἥττων.

Μὴ ἀγνοῶμεν δὲ ὅτι ἐγένοντο Θουκυδίδαι πολλοὶ, οὗτός τε ὁ Ὀλόρου παῖς, καὶ δεύτερος δημαγωγὸς, Μιλησίου, ὃς καὶ Περικλεῖ διεπολιτεύσατο· τρίτος δὲ γένει Φαρσάλιος, οὗ μέμνηται Πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως, φάσκων αὐτὸν εἶναι πατρὸς Μένωνος· τέταρτος ἄλλος Θουκυδίδης ποιητὴς, τὸν δῆμον Ἀχερδούσιος, οὗ μέμνηται Ἀνδροτίων ἐν τῇ Ἀτθίδι, λέγων εἶναι πατρὸς Ἀρίστωνος· συνεχρόνισε δ', ὡς φησι Πραξιφάνης ἐν τῷ περὶ ἱστορίας, Πλάτωνι τῷ κωμικῷ, Ἀγάθωνι τραγικῷ, Νικηράτῳ ἐποποιῷ καὶ Χοιρίλῳ καὶ Μελανιππίδῃ. καὶ ἐκεῖ μὲν ἔζη Ἀρχέλαος, ἄδοξος ἦν ὡς ἐπὶ πλεῖστον, ὡς αὐτὸς Πραξιφάνης φησίν· ὕστερον δὲ δαιμονίως ἐθαυμάσθη. οἱ μὲν οὖν ἐκεῖ λέγουσιν αὐτὸν ἀποθανεῖν, ἔνθα καὶ διέτριβε φυγὰς ὤν, καὶ φέρουσι μαρτύριον τοῦ μὴ κεῖσθαι τὸ σῶμα ἐπὶ τῆς Ἀττι-

κῆς· ἰκρίον γὰρ ἐπὶ τοῦ τάφου κεῖσθαι, τοῦ κενοταφίου δὲ τοῦτο γνώρισμα εἶναι ἐπιχώριον καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ τοιαύτῃ δυστυχίᾳ τετελευτηκότων καὶ μὴ ἐν Ἀθήναις ταφέντων. Δίδυμος δ' ἐν Ἀθήναις, ἀπὸ τῆς φυγῆς ἑλθόντα, βιαίῳ θανάτῳ φησὶν ἀποθανεῖν· τοῦτο δέ φησι Ζώπυρον ἱστορεῖν. τοὺς γὰρ Ἀθηναίους κάθοδον δεδωκέναι τοῖς φυγάσι, πλὴν τῶν Πεισιστρατιδῶν, μετὰ τὴν ἧτταν τὴν ἐν Σικελίᾳ· ἥκοντα οὖν αὐτὸν ἀποθανεῖν βίᾳ, καὶ τεθῆναι ἐν τοῖς Κιμωνίοις μνήμασι. καὶ καταγινώσκειν εὐήθειαν ἔφη τῶν νομιζόντων αὐτὸν ἐκτὸς μὲν τετελευτηκέναι, ἐπὶ γῆς δὲ τῆς Ἀττικῆς τεθάφθαι. εἰ γὰρ οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρῴοις μνήμασι συλλήβδην τεθεὶς[f], οὐκ ἂν ἔτυχεν οὔτε στήλης οὔτε ἐπιγράμματος, ἢ τῷ τάφῳ προσκειμένη τοῦ συγγραφέως μηνύει τοὔνομα. ἀλλὰ δῆλον ὅτι κάθοδος ἐδόθη τοῖς φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει καὶ Δημήτριος ἐν τοῖς ἄρχουσιν. ἐγὼ δὲ Ζώπυρον ληρεῖν νομίζω, λέγοντα τοῦτον ἐν Θράκῃ τετελευτηκέναι, κἂν ἀληθεύειν νομίζῃ Κράτιππος αὐτόν. τὸ δ' ἐν Ἰταλίᾳ Τίμαιον αὐτὸν καὶ ἄλλους λέγειν κεῖσθαι, μὴ καὶ σφόδρα καταγέλαστον ᾖ. λέγεται δ' αὐτὸν τὸ εἶδος γεγονέναι, σύννουν μὲν τὸ πρόσωπον, τὴν δὲ κεφαλὴν καὶ τὰς τρίχας εἰς ὀξὺ πεφυκυίας, τήν τε λοιπὴν ἕξιν προσπεφυκέναι τῇ συγγραφῇ. παύσασθαι δὲ τὸν βίον ὑπὲρ τὰ πεντήκοντα ἔτη, μὴ πληρώσαντα τῆς συγγραφῆς τὴν προθεσμίαν.

Ζηλωτὴς δὲ γέγονεν ὁ Θουκυδίδης εἰς μὲν τὴν οἰκονομίαν Ὁμήρου, Πινδάρου δὲ εἰς τὸ μεγαλοφυὲς καὶ ὑψηλὸν τοῦ χαρακτῆρος, ἀσαφῶς δὲ λέγων ἀνὴρ[g] ἐπίτηδες, ἵνα μὴ πᾶσιν εἴη βατὸς, μηδὲ εὐτελὴς φαίνηται παντὶ τῷ βουλομένῳ νοούμενος εὐχερῶς, ἀλλὰ τοῖς λίαν σοφοῖς δοκιμαζόμενος παρὰ τούτοις θαυμάζηται· ὁ γὰρ τοῖς ἀρίστοις ἐπαινούμενος καὶ κεκριμένην δόξαν λαβὼν ἀνάγραπτον εἰς τὸν ἔπειτα χρόνον κέκτηται τὴν τιμὴν, οὐ κινδυνεύουσαν ἐξαλειφθῆναι τοῖς ἐπικρίνουσιν. ἐζή-

[f] Leg. ἢ γὰρ οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρῴοις μνήμασιν, ἢ κλέβδην τεθεὶς οὐκ ἄν—.

[g] Fortasse ὁ ἀνὴρ.

λωσε δὲ ἐπ' ὀλίγον, ὥς φησιν Ἀντυλλος, καὶ τὰς Γοργίου τοῦ Λεοντίνου παρισώσεις καὶ τὰς ἀντιθέσεις τῶν ὀνομάτων, εὐδοκιμούσας κατ' ἐκεῖνο καιροῦ παρὰ τοῖς Ἕλλησι, καὶ μέντοι καὶ Προδίκου τοῦ Κείου τὴν ἐπὶ τοῖς ὀνόμασιν ἀκριβολογίαν. μάλιστα δὲ πάντων, ὅπερ εἴπομεν, ἐζήλωσεν Ὅμηρον, καὶ τῆς περὶ τὰ ὀνόματα ἐκλογῆς καὶ τῆς περὶ τὴν σύνθεσιν ἀκριβείας, τῆς τε ἰσχύος τῆς κατὰ τὴν ἑρμηνείαν, καὶ τοῦ κάλλους καὶ τοῦ τάχους. τῶν δὲ πρὸ αὐτοῦ συγγραφέων τε καὶ ἱστορικῶν ἀψύχους ὥσπερ εἰσαγόντων τὰς συγγραφὰς, καὶ ψιλῇ μόνῃ χρησαμένων διὰ παντὸς διηγήσει, προσώποις δὲ οὐ περιθέντων λόγους τινὰς οὐδὲ ποιησάντων δημηγορίας, ἀλλ' Ἡροδότου μὲν ἐπιχειρήσαντος, οὐ μὴν ἐξισχύσαντος (δι' ὀλίγων γὰρ ἐποίησε λόγων, ὡς προσωποποιΐας μᾶλλον ἢπερ δημηγορίας) μόνος ὁ συγγραφεὺς ἐξεῦρέ τε δημηγορίας, καὶ τελείως ἐποίησε μετὰ κεφαλαίων καὶ διαιρέσεως, ὥστε καὶ στάσει ὑποπίπτειν τὰς δημηγορίας· ὅπερ ἐστὶ λόγων τελείων εἰκών. τριῶν δὲ ὄντων χαρακτήρων φραστικῶν, ὑψηλοῦ, ἰσχνοῦ, μέσου, παρεὶς τοὺς ἄλλους ἐζήλωσε τὸν ὑψηλὸν, ὡς ὄντα τῇ φύσει πρόσφορον τῇ οἰκείᾳ καὶ τῷ μεγέθει πρέποντα τοῦ τοσούτου πολέμου· ὧν γὰρ αἱ πράξεις μεγάλαι, καὶ τὸν περὶ αὐτῶν ἔπρεπε λόγον ἐοικέναι ταῖς πράξεσιν. ἵνα δὲ μηδὲ τοὺς ἄλλους ἀγνοῇς χαρακτῆρας, ἴσθι ὅτι μέσῳ μὲν Ἡρόδοτος ἐχρήσατο, ὃς οὔτε ὑψηλός ἐστιν οὔτε ἰσχνὸς, ἰσχνῷ δὲ ὁ Ξενοφῶν. διά γε οὖν τὸ ὑψηλὸν ὁ Θουκυδίδης καὶ ποιητικαῖς πολλάκις ἐχρήσατο λέξεσι, καὶ μεταφοραῖς τισί. περὶ δὲ πάσης τῆς συγγραφῆς ἐτόλμησάν τινες ἀποφήνασθαι, ὅτι αὐτὸ τὸ εἶδος τῆς συγγραφῆς οὐκ ἔστι ῥητορικῆς, ἀλλὰ ποιητικῆς. καὶ ὅτι μὲν οὐκ ἔστι ποιητικῆς, δῆλον ἐξ ὧν οὐχ ὑποπίπτει μέτρῳ τινί. εἰ δέ τις ἡμῖν ἀντείποι ὅτι οὐ πάντως ὁ πεζὸς λόγος ῥητορικῆς ἐστὶν, ὥσπερ οὐδὲ τὰ Πλάτωνος συγγράμματα οὐδὲ τὰ ἰατρικὰ, λέγομεν ὅτι ἀλλ' ἡ συγγραφὴ κεφαλαίοις διαιρεῖται καὶ ἐπὶ εἶδος ἀνάγεται ῥητορικῆς, κοινῶς μὲν πᾶσα συγγραφὴ ἐπὶ τὸ συμβουλευτικὸν (ἄλλοι δὲ καὶ ὑπὸ τὸ πανηγυρικὸν ἀνάγουσι, φάσκοντες ὅτι ἐγκω-

μιάζει τοὺς ἀρίστους ἐν τοῖς πολέμοις γενομένους), ἐξαιρέτως δὲ ἡ Θουκυδίδου ἐν τοῖς τρισὶν εἴδεσιν ὑποπίπτει, τῷ μὲν συμβουλευτικῷ διὰ τῶν ὅλων δημηγοριῶν, πλὴν τῆς Πλαταιέων καὶ Θηβαίων ἐν τῇ τρίτῃ, τῷ δὲ παηγυρικῷ διὰ τοῦ ἐπιταφίου, τῷ δὲ δικανικῷ διὰ τῆς δημηγορίας τῶν Πλαταιέων καὶ τῶν Θηβαίων, ας ἑκατέρω τῶν ἄλλων ὑπεξειλέμεθα. ὅπου γὰρ δικασταὶ κρίνουσι Λακεδαιμονίων οἱ παραγενόμενοι, καὶ κρίνεται πρὸς τὴν ἐρώτησιν ὁ Πλαταιεὺς καὶ ἀπολογεῖται περὶ ἂν ἐρωτῶσι, διὰ πλειόνων τοὺς λόγους ποιούμενος, καὶ ἀντιλέγει τούτοις ὁ Θηβαῖος, εἰς ὀργὴν τὸν Λακεδαιμόνιον προκαλούμενος, ἡ τῶν λόγων τάξις καὶ μέθοδος καὶ τὸ σχῆμα, δικανικὸν καθαρῶς ἀποφαίνει τὸ εἶδος.

Λέγουσι δέ τινες τὴν ὀγδόην ἱστορίαν νοθεύεσθαι καὶ μὴ εἶναι Θουκυδίδου, ἀλλ' οἱ μέν φασιν εἶναι τῆς θυγατρὸς αὐτοῦ, οἱ δὲ Ξενοφῶντος. πρὸς οὓς λέγομεν ὅτι τῆς μὲν θυγατρὸς ὡς οὐκ ἔστι, δῆλον. σὺ γὰρ γυναικείας ἦν φύσεως τοιαύτην ἀρετήν τε καὶ τέχνην μεμήσασθαι ἔπειτα, εἰ τοιαύτη τις ἦν, οὐκ ἂν ἐσπούδασε λαθεῖν, οὐδ' ἂν τὴν ὀγδόην ἔγραφε μόνον, ἀλλὰ καὶ ἄλλα πολλὰ κατέλιπεν ἄν, τὴν οἰκείαν ἀποφαίνουσα φύσιν. ὅτι δὲ οὐδὲ Ξενοφῶντός ἐστιν, ὁ χαρακτὴρ μέσον τινὰ βαίνει· πολὺ γὰρ τὸ μέσον ἰσχνοῦ χαρακτῆρος καὶ ἁβρηλοῦ. οὐ μὴν οὐδὲ Θεοπόμπου, καθά τινες ᾠήθησαν. τισὶ δὲ, καὶ μᾶλλον τοῖς χαριεστέροις, Θουκυδίδου μὲν εἶναι δοκεῖ, ἄλλως δ' ἀκαλλώπιστος, δι' ἐκτύπων γεγραμμένη, καὶ πολλῶν πλήρης ἐν κεφαλαίῳ πραγμάτων καλλωπισθῆναι καὶ λαβεῖν ἔκτασιν δυναμένων. ἔνθεν καὶ λέγομεν ὡς ἀσθενέστερον πέφρασται, καὶ ὀλίγον[h] καθότι ἀῤῥωστῶν αὐτὴν φαίνεται συντεθεικώς. ἀσθενοῦντος δὲ σώματος βραχύ τι καὶ ὁ λογισμὸς ἀτονώτερος εἶναι φιλεῖ· μικροῦ γὰρ συμπάσχουσιν ἀλλήλοις ὅ τε λογισμὸς καὶ τὸ σῶμα. ἀπέθανε δὲ μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν ἐν τῇ Θράκῃ, συγγράφων τὰ πράγματα τοῦ εἰκοστοῦ καὶ πρώτου ἐνιαυτοῦ. εἴκοσι γὰρ καὶ ἑπτὰ κατέσχεν ὁ

[h] An fuit ὀλίγου?

πολεμος. τὰ δὲ τῶν ἄλλων ἐξ ἐτῶν πράγματα ἀνεπληροῖ ὅ, τε Θεόπομπος καὶ ὁ Ξενοφῶν, οἷς συνάπτει τὴν Ἑλληνικὴν ἱστορίαν. Ἱστέον δὲ ὅτι στρατηγήσας ὁ Θουκυδίδης ἐν Ἀμφιπόλει, καὶ δόξας ἐκεῖ βραδέως ἀφικέσθαι, καὶ προλαβόντος αὐτὸν τοῦ Βρασίδου, ἐφυγαδεύθη ὑπ' Ἀθηναίων, διαβάλλοντος αὐτὸν τοῦ Κλέωνος· διὸ καὶ ἀπεχθάνεται τῷ Κλέωνι, καὶ ὡς μεμηνότα αὐτὸν εἰσάγει πανταχοῦ. καὶ ἀπελθὼν, ὥς φησιν, ἐν τῇ Θράκῃ, τὸ κάλλος ἐκεῖ τῆς συγγραφῆς συνέθηκεν. ἀφ' οὗ μὲν γὰρ ὁ πόλεμος ἤρξατο, ὑσημειοῦτο τὰ λεγόμενα ἅπαντα καὶ τὰ πραττόμενα, οὐ μὴν κάλλιστα ἐφρόντισε τὴν ἀρχὴν ἀλλ' ἡ τοῦ μέσου σῶσα τῇ σημειώσει τὰ πράγματα· ὕστερον δὲ μετὰ τὴν ἐξορίαν ἐν Σκαπτῇ ὕλῃ τῆς Θράκης χωρίῳ διατρίβοντες, συνέταξε μετὰ κάλλους ἃ ἐξ ἀρχῆς μόνον ὑσημειοῦτο διὰ τὴν μνήμην. ἔστι δὲ τοῖς μύθοις ἐναντίος διὰ τὸ χαίρειν ταῖς ἀληθείαις. οὐ γὰρ ἐπετήδευσε τοῖς ἄλλοις ταυτὸν συγγραφεῦσιν οὐδὲ ἱστορικοῖς, οἳ μύθους ἐγκατέμιξαν ταῖς ἑαυτῶν ἱστορίαις, τοῦ παρεικὸς πλέον τῆς ἀληθείας ἀντιποιούμενοι. ἀλλ' ἐκεῖνοι μὲν οἷον τῷ συγγραφεῖ δ' οὐκ ἐμέλησε πρὸς τέρψιν τῶν ἀκουόντων, ἀλλὰ πρὸς ἀκρίβειαν τῶν μανθανόντων γράφειν. καὶ γὰρ ὠνόμασεν ἀγώνισμα τὴν ἑαυτοῦ συγγραφήν. πολλὰ γὰρ τῶν πρὸς ἡδονὴν ἀπέφυγε, τὰς παρενθήκας, ἃς εἰώθασι ποιεῖν οἱ πλείονες, ἀποκλίνοις, ὅπου γε καὶ παρ' Ἡροδότῳ καὶ ὁ Δελφίς ἐστιν ὁ φιλήκοος καὶ Ἀρίων ὁ κιθαρῳδούμενος μουσικῇ, καὶ ὅλως ἡ δευτέρα τῶν ἱστοριῶν τὴν ὑπόθεσιν ψεύδεται. ὁ δὲ συγγραφεὺς οὗτος, ἂν ἀναμνησθῇ τινὸς περιττοῦ, διὰ μὲν τὴν ἀνάγκην λέγει, διηρεῖται δὲ μόνον εἰς γνῶσιν τῶν ἀκουόντων ἀφικνούμενος. ὅ τε γὰρ περὶ Τηρέως αὐτῷ λόγος πέφρασται μόνον περὶ παθῶν τῶν γυναικῶν, ἥ τε Κυκλώπων ἱστορία τῶν τόπων ἐφαπτομενεύθη χάριν, καὶ ὁ Ἀλκμαίων, ὅτε σωφρονεῖ[1], μαπρολογεύεται, ἔνθα τὰ τῆς σωφροσύνης αὐτοῦ πάσους ποιεῖ, τὰ δ' ἄλλα οὐκ ἀφεμβοῖ. περὶ μὲν οὖν τοὺς μύθους τοιοῦτος. δεινὸς δὲ ἠθογραφῆσαι. καὶ ἐν μὲν τοῖς μέρεσι σαφὴς, ὑπὸ δὲ τὴν σύνταξιν

[1] Vulgo σωφρονῇ.

ἐνίοτε διὰ τὸ ἐπιτεῖνον τῆς ἑρμηνείας ἄδηλος εἶναι δοκῶν. ἔχει δὲ χαρακτῆρα ὑπέρσεμνον καὶ μέγαν. τὸ δὲ τῆς συνθέσεως, τραχύτητος ὂν μεστὸν, καὶ ἐμβριθὲς καὶ ὑπερβατικὸν, ἐνίοτε δὲ καὶ ἀσαφές. αἱ δὲ βραχύτητες θαυμασταὶ, καὶ τῶν λέξεων οἱ νόες πλείονες. τὸ δὲ γνωμολογικὸν αὐτοῦ πάνυ ἐπαινετόν. ἐν δὲ ταῖς ἀφηγήσεσι σφόδρα δυνατὸς, ναυμαχίας ἡμῖν καὶ πολιορκίας, νόσους τε καὶ στάσεις διηγούμενος. πολυειδὴς δὲ ἐν τοῖς σχήμασι, τὰ πολλὰ καὶ τῶν Γοργίου τοῦ Λεοντίνου μιμούμενος, ταχὺς ἐν ταῖς σημασίαις, πικρὸς ἐν ταῖς αὐστηρότησιν, ἠθῶν μιμητὴς καὶ ἄριστος διαγραφεύς. ὄψει γοῦν παρ' αὐτῷ φρόνημα Περικλέους, καὶ Κλέωνος οὐκ οἶδ' ὅ τι ἂν εἴποι τις, Ἀλκιβιάδου νεότητα, Θεμιστοκλέους πάντα, Νικίου χρηστότητα, δεισιδαιμονίαν, εὐτυχίαν μέχρι Σικελίας, καὶ ἄλλα μυρία, ἃ κατὰ μέρος ἐπιδεῖν πειρασόμεθα. ὡς ἐπὶ πλεῖστον δὲ χρῆται τῇ ἀρχαίᾳ ἀτθίδι [τῇ παλαιᾷ], ἢ τὸ ξ̄ ἀντὶ τοῦ σ̄ παρείληφεν, ὅταν ξυνέγραψε καὶ ξυμμαχίαν λέγῃ, καὶ τὴν δίφθογγον τὴν αι ἀντὶ τοῦ ᾱ γράφῃ, αἰεὶ λέγων. καὶ ὅλως ἐφευρετής ἐστι καινῶν ὀνομάτων. τὰ μὲν γάρ ἐστιν ἀρχαιότερα τῶν κατ' αὐτὸν χρόνων, τὸ Αὐτοβοεὶ καὶ τὸ Πολεμησείοντες καὶ Παγχάλεπον καὶ Ἀμαρτάδα καὶ ὕλης Φακέλους· τὰ δὲ ποιηταῖς μέλει, οἷον τὸ Ἐπιλύγξαι[k] καὶ τὸ Ἐπηλύται καὶ τὸ Ἀνακῶς καὶ τὰ τοιαῦτα· τὰ δ' ἴδια, οἷον Ἀποσίμωσις καὶ Κωλύμη καὶ Ἀποτείχισις, καὶ ὅσα ἄλλα παρ' ἄλλοις μὲν οὐ κεῖται, ὑπ' αὐτοῦ δὲ λέλεκται. μέλει δὲ αὐτῷ καὶ ὄγκου τῶν ὀνομάτων καὶ δεινότητος τῶν ἐνθυμημάτων, καὶ ὥσπερ φθάσαντες εἴπομεν, βραχύτητος συντάξεως· τὰ γὰρ πολλὰ τῶν πραγμάτων καὶ λέξει δείκνυται. τέθεικε δὲ πολλάκις καὶ πάθη καὶ πράγματα αὐτ' ἀνδρῶν, ὡς τὸ Ἀντίπαλον δέος. ἔχει δὲ καί τι τοῦ πανηγυρικοῦ, ἐν οἷς ἐπιταφίους λέγει, καὶ ποικίλως εἰρωνείας εἰσφέρων, καὶ ἐρωτήσεις ποιούμενος, καὶ φιλοσόφοις εἴδεσι δημηγορῶν· ἐν οἷς γὰρ ἀμοιβαῖός ἐστι, φιλοσοφεῖ. τὴν μέντοι ἰδέαν αὐτοῦ τῶν λέξεων καὶ τῶν συνθέσεων αἰτιῶνται οἳ

[k] Fortasse ἐπηλυγάζεσθαι. STEPHAN.

πλείους, ὧν ἐστὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς· μέμφεται γὰρ αὐτῷ ὡς πεζῇ καὶ πολιτικῇ λέξει χρῆσθαι μὴ δυναμένῳ, οὐκ εἰδὼς ὅτι ταῦτα πάντα δυνάμεώς ἐστι περιττῆς καὶ ἕξεως πλουσίας. φαίνεται δὲ ἐπὶ τῶν Ἡροδότου χρόνων γενόμενος, εἴγε ὁ μὲν Ἡρόδοτος μέμνηται τῆς Θηβαίων ἐσβολῆς ἐς τὴν Πλάταιαν, περὶ ἧς ἱστορεῖ Θουκυδίδης ἐν τῇ δευτέρᾳ. λέγεταί δέ τι καὶ τοιοῦτον, ὡς ποτε τοῦ Ἡροδότου τὰς ἰδίας ἱστορίας ἐπιδεικνυμένου παρὼν τῇ ἀκροάσει Θουκυδίδης καὶ ἀκούσας ἐδάκρυσεν· ἔπειτά φασι τὸν Ἡρόδοτον τοῦτο θεασάμενον εἰπεῖν αὐτοῦ πρὸς τὸν πατέρα τὸν Ὄλορον "ὦ Ὄλορε, ὀργᾷ ἡ φύσις τοῦ υἱοῦ σου πρὸς μαθήματα." ἐτελεύτησε δὲ ἐν τῇ Θράκῃ· καὶ οἱ μὲν λέγουσιν ὅτι ἐκεῖ ἐτάφη, ἄλλοι δὲ λέγουσιν ὅτι ἐν ταῖς Ἀθήναις ἠνέχθη τὰ ὀστᾶ αὐτοῦ κρύφα παρὰ τῶν συγγενῶν, καὶ οὕτως ἐτάφη· οὐ γὰρ ἐξῆν φανερῶς θάπτειν ἐν Ἀθήναις τὸν ἐπὶ προδοσίᾳ φεύγοντα. ἔστι δὲ αὐτοῦ τάφος πλησίον τῶν πυλῶν, ἐν χωρίῳ τῆς Ἀττικῆς ὃ Κοίλη καλεῖται, καθά φησιν Ἀντυλλος, ἀξιόπιστος ἀνὴρ μαρτυρῆσαι, καὶ ἱστορίαν γνῶναι καὶ διδάξαι δεινός. καὶ στήλη δὲ, φησίν, ἕστηκεν ἐν τῇ Κοίλῃ, ΘΟΥΚΥΔΙΔΗΣ ΟΛΟΡΟΥ ΑΛΙΜΟΥΣΙΟΣ ἔχουσα ἐπίγραμμα· τινὲς δὲ προσέθηκαν καὶ τὸ ΕΝΘΑΔΕ ΚΕΙΤΑΙ. ἀλλὰ λέγομεν ἅτι νοούμενόν ἐστι τοῦτο καὶ προσυπακουόμενον· οὐδὲ γὰρ ἔκειτο ἐν τῷ ἐπιγράμματι. ἔστι δὲ τὴν ἰδέαν καὶ τὸν χαρακτῆρα μεγαλοπρεπής, ὡς μηδὲ ἐν τοῖς οἰκτοις ἀφίστασθαι τοῦ μεγαλοπρεποῦς· ἐμβριθὴς τὴν φράσιν, ἀσαφὴς τὴν διάνοιαν διὰ τὸ ὑπερβατοῖς χαιρεῖν, ὀλίγοις ὀνόμασι πολλὰ πράγματα δηλῶν, καὶ ποικιλώτατος μὲν ἐν τοῖς τῆς λέξεως σχήμασι, κατὰ δὲ τὴν διάνοιαν τοὐναντίον ἀσχημάτιστος. οὔτε γὰρ εἰρωνείαις οὔτε ἐπιτιμήσεσιν οὔτε ταῖς ἐκ πλαγίου ῥήσεσιν οὔτε ἄλλαις τισὶ πανουργίαις πρὸς τὸν ἀκροατὴν κέχρηται, τοῦ Δημοσθένους μάλιστα ἐν τούτοις ἐπιδεικνυμένου τὴν δεινότητα. οἶμαι δὲ οὐκ ἀγνοίᾳ σχηματισμοῦ τοῦ κατὰ διάνοιαν παρεῖναι τὸν Θουκυδίδην τὸ τοιοῦτον, ἀλλὰ τοῖς ὑποκειμένοις προσώποις πρέποντας καὶ ἁρμόζοντας συντιθέντα τοὺς λόγους. οὐ γὰρ ἔπρεπε

Περικλεῖ καὶ Ἀρχιδάμῳ καὶ Νικίᾳ καὶ Βρασίδᾳ, ἀνθρώποις μεγαλόφροσι καὶ γενναίοις καὶ ἡρωϊκὴν ἔχουσι δόξαν, λόγους εἰρωνείας καὶ πανουργίας περιτιθέναι, ὡς μὴ παῤῥησίαν ἔχουσι φανερῶς ἐλέγχειν καὶ ἄντικρυς μέμφεσθαι καὶ ὁτιοῦν βούλονται λέγειν. διὰ τοῦτο τὸ ἁπλαστον καὶ ἀνυβριστοίητον ἐπετήδευσε, σώζων κἀν τούτοις τὸ πρεσῆκον καὶ τῇ τέχνῃ δοκεῖν· τεχνίτου γὰρ ἀνδρὸς φυλάξαι τοῖς προσώποις τὴν ἐπιβάλλουσαν δόξαν καὶ τοῖς πράγμασι τὸν ἀκόλουθον κόσμον. Ἰστέον δὲ ὅτι τὴν πραγματείαν αὐτοῦ οἱ μὲν κατέτεμον εἰς τρισκαιδεκα ἱστορίας, ἄλλοι δὲ ἄλλως. ὅμως δὲ ἡ πλείστη καὶ ἡ κοινὴ κεκράτηκε, τὸ μέχρι τῶν ὀκτὼ διῃρῆσθαι τὴν πραγματείαν, ὡς καὶ ἐπέκρινεν ὁ Ἀσκληπιός.

ΑΛΛΑ ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ, ΑΔΕΣΠΟΤΑ.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος Ὀλόρου ἦν παῖς, Θρᾴκιον δὲ αὐτῷ τὸ γένος. καὶ γὰρ ὁ πατὴρ αὐτῷ Ὄλορος ἐκ Θρᾴκης εἶχε τοὔνομα. γέγονε δὲ τῶν Μιλτιάδου συγγενής. αὐτίκα γοῦν ἔνθα Μιλτιάδης περὶ Κοίλῃ τέθαπται, ἐνταῦθα καὶ Θουκυδίδης τέθαπται. ὁ δὲ Μιλτιάδης ἔγημε τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα Ἠγησιπύλην. γέγονε δὲ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου μαθητὴς, δεινοῦ λέγειν, καὶ ὑπόστου γενομένου τοῖς δικαστηρίοις. καὶ διὰ ταῦτα λέγοντος μὲν οὐκ ἠνείχοντο αὐτοῦ, γράφειν δὲ ἐπεχείρησε τοὺς λόγους, καὶ ἐξέδωκε τοῖς δεομένοις. ἐμαρτύρησε δὲ αὐτῷ καὶ Θουκυδίδης ὁ μαθητὴς ὅτι ᾧ ἂν σύμβουλος γένοιτο, ἄριστα ἐκεῖνος ἀπήλλαττεν εἰς τὰς δίκας. ἀλλ' ὁ μὲν ἔδοξε πονηρὸς Ἀντιφῶν εἶναι, καὶ περὶ τέλη τοῦ Πελοποννησιακοῦ πολέμου κριθεὶς προδοσίας, ὡς Λακεδαιμονίοις μὲν τὰ ἄριστα κατὰ πρεσβείαν παραινέσας, Ἀθηναίοις δὲ ἀλυσιτελέστατα, ἑάλω. καὶ σὺν αὐτῷ διεφθάρησαν Ἀρχεπτόλεμος καὶ Ὀνομακλῆς, ὧν καὶ κατεσκάφησαν καὶ αἱ

οἰκίαι, καὶ τὸ γένος τὸ μὲν διεφθάρη, τὸ δὲ ἄτιμον ἐγένετο. στρατηγικὸς δὲ ἀνὴρ ὁ Θουκυδίδης γενόμενος, καὶ τὰ περὶ Θάσον πιστευθεὶς μέταλλα, πλούσιος μὲν ἦν καὶ μέγα ἐδύνατο· ἐν δὲ τῷ Πελοποννησιακῷ πολέμῳ αἰτίαν ἔσχε προδοσίας ἐκ βραδυτῆτός τε καὶ ὀλιγωρίας. ἔτυχε μὲν γὰρ Βρασίδας τὰς ἐπὶ Θράκης καταλαβὼν πόλεις Ἀθηναίων, ἀφιστὰς μὲν Ἀθηναίων, Λακεδαιμονίοις δὲ προστιθείς· κἀνταῦθα δέων ταχέως ἀναπλεῦσαι, καὶ σῶσαι μὲν τὴν Ἠϊόνα ἐγγὺς κειμένην, περιποιῆσαι δὲ τὴν Ἀμφίπολιν, μέγα κτῆμα τοῖς Ἀθηναίοις, τὴν μὲν Ἠϊόνα ἐδυνήθη φθάσας σῶσαι, τὴν δὲ Ἀμφίπολιν ἀπώλεσε. καίτοι Κλέων βοηθῶν ταῖς ἐπὶ Θράκης πόλεσι κατέπλευσε μὲν εἰς Ἀμφίπολιν, ἀλλ' ἅμως μάχης γενομένης Βρασίδας μὲν ὁ Λακεδαιμόνιος ἐνίκησεν αὐτὸν, Κλέων δὲ ἀπέθανεν, ὑπὸ Μυρκινίου πελταστοῦ βληθείς. οὐ μὴν ἀλλὰ καὶ Βρασίδας τῆς νίκης αἰσθόμενος ἀπέθανε, καὶ Ἀμφίπολις Ἀθηναίων ἀπέστη, Λακεδαιμονίων δὲ ἐγένετο. ἔνθα καὶ τὰ Ἀγνώνεια οἰκοδομήματα καθελόντες οἱ Ἀμφιπολῖται Βρασίδεια ἐπάλεσαν, μισήσαντες μὲν τὴν Ἀττικὴν ἀποικίαν, λοιμώξαντες δὲ κἀν τούτῳ, καὶ τὴν τιμὴν μεταθέντες εἰς Λακεδαίμονα. γενόμενος δὲ φυγὰς ὁ Θουκυδίδης ἐσχόλαζε τῇ ξυγγραφῇ τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ διὰ τοῦτο δοκεῖ πολλὰ χαρίζεσθαι μὲν Λακεδαιμονίοις, κατηγορεῖν δὲ Ἀθηναίων τὴν τυραννίδα καὶ πλεονεξίαν. οὗ [k] γὰρ καιρὸς αὐτῷ κατειπεῖν Ἀθηναίων ἐγένετο, Κορινθίων κατηγορούντων ἢ Λακεδαιμονίων μεμφομένων ἢ Μιτυληναίων αἰτιωμένων, πολὺς ἐν τοῖς ἐγκλήμασι τοῖς Ἀττικοῖς ἐῤῥύη· καὶ τὰς μὲν νίκας τὰς Λακωνικὰς ἐξῆρε τῷ λόγῳ, τὰς δὲ ξυμφορὰς ᾔξησε τὰς Ἀττικὰς, ὅπου καὶ τὰς ἐν Σικελίᾳ. πέπαυται δὲ τὸ τῆς συγγραφῆς ἐν τῇ ναυμαχίᾳ τῇ περὶ Κυνὸς σῆμα, τουτέστι περὶ τὸν Ἑλλήσποντον, ἔνθα δοκοῦσι καὶ νενικηκέναι Ἀθηναῖοι. τὰ δὲ μετὰ ταῦτα ἑτέροις γράφειν κατέλιπε, Ξενοφῶντι καὶ Θεοπόμπῳ. εἰσὶ δὲ καὶ αἱ ἑφεξῆς μάχαι. οὔτε γὰρ τὴν δευτέραν

[k] Vulgo οὐ.

ναυμαχίαν τὴν περὶ Κνιδὸς σῆμα, ἣν Θεόπομπος εἶπεν, οὔτε τὴν περὶ Κύζικον, ἣν ἐνίκα Θρασύβουλος καὶ Θηραμένης καὶ Ἀλκιβιάδης, οὔτε τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, ἔνθα νικῶσιν Ἀθηναῖοι Λακεδαιμονίους, οὔτε τὸ κεφάλαιον τῶν κακῶν τῶν Ἀττικῶν, τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, ὅπου καὶ τὰς ναῦς ἀπώλεσαν Ἀθηναῖοι καὶ τὰς ἐξῆς ἐλπίδας· καὶ γὰρ τὸ τεῖχος αὐτῶν καθῃρέθη, καὶ ἡ τῶν τριάκοντα τυραννὶς κατέστη, καὶ πολλαῖς ξυμφοραῖς περιέπεσεν ἡ πόλις, ἃς ἠκρίβωσε Θεόπομπος. ἦν δὲ τῶν πάνυ κατὰ γένος Ἀθήνῃσι δοξαζομένων ὁ Θουκυδίδης. δεινὸς δὲ δόξας εἶναι ἐν τῷ λέγειν, πρὸ τῆς συγγραφῆς προέστη τῶν πραγμάτων· πρώτην δὲ τῆς ἐν τῷ λέγειν δεινότητος τήνδε ἐποιήσατο τὴν ἐπίδειξιν. Πυριλάμπης γάρ τις τῶν πολιτῶν ἄνδρα φίλον καὶ ἐρώμενον ἴδιον διά τινα ζηλοτυπήσας ἐφόνευσε· ταύτης δὲ τῆς δίκης ἐν Ἀρείῳ πάγῳ κινουμένης πολλὰ τῆς ἰδίας σοφίας ἐπεδείξατο, ἀπολογίαν ποιούμενος ὑπὲρ τοῦ Πυριλάμπους, καὶ Περικλέους κατηγοροῦντος ἐνίκα. ὅθεν καὶ στρατηγὸν αὐτὸν ἑλομένων Ἀθηναίων, ἄρχων προέστη τοῦ δήμου. μεγαλόφρων δὲ ἐν τοῖς πράγμασι γενόμενος, ἅτε φιλοχρημάτων, οὐκ εἶα τὸν πλείονα χρόνον προστατεῖν τοῦ δήμου. πρῶτον μὲν γὰρ ὑπὸ τοῦ Ξενοκρίτου, ὡς Σύβαριν ἀποδημήσας, ὡς ἐπακῆλθεν εἰς Ἀθήνας, συγχύσεως δικαστηρίου φεύγων ἑάλω· ὕστερον δὲ ἐξοστρακίζεται ἔτη δέκα. φεύγων δὲ ἐν Αἰγίνῃ διέτριβε, κἀκεῖ λέγεται τὰς ἱστορίας αὐτὸν συντάξασθαι. τότε δὲ τὴν φιλαργυρίαν αὐτοῦ μάλιστα φανερὰν γενέσθαι· ἅπαντας γὰρ Αἰγινήτας κατατοκίζων ἀναστάτους ἐποίησε. μετὰ δὲ τὴν ἱστορίαν φασὶ συντετάχθαι τῷ συγγραφεῖ τὸ προοίμιον, ἐπεὶ τῶν ἐν τῷ πολέμῳ μέμνηται γεγονότων, ὥσπερ τῆς Δήλου καθάρσεως, ἣν περὶ τὸ ἕβδομον ἔτος ἐπὶ Εὐθύνου ἄρχοντος γεγενῆσθαί φασι. μέμνηται δὲ ἐν αὐτῷ καὶ τῆς τοῦ πολέμου τελευτῆς, λέγων "Ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου." ἀλλὰ καὶ ἐν ἀρχῇ φησὶ "Κίνησις γὰρ αὕτη μεγίστη τοῖς Ἕλλησιν ἐγένετο, καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων." πληρώσας δὲ τὴν

ὀγδόην ἱστορίαν ἀπέθανε νόσῳ. σφάλλονται γὰρ οἱ λέγοντες μὴ Θουκυδίδου εἶναι τὴν ὀγδόην, ἀλλ' ἑτέρου συγγραφέως. τελευτήσας δ' ἐν Ἀθήναις ἐτάφη πλησίον τῶν Μελιτίδων πυλῶν, ἐν χωρίῳ τῆς Ἀττικῆς ὃ προσαγορεύεται Κοίλη, εἴτε αὐτὸς ἐπανελθὼν Ἀθήναζε ἐκ τῆς φυγῆς τοῦ ὁρισθέντος χρόνου πληρωθέντος, καὶ τελευτήσας ἐν τῇ ἰδίᾳ πατρίδι, εἴτε μετακομισθέντων αὐτοῦ τῶν ὀστέων ἀπὸ Θρᾴκης, ἐκεῖ καταστρέψαντος τὸν βίον· λέγεται γὰρ ἐπ' ἀμφότερα. καὶ στήλη τις ἀνέστηκεν ἐν τῇ Κοίλῃ τοῦτο ἔχουσα τὸ ἐπίγραμμα.

ΘΟΥΚΥΔΙΔΗΣ ΟΛΟΡΟΥ ΑΛΙΜΟΥΣΙΟΣ ΕΝΘΑΔΕ ΚΕΙΤΑΙ.

THUCYDIDIS

DE

BELLO PELOPONNESIACO

LIBRI OCTO.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Α.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου καὶ ἐλπίσας μέγαν 1. Auctoris consilium inde a belli Peloponne-

1. Θουκυδίδης Ἀθηναῖος] Πάντως μέμνηται τοῦ οἰκείου ὀνόματος κατ' ἀρχὰς, ἀντιδιαστέλλων ἑαυτὸν τῶν ὁμωνύμων ἐν τοῖς ἔτεσιν· ἅμα μὲν τῆς αὐτῆς αἰτίας ἕνεκεν, ἅμα δὲ καὶ τοῦ μὴ ἕτερόν τινα τὸ αὐτοῦ σφετερίσασθαι σύνταγμα. Ξυνέγραψε] Ἄλλο ἐστὶ γράψαι, καὶ ἄλλο ξυγγράψαι. τὸ μὲν γὰρ ἐπὶ ἑνὸς πράγματος λέγεται, τὸ δὲ ξυγγράψαι ἐπὶ πολλῶν. ξυγγράψαι τὸ μετ' ἐπιμελείας καὶ σπουδαίως συντάξαι· γράψαι δὲ καὶ τὸ ἁπλῶς καὶ μὴ ἐπιμελῶς τοῦ τὴν ἀλήθειαν ἀνευρεῖν. 2. Πρὸς ἀλλήλους] καὶ ὁ πρὸς Ξέρξην πόλεμος τῶν αὐτῶν ἦν, ἀλλ' οὐ πρὸς ἀλλήλους· διὸ καὶ οὐ μάτην πρόσκειται. 3. Καθισταμένου] ἀρχὴν λαμβάνοντος. Ἐλπίσας. τὸ ἐλπί-

1. ΘΟΥΚΥΔΙΔΟΥ *συγγραφῆς πρῶτον* B. *Θουκυδίδου ξυγγραφῆς πρῶτον* F. et partim rec. H. *θουκυδίδου συγγραφῆς α* E. *θουκυδίδου συγγραφῆς βιβλίον πρῶτον* L. *θουκυδίδου ξυγγραφῆς τὸ πρῶτον* N. *Θουκυδίδου ξυγγραφῶν πρώτη* Q. *θουκυδίδου Ἀθηναίου περὶ τοῦ πελοποννησιακοῦ πολέμου ξυγγραφὴ πρώτη* d. *θουκυδίδου Ἱστοριῶν α* G. *θουκυδίδου Ἱστοριῶν πρώτη* c. *θουκυδίδου ἑλληνικῶν Ἱστοριῶν βιβλίον α* h. et additis præterea his, *θουκυδίδου συγγραφῆς α*, g. Iidem fere reliquorum librorum indices.

De more veterum nomina sua in principio scriptorum suorum memorandi vid. Dion. Chrysost. Orat. LIII. Heins. Lect. Theocr. C. III. et Barth. XLII. Advers. 1. Duk.

1. *ξυνέγραψε* g. *συνέγραψε* E.I. c.d.e.

Ξυνέγραψε] Sunt, qui *ξυνέγραψα* malunt, quomodo apud Livium, *Annibal peto pacem*, non sane ineleganter; verum Noster *ξυνέγραψε* ad minimum decies, neque unquam aliter locutus est. Denique ita citat Dion. Halicarnasseus, p. 145. et alibi. Eustathius ad Od. δ'. p. 1501. Θουκυδίδης ὁ Ἀθηναῖος *συνεγράψατο*, memoriæ vitio. Formulam Thucydidis observavit hancce Dion. Chrys. Orat. LIII. Historiam hanc in lucem edidisse Xenophontem ait Laërtius, p. 114. De Procœmio hoc vid. Lucian. tom. I. p. 636. et de v. *ἀξιολογώτατον* Hermogenem, p. 24. Wass.

τῶν Ἀθηναίων καὶ Πελοποννησίων I.

2. *Πελοποννησίων* c. et, eraso altero ¯, H. in quo deinde hæc vox fere semper sine rasura uno ¯ scribitur.

ἐπολέμισαν I.

3. *ξυνισταμένου* imitator Thucydidis apud Lucian, 2. p. 22.

siaci initio captum, hoc bellum scribendi, maximum, ut jam tum augurabatur, omnis memoriæ futurum.

τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον. κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερα σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν·

σας οὐ μόνον ἐπὶ ἀγαθοῦ, ἀλλ' ἁπλῶς ἐπὶ τῇ τοῦ μέλλοντος ἐκβάσει λέγεται. 2. Ἀκμάζοντές τε ἦσαν] ἀντὶ τοῦ ἤκμαζον. 3. Παρασκευῇ τῇ πάσῃ] ὡς ἤκμαζον ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, εἴγε τοῖς Πελοποννησίοις χρημάτων ἐνέδει; Ξυνιστάμενον πρὸς ἑκατέρους] εἰς σύστασιν καὶ εἰς βοήθειαν ἑκατέρων κινούμενον. 4. Τὸ μὲν εὐθύς] ἅμα τῇ ἄρξασθαι τὸν πόλεμον. 6. Καὶ μέρει τινὶ τῶν βαρβάρων] Θρᾷκας λέγει καὶ Πέρσας· οἱ μὲν γὰρ μετὰ Σιτάλκου συνεμάχουν Ἀθηναίοις, οἱ δὲ μετ' Ἀρταξέρξου καὶ Δαρείου ὕστερον τοῖς Λακεδαιμονίοις. 7. Τὰ γὰρ πρὸ αὐτῶν] τὰ Μηδικὰ καὶ Τρωϊκά.

1. τεκμαιρόμενός τε ὅτι Dionys. Hal. de compos. verb. p. 163. Reisk.

2. ἦσαν ἐς αὐτὸν] Lexicon Græcum MS. apud Montfaucon. in Biblioth. Coislin. p. 600. Ἧα, ἀντὶ τοῦ ἦλθον, ἐπορευόμην. Καὶ παρὰ Θουκυδίδῃ· ἀκμάζοντές τε ἧΐσαν ἐς αὐτόν. οἱ δὲ Ἴωνες ἦσαν. Sed ἦσαν etiam Dionys. Halic. v. Hort. Adon. Ceterum Auctor Lexici illius Suidam exscripsit in ἧα. Wass. Etiam aliud Lexicon MS. in ead. Biblioth. p. 234. hic ἧΐσαν legit. Suidas scribens καὶ παρὰ Θουκυδίδῃ οὕτως ἀναγνωστέον, ἀκμάζοντές τε ἧΐσαν ἐς αὐτὸν. indicare videtur jam olim dubitatum fuisse de scriptura hujus loci. Ἧΐσαν vel ἦσαν habet quo se tueri possit. Thucydides I. 118. ὄντες μὲν καὶ πρότερον μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολεμίους. Et cap. 123. ἀλλὰ θαρσοῦντας ἰέναι κατὰ πολλὰ ἐς τὸν πόλεμον. Add. quæ ad III. 14. adnotata sunt e Xenophonte. Duk.

3. τῇ] om. I.

ἄλλων c.e.

συνιστάμενον c.e.

4. πρὸς ἑκατέρους] om. H.I.a.c.e. et pr. F.

5. κίνησίς τε γὰρ g.

8. ἀδύνατα A.B.N.O.Q.c.e.f.g.h. et margo L. cum Suida v. ἀδύνατα ἦν et Schol. Eurip. Hippol. 269; ceteri ἀδύνατον cum Dionysio p. 164 & 858 & 871.

Lectio altera, ἀδύνατα, eundem omnino sensum efficit: sed magis Thucydideam (utpote veteri linguæ Atticæ, qua potissimum utitur Thucydides, magis convenientem) esse crediderim. Sic certe 1, 59. νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν. Sic etiam 3, 88. θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. Et alibi, ὥστ' ἀδύνατα ἐφαίνετο Ἀργείοις καὶ Ἀθη-

ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ ἄλλα. φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη οὐ πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων. τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον ἀπο-

2. Regressio ad antiquiorem Graeciae statum, imbecillum sane. Plurimae, imprimis fertilissimae, provinciae incolas saepe mutaverunt

2. Ξυμβαίνει] ἀντὶ τοῦ συνάγεται καὶ συγκεφαλαιοῦται. Τὸ δὲ ἐπὶ μακρότατον ἀντὶ τοῦ ἐπὶ πολὺ καὶ συνεχῶς. 3. Οὔτε ἐς τὰ ἄλλα] κατασκευῇ δηλονότι. 4. Ἡ νῦν Ἑλλὰς καλουμένη] πρὸ τούτου γὰρ κατὰ μέρους καὶ κατὰ ἔθνη ἐκαλεῖτο. τὸ δὲ σχῆμα τοῦ ὁμοιοκαταλήκτου Γοργίειον καλεῖται. 5. Μεταναστάσεις] μετοικήσεις, φαίνονται δηλονότι. 6. Καὶ ῥᾳδίως] ἀπὸ κοινοῦ τὸ φαίνονται. 7. Πλειόνων] οὐκ εἶπε δυνατῶν, ἵνα μὴ ἐπαινέσῃ. Ἐμπορίας] τῆς κατὰ θάλατταν πραγματείας. 8. Ἐπιμιγνύντες] ἐπιμιγνύμενοι. 9. Νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι] ἡ περιοχὴ τοῦ λόγου καὶ ἡ σύνταξις τοιαύτη· Νεμόμενοι τὰ ἑαυτῶν ἕκαστοι, ὅσων ἀπόζη, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες, ἀλλὰ σπείροντες, καὶ ἁπλῶς εὐμετακόμιστοι ὄντες πρὸς τὸ μεταναστάσθαι· ὅ ἐστιν, οὐ χαλεπῶς ἀναστάντες δηλονότι, ἀλλ' εὐχερῶς. Ὅσων ἀπόζη] μετρίως ζῇ· ἀπόζη ἐστὶν εὐτελῶς ζῇ, ζῇ δὲ τὸ μετὰ τρυφῆς ζῇν. λέγει δὲ τὴν ἐφήμερον

ναίοις ἅμα πολεμεῖν. Nec vero isto tantum nomine in plurali potius quam in singulari uti solet, sed παμπηγία itidem atque ἐπιχειρητέα, quin etiam, πλευστέα, pro παμπηγίων, et ἐπιχειρητέων, atque πλευστέων, dicit. Steph. Cf. Valcken. ad Eurip. Hippol. p. 203. Koen. ad Gregor. p. 53.

1. Σκοποῦντι] Dion. Hal. p. 67. σκοπῶντι. Observat ibi Auctoris copiam. Τὰ γὰρ—φυτεύοντες Idem p. 148. W. Observat copiam etiam Hermogenes περὶ μεθόδου δεινότητος 4. Duk. ἐπὶ μακρότατον σκοποῦντι. Videtur ab Herodoto fluxisse: cujus locis Abreschio notatis Auctar. Diluc. Thuc. p. 213. addatur alius II. 34. περὶ μὲν δὴ τοῦ ῥεύματος αὐτοῦ ἐπ' ὅσον μακρότατον ἱστορεῦντα ἦν ἐξικέσθαι, εἴρηται. Wyttenbach.

2. ξυμβαίνει B.E.a.b.f.g. συμβαίνειν I. συμβαίνει ceteri.

3. γὰρ] μὲν A.

5. μεταναάστης τε οὖσα g.

6. ἕκαστος Dionys. p. 872.

ὑπό τινων αἰεὶ E, qui raro vel nunquam ἀεί; ἀεὶ ὑπό τινων P.Q.

7. Τῆς γὰρ—ἀλλήλοις] Dion. Hal. p. 797. adnotat ἐπιμιγνύντες hic poni pro passivo ἐπιμιγνύμενοι. Duk.

ἐμπορείας i.

8. ἀλλήλους I.

9. ἑαυτῶν Q.a.e.f. cum Dionysio p. 169.

Solæ Arcadia et Attica indigetes habent.

ζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες οὐδὲ γῆν φυτεύοντες, ἄδηλον ὂν ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος ἀφαιρήσεται, τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο, καὶ δι' αὐτὸ οὔτε μεγέθει πόλεων ἴσχυον οὔτε τῇ ἄλλῃ παρασκευῇ. μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν, ἥ τε νῦν Θεσσαλία καλουμένη καὶ Βοιωτία Πελοποννήσου τε τὰ πολλὰ, πλὴν Ἀρκαδίας, τῆς τε ἄλλης ὅσα ἦν κράτιστα. διὰ γὰρ ἀρετὴν γῆς αἵ τε δυνάμεις τισὶ μείζους ἐγγιγνόμεναι στάσεις ἐνεποίουν, ἐξ ὧν ἐφθείροντο, καὶ ἅμα ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο. τὴν γοῦν Ἀττικὴν ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν

τροφήν. 1. Περιουσίαν] περιουσία ἡ περιττὴ οὐσία, οὐσία δὲ ἡ σύμμετρος. 2. Ἄδηλον ὄν] ἀντὶ τοῦ ἀδήλου ὄντος· Ἀττικὸν δὲ τὸ σχῆμα. 4. Ἀναγκαίου] Ἀττικῶς, ἀντὶ τοῦ ἀναγκαίας. Ἐπικρατεῖν] εὐπορεῖν. 6. Τῇ ἄλλῃ] τῇ ἐκλιτικῇ. 7. Ἥ τε νῦν Θεσσαλία] πρότερον γὰρ Ἡμαθία ἐκαλεῖτο ἡ νῦν Θεσσαλία. 9. Ὅσα ἦν κράτιστα] ὅση ἦν ἀρίστη. 10. Αἵ τε δυνάμεις] τὰ στρατεύματα. 10. Οὖσαν.] ἀντὶ τοῦ εἶναι.

2. ἀτειχίστων ὄντων ἀφαιρήσεται a.

3. τε] om. Dionysius p. 165. καθ' ἡμέραν] om. L.O.

4. ἀναγκαίας f.

5. ἀνίσταντο f. cum Dionysio l. l. qui ἀπανίσταντο p. 805.

7. εἶχεν] ἐλάμβανεν Maximus Tyrius 2. p. 84. Reisk.

Νῦν Θεσσαλία] In Cod. Reg. est scholion, πρότερον γὰρ Ἡμαθία ἐκαλεῖτο. Sic Catull. Carm. LXV. 26. "Emathiæ "columen Peleu." Add. Serv. ad Virg. I. Georg. 492. Sed aliis Emathia est pars Macedoniæ. Strabo IX. 443. primum Pyrrhæam, inde Hæmoniam ab Hæmone patre Thessali, ac denique Thessaliam dictam scribit. Stephano est Αἵμων, et regio Αἱμενία, siue adspiratione. Et Eustath. in Il. β'. p. 321. Αἵμων ὅθεν Αἵμονες μοῖρα Θετταλική. Dukr.

8. Πελοποννήσου——Ἀρκαδίας] Hermog. p. 27. Wass.

10. ἐγγιγνόμεναι A.F.H. a.b.c. γιγνόμεναι e. γενόμεναι f. ceteri ἐγγινόμεναι.

12. ἀττικὴν διὰ τὸ λεπτόγεων εἶναι ἀστασ. Maximus l. l.

13. Διὰ τὸ λεπτόγεων] Erat enim solum Atticum parum uber: ipsi deparci victus, qualis hominum pauperum: tota vitæ ratio adstricta et diligens. Vide Casaub. Animadvers. in Athenæum, pag. 95. Huds. Et Schol. Aristoph. Acharn. v. 75. et Av. 123. Videtur etiam eo respicere Lucian.

ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί. καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι, διὰ τὰς μετοικίας ἐς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι· ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες παρ' Ἀθηναίους οἱ δυνατώτατοι, ὡς βέβαιον ὂν, ἀνεχώρουν, καὶ πολῖται γιγνόμενοι εὐθὺς ἀπὸ παλαιοῦ μείζω ἔτι ἐποίησαν πλῆθει ἀνθρώπων τὴν πόλιν, ὥστε καὶ ἐς Ἰωνίαν ὕστερον, ὡς οὐχ ἱκανῆς οὔσης τῆς Ἀττικῆς, ἀποικίας ἐξέπεμψαν.

1. Οἱ αὐτοὶ ἀεί] τῷ γένει δηλονότι· οὐ γὰρ ἦσαν ἀθάνατοι. Καὶ παράδειγμα τόδε τοῦ λόγου] ὁ νοῦς, οἱ μὲν οὕτω, Σημεῖον δὲ τοῦ τὴν Ἀττικὴν ἀεὶ τοὺς αὐτοὺς οἰκεῖν, τὸ κατὰ μὲν τὰ ἄλλα πράγματα μὴ αὐξηθῆναι, οἷον πλοῦτόν τε καὶ ὅπλα καὶ τἆλλα, κατὰ δὲ τὸ πλῆθος τῶν ἀνδρῶν μεγάλην γενέσθαι. Ἄλλοι δὲ οὕτω, Σημεῖον δέ μοι παντὸς τοῦ προειρημένου λόγου, τοῦ τὰς ἀρίστας τῶν γαιῶν μεταβάλλειν τοὺς οἰκήτορας, τὸ τὴν Ἑλλάδα κατὰ τὰ ἄλλα αὐτῆς μέρη μὴ ὁμοίως τῇ Ἀττικῇ αὐξηθῆναι τῷ πλήθει τῶν ἀνδρῶν. 3. Ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος] Ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος οἱ δυνατώτατοι ἐκπίπτοντες ἀνεχώρουν παρὰ τοὺς Ἀθηναίους, ὡς βεβαίας οὔσης τῆς οἰκήσεως. 4. Πολέμῳ ἢ στάσει] πόλεμος ὁ τῶν ἀλλοτρίων, στάσις ὁ ἐμφύλιος. 5. Ἀνεχώρουν] οἱ Ἡρακλεῖδαι, καὶ Μεσσήνιοι οἱ περὶ Μέλανθον. Καὶ πολῖται γιγνόμενοι] οἱ Ἀθηναῖοι τὸ παλαιὸν εὐθὺς μετεδίδοσαν πολιτείας, ὕστερον δὲ οὐκέτι, διὰ τὸ πλῆθος. 7. Ἐς Ἰωνίαν] προληπτικόν ἐστι σχῆμα, ὅταν τὸ συμβὰν ὕστερον προλαβόντες καλέσωμεν. Ὁ γὰρ ξυνέβη μετὰ τὴν οἴκισιν τῶν ἀνδρῶν (λέγει δὲ τὸ κληθῆναι Ἰωνίαν), τοῦτο αὐτὴν προσηγόρευσε περὶ ἐκπεμφθῆναι τοὺς ἄνδρας, προδιδοὺς καὶ προχαριζόμενος τὴν προσηγορίαν ταύτην τῇ χώρᾳ. Οὐ γὰρ οὔσης πρὸ τούτου τῆς Ἰωνίας, ἀπέστειλαν ἐκεῖσε τὸν ὄχλον οἱ Ἀθηναῖοι, ἐφ' ᾧ κτίσειν καὶ οἰκίσαι τὴν γῆν· καὶ οἱ πεμφθέντες κατοικίσαι, οὕτω καλεῖσθαι τὴν χώραν ὕστερον παρεσκεύασαν. Τοῦτο δὲ καὶ Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ ἐποίησεν, εἰπών "λυσαμένη τὴν ζώνην "ἐν Ζωστῆρι τῆς Ἀττικῆς." Ὁ δὲ νοῦς οὗτος· Πολλῶν καταφυγόντων εἰς τὴν Ἀττικὴν διὰ τὸ ἀσφαλὲς εἶναι τὸ χωρίον, τοσοῦτον ἐγένετο πλῆθος, ὥστε τῆς Ἀττικῆς στενοχωρουμένης, καὶ μὴ οὔσης ἱκανῆς τρέφειν τὸν ὄχλον, ἀνάγκη γέγονε μερίσαι τὸ πλῆθος καὶ εἰς ἀποικίαν ἐκπέμψαι. Οὗτος δὲ

Encom. Patr. p. 480. Add. Spanh. ad Julian. Orat. I. p. 78. et ad Aristoph. Nub. v. 298. Duk.

1. Ὦκουν οἱ αὐτοὶ ἀεί] Herodot. lib. 7. Ἐόντες Ἀθηναῖοι, ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων. Hud.

οἱ] om. I.

2. ἀποικίας O.P. d.i. et γρ. Q.

3. ἄλλης] om. e.

4. οἱ] ἢ b.

5. οἱ δυνατώτατοι] om. N.

βεβαίως I.

ὄν] om. pr. g.

6. γενόμενοι N.Q.

Ἀπὸ παλαιοῦ] Vid. Petit. Leg. Attic. p. 130. Duk.

3. Ante Trojanum bellum nulla umquam res communi opera gesta. Ne nomen quidem unum atque idem Græcos conjunxit, ipso Homero teste, qui, multo post illud bellum flo-

* δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ ἥκιστα· πρὸ γὰρ τῶν Τρωϊκῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς. δοκεῖ δέ μοι, οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπὶ πλεῖστον. ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι, Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ ἐς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους

προληπτικῶς χρησάμενος εἶπεν "εἰς Ἰωνίαν ἔπεμψαν." 1. Οὐχ ἥκιστα] ἀντὶ τοῦ μάλιστα. 4. Εἶχεν] ἀντὶ τοῦ ἔσχεν. 5. Καὶ πάνυ οὐδὲ εἶναι] ἀντὶ τοῦ οὐδ' ὅλως εἶναι. Κατὰ ἔθνη] τουτέστι τοῖς ἰδίοις ὀνόμασιν ἐχρῶντο, οἷον Πελασγοὶ μόνοι, Βοιωτοί· οὕτω δὲ κοινῷ ὀνόματι Ἕλληνες. 6. Ἐπὶ πλεῖστον]ἢ ἐπὶ πλεῖστον μέρος τῆς Ἑλλάδος, ἢ ἐπὶ πλεῖστον χρόνον ἐκλήθησαν Πελασγοί. 8. Παίδων αὐτοῦ] Ἕλληνος παῖδες, Δῶρος, Ξοῦθος, Αἴολος, ὅς φησι καὶ Ἡσίοδος· Δῶρόν τε Ξοῦθόν τε καὶ Αἴολον ἱππιοχάρμην. Ἐπαγομένων] ἀμφίβολον, τίνες τίνας ἐπηγάγοντο, πότεροι οἱ Ἕλληνες παῖδες τοὺς ἄλλους, ἢ οἱ ἄλλοι τούτους. 9. Ἐπ' ὠφελείᾳ] ὠφέλειαν εἴωθεν ὁ Θουκυδίδης τὴν συμμαχίαν καλεῖν. Καθ' ἑκάστους] κατὰ μέρους, οὐ πάντας

1. ἀσθένειαν] om. pr. g.
3. εἰργασμένη a.
4. πως N.
5. καὶ πάνυ] om. d.
κατὰ] καὶ τὰ H. καὶ Salmasius de Hellenist. p. 274 & 283.
6. Καὶ τὸ Πελασγικὸν ἐπιπλεῖστον] Nulla fere regio fuit, quam non peragrarunt Pelasgi, ita ut latissime apud veteres Pelasgorum nomen patuerit. Vide Herodot. l. 1. c. 56. Strabon. l. 9. et 13. et Palm. Græciam antiq. p. 24, 25. 38, 39. Huds.
7. Ἕλληνος etc.] Antiquitus ea tantum portio priscæ et avitæ Græciæ Ἑλλὰς appellabatur, quæ posterioribus Thessalia dicta est. Hinc doctissimus Grammaticus (Servius in 2. Æn.) Græcos proprie Thessalos esse dicit; et Didym. ad 1. Il. Ἀρίσταρχος παρ' Ὁμήρῳ Θεσσαλίαν μόνην τὴν Ἑλλάδα εἶναί φησιν, καὶ Θετταλοὺς τοὺς Ἕλληνας, παρακολουθῶν τῷ Θουκυδίδῃ. Aristarchus, auctoritatem nimirum Thucydidis sequutus, Thessalos ἀρχαϊκῶς καὶ κυρίως apud Homerum Ἕλληνας sive Græcos esse scripsit, Thessaliam autem ipsam solam dici Græciam; Ἕλληνας insuper proprie appellari, qui eam Thessaliæ partem inhabitarunt, ubi est urbs Larissa, testis est Apollodorus apud Strabonem, l. 13. Vide Casauboni Diatribam in Dionem Chrysost. c. 12. et Salmasium in Solinum p. 100. De tempore autem, quo Hellenum nomen per totam Græciam obtinuerit, vide notas in Chronicon Marmor. p. 133. Palmer. Gr. Antiq. 3. Casaub. in Strab. p. 240. Huds.
8. φθιωτίᾳ A.B.F.H.I.a.g.h.
9. ἐς] καὶ d.

μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας, οὐ μέντοι πολλοῦ γε χρόνου ἠδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος· πολλῷ γὰρ ὕστερον ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν, Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀργείους καὶ Ἀχαιοὺς ἀναχαλεῖ. οὐ μὴν οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἑλληνάς πω, ὡς ἐμοὶ δοκεῖ, ἀντίπαλον ἐς ἓν ὄνομα ἀποκεκρίσθαι. οἱ δ' οὖν ὡς ἕκαστοι Ἕλληνες κατὰ πόλεις τε, ὅσοι ἀλλήλων ξυνίεσαν,

rens, nusquam universos appellat Hellenes.

ὁμοῦ. 1. Τῇ ὁμιλίᾳ] οὐκ ἀπὸ γραφῆς καὶ δόξης ἁπάντων, ἀλλ' ἐκ τῆς τῶν ἐπιχωρίων ὁμιλίας. 2. Ἅπασιν ἐκνικῆσαι] τελείως ἐπικρατῆσαι, τὸ καλεῖσθαι Ἕλληνας. Πολλοῦ γε χρόνου] οὕτως λέγουσιν οἱ Ἀττικοὶ, πολλῶν ἡμερῶν οὐκ εἶδόν σε, ἀντὶ τοῦ ἐν πολλαῖς ἡμέραις. Ἐκνικῆσαι] ἀντὶ τοῦ ἐπικρατῆσαι· τὸ δὲ πᾶσι, κατὰ πάντας, καὶ τὸ πολλοῦ γε χρόνου, ἀντὶ τοῦ ἐν πολλῷ γε μέντοι χρόνῳ. Οὐκ ἐδύνατο δὲ ἅπασιν ἐκνικῆσαι τὸ ὄνομα τοῦτο, ἀλλ' ἢ ἐν πάνυ πλείστῳ χρόνῳ. 3. Ὕστερος] οὕτως ἐν ἑτέρῳ, καὶ καλῶς γέγραπται. τὸ πολλῷ γὰρ ἀρκεῖ ἐπὶ τοῦ χρόνου, καὶ τὸ ὕστερον πλεονάζει. τὸ δὲ ὕστερος ἐπὶ τοῦ Ὁμήρου λεγόμενον ἔχει τὴν ἀκολουθίαν τοῦ λόγου σαφῆ. 4. Ξύμπαντας] τὸ γὰρ "Ἐγχείη ἑκάστοτε δι' Ἕλληνας καὶ Ἀχαιούς" νενόθευται. (Il. 2, 530.) 7. Οὐδὲ βαρβάρους] τὸ γὰρ βαρβαροφώνων νενόθευται. (Il. 2, 867.) 9. Ἀντίπαλον] ἀντίπαλον καὶ τὸ ἴσον καὶ τὸ

1. μᾶλλον] om. e.
2. πολλοῦ γε] γε πολλοῦ d.i. ἐδύνατο f.
3. ὕστερον A.B.E.F.G.H.L.N. O.P. a.b.c.d.e.f.h.i. om. I. ὕστερος reliqui.
4. οὐδαμοῦ οὕτως τοὺς Reiskius: ἀνόμασεν Ἕλληνας Augustus Matthæi.
5. φθιώτιος i. φθιωτίας d. Φθιώτιδος] Vid. Schol. ad Il. ε'. 395. et Il. ϛ'. 595. et Dicæarchum p. 22. Ed. Huds. Contra Nostrum disputat Strabo 8, 370 et 14, 661. Wass. Salmas. l. d. p. 349. removet ea, quæ veteres quidam adversus Thucydidem disputaverunt. Versum Homeri, quem hic adfert Enarrator Græcus ex Il. β'. 530. spurium esse etiam ibi adnotat parvus Scholiastes. Et sic Salmas. l. d. p. 350. Duk.
7. ἀντικαλεῖ I.
8. ὡς ἐμοὶ δοκεῖ] in margine ponit a.
9. εἰς ἀντίπαλον εἰς a.
Ἀντίπαλον] Citat Hesych. et expl. Ἐναντίον, ἐχθρόν. damnat D. Halic. De Caribus v. Herodot. I. 161. Wass. Quæ *quidam Codd.* addunt ad illa ἀλλήλων ξυνίεσαν, glossam sapiunt. Duk.
ὡς] om. I.
10. κατὰ] om. a.
τε] om. d.
ἀλλήλων ξυνίεσαν] ἀλλήλων ὁμόφωνοι ἦσαν ξυνίεσαν L.O. ὁμόφωνοι

καὶ ξύμπαντες ὕστερον κληθέντες, οὐδὲν πρὸ τῶν Τρωϊκῶν δι' ἀσθένειαν καὶ ἀμιξίαν ἀλλήλων ἀθρόοι ἔπραξαν. ἀλλὰ καὶ ταύτην τὴν στρατείαν θαλάσσῃ ἤδη πλείω χρώμενοι ξυνῆλθον. * Μίνως γὰρ παλαίτατος ὧν ἀκοῇ ἴσμεν ναυτικὸν ἐκτήσατο, καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησε, καὶ τῶν Κυκλάδων νήσων ἤρξέ τε καὶ οἰκιστὴς πρῶτος τῶν πλείστων ἐγένετο, Κᾶρας ἐξελάσας καὶ τοὺς

4. Minos primus classem paravit, ex Cycladibus Cares ejecit, primus

πολέμιον· ἀντίκειται γὰρ τῷ Ἕλληνι ὁ βάρβαρος. τὸ δὲ ἑξῆς, οἱ Ἕλληνες ὡς ἕκαστοι, καὶ ξύμπαντες, ὕστερον κληθέντες Ἕλληνες. 3. Τὴν στρατείαν—ξυνῆλθον] ἀντὶ τοῦ συνεστράτευσαν. δεῖ δὲ προσθεῖναι τὴν εἰς, οἷον, ἀλλὰ καὶ εἰς ταύτην τὴν στρατείαν ξυνῆλθον. Θαλάσσῃ—χρώμενοι] τουτέστιν ἐμπορευόμενοι. 4. Μίνως γὰρ παλαίτατος] διὰ τριῶν συγκρίσεων δείκνυσι τὰ πρὸ τῶν Πελοποννησιακῶν ἀσθενῆ, ἀφ' οὗ ἄνθρωποι μέχρι Μίνω, καὶ ἀπὸ τούτου μέχρι τῶν Τρωϊκῶν, καὶ ἀπὸ τῶν Τρωϊκῶν μέχρι αὐτοῦ. τινὲς δ' οὐκ ἐντεῦθεν, ἀλλ' ἀπὸ τοῦ "φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς" πρώτην λέγουσι σύγκρισιν. Ὧν] τὸ ὧν ἀντὶ τοῦ ἐκείνων. 5. Ἑλληνικῆς θαλάσσης] πρότερον γὰρ Καρικὴ ἐκαλεῖτο ἡ θάλασσα. Ἐπὶ πλεῖστον] ἀντὶ τοῦ ἐπὶ πολὺ μέρος αὐτῆς· ἢ τὸ ἐπιπλεῖστον ἀντὶ τοῦ πάνυ. 6. Κυκλάδων] παρὰ τὸ ἐν μέσῳ ἔχειν τὴν Δῆλον, τὴν ἱερὰν τοῦ Ἀπόλλωνος, καὶ κύκλον τινὰ περὶ αὐτὴν μιμεῖσθαι. εἰσὶ δὲ κατά τινας ιε' αὗται, Πάρος, Ἄνδρος, Ἴκαρος, Σκῦρος, Ῥήνεια, Ῥήνη, Δῆλος, Νάξος, Σίφνος, Κέως, Μύκονος, Τῆνος, Κύθνος, Ἄμοργος, Σέριφος· κατὰ δέ τινας ιβ, πλὴν Ῥήνης καὶ Σκύρου καὶ Ἰκάρου, μᾶλλον δὲ πλὴν Ῥήνης καὶ Σκύρου καὶ Ἀμόργου. 7. Τῶν πλείστων] ὑπακουστέον Ἑλλήνων.

ἦσαν ἀλλήλοις ξυνίεσαν Q. ἀλλήλων ὁμόφρονοι ἦσαν ἀλλήλοις ξυνίεσαν P. ἀλλήλων ξυνήεσαν a.d.i. et correctus E. ξυνήεσαν etiam Jac. Tusanus, cujus lectiones et correctiones Aldinæ Vindobonensi adscriptas edidit Alterus.

3. στρατιὰν A.B.E.I.P.

πλείω A.B.E.F.G.H.L. e.f.h. et pr. g. τὰ πλείω reliqui.

4. ἐξῆλθον e.

μῆνος d.

παλαιότατος G.I.L.O. a.c.d. παλαιώτατος H.

Μίνως γὰρ etc.] Minoa maris imperium obtinuisse testantur Aristot. in Polit. l. 2. c. 8. Diodorus Siculus I. 4. Stobæus serm. 42. Strabo I. 10. Apollodorus I. 3. aliique, quos affert Meursius in Creta, lib. 3. c. 3. Huds. Vide Cumberlandi Orig. Gentium Antiquis. p. 299. Wass. Et Selden. Mar. Claus. I. 9. Duk.

5. νῦν] om. b.

θαλάσσης. ἐπὶ τόπου νῦν τὸ πλεῖστον. ἐπὶ πλεῖστον E.

ἐπὶ πλεῖστον] om. a.

7. τῶν πλείστων] om. a.

Κᾶρας ἐξελάσας] Cares a Minoe ejectos e Cycladibus, memoratur Libanio in Antiochica et Isocrati in Panathenaica. Huds. Herodot. I. 28. 171. Wass. Locum hunc de Caribus laudat Serv. ad Virg. Æn. 8, 725. Λῃστικὸν habet Thom. Magist. Duk.

ἑαυτῶν παῖδας ἡγεμόνας ἐγκαταστήσας· τό τε λῃστικὸν, ὡς εἰκὸς, καθῄρει ἐκ τῆς θαλάσσης, ἐφ' ὅσον ἠδύναντο, τοῦ τὰς προσόδους μᾶλλον ἴσας αὐτῷ. * οἱ γὰρ Ἕλληνες τὸ πάλαι, καὶ τῶν βαρβάρων οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι καὶ ὅσοι νήσους εἶχον, ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους, ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα καὶ τοῖς ἀσθενέσι τροφῆς· καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις καὶ κατὰ κώμας οἰκουμένας ἥρπαζον, καὶ τὸν πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο, οὐκ ἔχοντός πω αἰσχύνην τούτου τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον. δηλοῦσι δὲ τῶν τε ἠπειρωτῶν τινὲς ἔτι καὶ νῦν, οἷς κόσμος καλῶς

donesque coërcuit.

5. Antiquitus enim et Græci et barbari prædabantur; more olim non ignominioso, etiam Auctoris ætate Locris Ozolis, Ætolis, Acarnanibusque usitato, quare armati prodeunt.

1. Ἐγκαταστήσας] ποιήσας κατὰ μέρος, οὐ πάντας ὁμοῦ. Τό τε λῃστικὸν] λῃστικὸν τὸ σύστημα, ἤγουν τοὺς λῃστάς· λῃστικὸν δὲ τὸ κτῆμα. 3. Τὰς προσόδους μᾶλλον ἴσας αὐτῷ] ἡ γὰρ μὴ λῃστευομένη πλείους φέρει προσόδους. Οἱ γὰρ Ἕλληνες] τὴν αἰτίαν τοῦ λῃστεύειν ἐπάγει νῦν. 4. Ἐν τῇ ἠπείρῳ] ἤπειρος τριχῶς λέγεται. ἡ πᾶσα γῆ, πρὸς ἀντιδιαστολὴν τῆς θαλάσσης, ἡ Ἀσία κατ' ἐξοχήν, καὶ μέρος τι τῆς.....Κεφαλληνίαν. 7. Οὐ τῶν ἀδυνατωτάτων] εἶπε γὰρ ἀτειχίστων ὄντων, ὥσπερ ἦν ἡ Ἀττικὴ πάλαι, κατὰ κώμας οἰκουμένη. 10. Ἥρπαζον] ἐλῄστευον, ἀπὸ τοῦ ἁρπάζειν ἐβίων. Τὸν πλεῖστον τοῦ βίου] οὕτω Θουκυδίδης, καὶ τὸν πλεῖστον τοῦ χρόνου. 11. Οὐκ ἔχοντός πω αἰσχύνην] ἤγουν οὐκ αἰσχροῦ νομιζομένου τοῦ λῃστεύειν. 13. Καλῶς] ἀντὶ τοῦ εὐσεβῶς καὶ φιλανθρώπως· οὔτε γὰρ βοῦν ἀρο-

1. ἡγεμονίας B.
λῃστικὸν I.N.O.P.a.c.d.e.f.i.
2. καθαίρει L. Conf. Lobeck. ad Phrynich. p. 242. Plato Menexen. p. 391, 9. ed. Berolin.
ἐδύνατο N.f.
3. τοῦ] τὸ a.
4. οἵ τε] ὅσοι a.
6. μᾶλλον] om. a.
ἐπ'] πρὸς a.
8. αὐτῶν A.B.E.F.H.L.N.O. om. I.e. ceteri αὐτῶν.
εἵνεκα L.
10. Vid. Suidam in κώμην, et Küsteri Notas. Hesych. κῶμαι, ἀγυιαὶ, ῥύμαι. apud quem in κῶμα, pro κοίμισμα et ληθώδης, repone κοίμημα et ληθώδης. Vid. Suid. et Etym. M. in κῶμα. Wass.
οἰκουμένας F.
τὸν] τὸ L.L.N.d.e. et γρ.Q.
πλεῖστον πόρον τοῦ P.
11. — χοντος —— p. 17, τὰ πρὸ αὐτῆς] om. i.
πω] που e.g.
τούτου] om. a.
12. δόξης] τιμῆς P.Q.
13. Laudat h. l. Suidas v. καλῶς. Wass.
καλὸς E.

τοῦτο δρᾶν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃσταί εἰσιν, ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τ' ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων. ἐληΐζοντο δὲ καὶ κατ' ἤπειρον ἀλλήλους. καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλ- 5
λάδος τῷ παλαιῷ τρόπῳ νέμεται, περί τε Λοκροὺς τοὺς Ὀζόλας καὶ Αἰτωλοὺς καὶ Ἀκαρνᾶνας καὶ τὴν ταύτῃ ἤπειρον. τό τε σιδηροφορεῖσθαι τούτοις τοῖς ἠπειρώταις ἀπὸ
6. τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε· * πᾶσα γὰρ ἡ Ἑλλὰς
Qui mos armа gerendi ἐσιδηροφόρει διὰ τὰς ἀφράκτους τε οἰκήσεις καὶ οὐκ ἀσ- 10

τῆρα ἐλεηλάτουν, ἢ ἔκλεπτον νυκτὸς, οὔτε μετὰ φώνων ἐτοίμου τὴν λῃστείαν. Ὅμηρος· οἷά τε λῃϊστῆρες ὑπεὶρ ἅλα. (Od. 9, 254.) 4. Οὐκ ὀνειδιζόντων] τῶν ἐρωτωμένων, ἢ τῶν ἐρωτώντων· διχῶς γὰρ ὁ νοῦς. 10. Ἐσιδηρο-

1. Οἱ παλαιοὶ τῶν ποιητῶν] Extat testimonium apud plurimos, imprimis vero antiquissimum Homerum, Odyss. 3, 71. et Hymn. Apollinis 452. ubi Scholiastes: οὐκ ἔδοξεν ἦν παρὰ τοῖς παλαιοῖς τὸ λῃστεύειν, ἀλλ' ἔνδοξον. Huds. Add. Eustath. in Od. γ'. p. 1457. et Justin. 43, 3. ibique Bern. Duk.

Πύστεις] Inter Thucyd. γλωττόδη ponit Suidas in περιωπή. ἐρώτησις etiam expl. Hesych. D. Halic. Ant. I. 81. εἰδέναι κατὰ ΠΥΣΤΙΝ τοῦ τρέφοντος. Sic MS. Vatic. v. eundem de Thucyd. §. 29. Gloss. πύσμα percontatio. Eurip. Electra 690. ἦ μὲν ἦλθῃ ΠΥΣΤΙΣ εὐτυχὴς σέθεν, Ὀλολύζεται πᾶν δῶμα. a πεύσω πύστις, ἡ δι' ἀκοῆς μάθησις. Eustath. ad Odyss. α'. Wass. Grammatici quidem discrimen statuunt inter πυνθάνεσθαι et ἐρωτᾶν, item inter πύστιν et ἐρώτησιν, ita ut ex eorum sententia non videatur dici posse πύστιν ἐρωτᾶν. Sed non credo Scriptores Græcos se semper illorum dictatis adligare. Certe Lucian. Pseudom. p. 767. promiscue πύστιν et ἐρώτησιν, πυνθάνεσθαι et ἐρωτᾶν dicit. Deinde, si jam πύστεις accipiamus pro ἐρωτήσεις, cur ineptius sit dicere ἐρωτήσεις ἐρωτᾶν, quam πύστεις πυνθάνεσθαι, quod est ap. eumd. l. d. et infinita alia hujus generis in utriusque linguæ Scriptoribus? Locum hunc Thucydidis ante oculos habuit Philostrat. Vit. Apollon. II. 29. Duk.

3. Ὡς οὔτε—ὀνειδιζόντων] Demetrius Phalereus §. 25. et legit οἷς τε. v. Sextum Pyrrh. Hypot. III. 24. Wass.

ὑπαξιούντων A.

4. εἰδέναι] om. a.

5. τοῦδε τὰ πολλὰ f.

7. Αἰτωλοὺς] Ætoli olim prædones. Polyb. 4. 377. Wass.

ταύτῃ Q. ταύτην I.

8. Σιδηροφορεῖσθαι] Huc spectat Ammianus M. XXIII. ult. v. Aristot. 2. Polit. VI. Wass. Adde Petit. Leg. Attic. p. 125. et 561. Duk.

φαλεῖς παρ' ἀλλήλους ἐφόδους, καὶ ξυνήθη τὴν δίαιταν μετ' ὅπλων ἐποήσαντο, ὥσπερ οἱ βάρβαροι. σημεῖον δ' ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμόμενα τῶν ποτὲ καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. ἐν τοῖς πρώτοις δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν, καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων διὰ τὸ ἁβροδίαιτον οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κε-

olim omnibus Græcis erat communis. Athenienses primi arma deposuerunt, mollioremque vitæ rationem receperunt; Lacedæmonii autem primi mediocri vestimento usi sunt.

φόρει] ὅθεν τὰς μαχαίρας μαυλίας ἐκάλουν, διὰ τὸ ἁμοῦ αὐλίζεσθαι, οἷον ἁμαυλίας. 4. Ἐν τοῖς] ἐν τούτοις, ποιητικῶς. ὑπερβιβάζεται γὰρ ὁ δέ. 5. Ἀνειμένῃ] τρυφηλῇ καὶ ἀνθηρᾷ. 6. Ἐς τὸ τρυφερώτερον μετέστησαν] ἀντὶ τοῦ μετέστησαν εἰς τρυφῶσαν δίαιταν, τὸν σίδηρον καταθέμενοι. Οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων] ἀντίστασίς ἐστιν, οἱ εὐδαίμονες τῶν πρεσβυτέρων. ὑπερβατὸν, διὰ τὸ ἁβροδίαιτον. 8. Χιτῶνάς τε λινοῦς] οὐ πολὺς χρόνος ἀφ' οὗ ἐπαύσαντο φοροῦντες χιτῶνας λινοῦς, καὶ τέττιγας χρυσοῦς ἐξαρτῶντες τῷ τῶν τριχῶν πλέγματι. 9. Ἐνέρσει κρωβύλον] ἐν ἔρ-

3. ταῦτα] ἅττα Wyttenbach. Select. Hist.

οὕτω ἔτι P.Q.

4. καὶ] om. d.

ὁμοίων I.Q.

δὲ] μὲν Q. τε e.

5. Ἀνειμένῃ τῇ διαίτῃ] *Soluta, neque certis legibus adstricta vivendi ratione*; illustrat Wyttenb. Anim. ad Jul. Or. I. Bibl. Crit. Vol. III. P. I. p. 68. sive ex edit. Schaeferi (Lips. 1802.) p. 159.

6. τρυφερώτατον I.c.

8. λινοῦς A.g.

Καὶ χρυσῶν τεττίγων, &c.] Hic capillorum congestus mulieribus Romanis (nam et illæ crines ad verticem convolutos gestabant) vocabatur Tutulus, ut auctor est M. Varro. Vide Æliani Var. Hist. l. 4. c. 22. et Kuhnii notas. Brodæum in Epigramm. l. 6. p. 573. Junium de Coma, Nic. Loënsis Miscell. et Meursium de Fort. Att. l. 1. c. 1. Huds. Locum tangit Eustath. ad Il. 3. 395. d. et rationem cultus de Ino addit quasi ex nostro. Wass.

9. ἐνέρσει A.B.E.F. et Parisini omnes. vulgo ἐν ἔρσει.

κρωβύλον A.F.a.c.f.g. cum Sch. Aristoph. (Nub. 980.) κρωβύλῳ B.

Κρωβύλον] εἶδός τι ἐμπλοκῆς. Harpocrat. unde Etymologus v. κρόβυλος. Κορδύλῳν vocant Cyprii, Persæ Κίδαριν. Idem v. ἐγκεκορδυλημένος. Vide Anthol. VI. 22. Xenoph. Cyr. V. 352. et Lucian. Lexiph. Pollucem II. 30. Κρ. Cinnus Glossæ. usus est D. Halic. Etiam in V. H. Ælianus. Suidas in κρόβυλος, κρωβύλους ἀναδούμενοι, et ἐνέρσει ποικίλων κρωβύλων. Hinc emendes licet et ἐνέρσει, in τεττιγοφόρου. Hunc beatulorum cultum ridet haud inele-

φαλῆ τριχῶν· ἀφ' οὗ καὶ Ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενὲς ἐπὶ πολὺ αὕτη ἡ σκευὴ κατέσχε. μετρίᾳ δ' αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον πρῶτοι Λακεδαιμόνιοι ἐχρήσαντο, καὶ ἐς τἆλλα πρὸς τοὺς πολλοὺς οἱ τὰ μείζω κεκτημένοι ἰσοδίαιτοι μάλιστα κατέστησαν. ἐγυμνώθησάν

σει, ἢ ἐν εἰσέρσει, ἢ ἐν πλοκῇ. κρωβύλος δέ ἐστιν εἶδος πλέγματος τῶν τριχῶν, ἀπὸ ἑκατέρων εἰς ἓξὺ ἀπολῆγον. ἐκαλεῖτο δὲ τῶν μὲν ἀνδρῶν κρωβύλος, τῶν δὲ γυναικῶν κόρυμβος, τῶν δὲ παίδων σκορπίος. Ἐν ἔρσει, ἐν ἀναδέσει, παρὰ τὸ εἴρειν. Ἐνήλλαξε τὴν πτῶσιν, ἀντὶ τοῦ χρυσοῦς τέττιγας. ἐφόρουν δὲ τέττιγας διὰ τὸ μουσικὸν, ἢ διὰ τὸ αὐτόχθονες εἶναι· καὶ γὰρ τὸ ζῷον γηγενές. 2. Μετρίᾳ δ' αὖ ἐσθῆτι] λείπει ἡ τῇ, ἵν' ᾖ, καὶ τῇ ἐς τὸν νῦν τρόπον. πρῶτοι Λακεδαιμόνιοι οἱ τὰ μείζω κεκτημένοι μετρίᾳ ἐσθῆτι ἐχρήσαντο, καὶ ἐς τὰ ἄλλα τοῖς πολλοῖς ὁμοδίαιτοι κατέστησαν. 4. Τοὺς πολλοὺς] τοὺς πένητας. 5. Ἐγυμνώθησάν τε πρῶτοι] ἐν τοῖς ἀγῶσι δηλονότι·

ganter Strato Epigramm. 34. Οἱ πρεσβύτεροι—τριχῶν Schol. Hermogenis p. 393. Conf. Antiphanem in Anteo. Τριχῶν abundat etiam apud Eurip. Iphig. Aul. Μήτ'—πλόκαμον ἐκτέμῃς ΤΡΙΧΟΣ. Hinc etiam corrig. Etymologus V. ἀνείρειν. WASS. Ubi ex h. l. laudat ἀνέρσει. At in ἔνερσις, ἐνέρσει· nam non dubito, quin ibi ad h. l. respexerit. Et sic præter Suidam et Varin. in ἔνερσις, etiam Clem. Alex. II. Pædag. p. 199. Καὶ κρόβυλον, ὃ ἐμπλοκῆς ἐστὶν εἶδος, ἀνεδοῦντο χρυσοῦν, (χρυσῶν recte emendavit Episcopus Oxon.) ἐνέρσει τεττίγων κοσμούμενοι· ubi mihi suspecta sunt illa, ὃ ἐμπλοκῆς ἐστὶν εἶδος, tanquam a studioso quodam, qui verba Lexicographorum, nam apud eos hæc leguntur, ad marginem transcripserit, profecta. Paullo ante οἱ πρεσβύτεροι τῶν εὐδαιμόνων sunt *grandes jam natu inter opulentos*, non, ut Schol. et Interpretes Latini accipiunt. Ita Perizon. ad Ælian. IV. Var. Hist. 22. Sed in re non multum interesse utro modo vertas, nec facile quemquam τοὺς πρεσβυτέρους pro *hominibus tempore antiquioribus* accepturum, puto. Ceterum an ex Herodot. II. 36. sine controversia possit confici, hunc morem adhuc obtinuisse apud Athenienses, quo tempore Historiam scribebat Herodotus, quod putat Salmas. in lib. de Coma p. 542. quærant alii. DUK.

1. Καὶ Ἰώνων] Poll. VII. 71. λινοῦς χιτῶν, ὃν Ἀθηναῖοι ἐφόρουν τοδήμῳ, καὶ αὖθις Ἴωνες. add. Clem. Alex. l. d. et Excerpt. Peiresc. p. 234. DUK.

2. ἐπὶ πολὺ αὕτη] αὕτη ἐπὶ πολὺ f. κατασκευὴ A.B.P.h. παρασκευὴ g. in F. spatium relictum inter articulum et σκευή.

4. τἆλλα f.

5. Ἰσοδίαιτοι] Vid. Spanh. ad Julian. Orat. I. p. 134. Quæ mox sequuntur, ἐγυμνώθησάν τε πρῶτοι, illustrant Casaub. ad D. Hal. p. 475. et Perizon. ad Ælian. III. Var. Hist. 38. Ἀποδῦναι inter verba propria Gymnasiorum ex h. l. memorat Poll. III. 153. D.

Ἐγυμνώθησαν] Πρῶτοι non ni

τε πρῶται, καὶ ἐς τὸ φανερὸν ἀποδύντες λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο· τὸ δὲ πάλαι καὶ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο, καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. ἔτι δὲ καὶ ἐν τοῖς βαρβάροις ἔστιν, οἷς νῦν, καὶ μάλιστα τοῖς Ἀσιανοῖς, πυγμῆς καὶ πάλης ἆθλα τίθεται, καὶ διεζωσμένοι ταῦτο δρῶσι. πολλὰ δ' ἂν καὶ ἄλλα τις ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν βαρ-

καὶ γὰρ περὶ τὰ αἰδοῖα ἐζώννυντο. Ὅμηρος· Ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνῶσι καὶ οἵδε Μαρναμένους. (Od. 18, 30.) Ταῦτα δὲ ὡς ἐν παρεκβάσει εἴρηται. 1. Λίπα] τὸ λίπα Ὅμηρος ἐπιθετικῶς λέγει τὸ ἔλαιον, οὗτος δὲ ὅτως αὐτὸ ὀνομάζει. Ἀπὸ Ὀρσίππου Μεγαρέως ἐγυμνώθησαν ἐν τοῖς ἀγῶσιν, ὡς δηλοῖ καὶ τὸ εἰς αὐτὸν ἐπίγραμμα, Ὀρσίππῳ Μεγαρεῖς μεγαλόφρονι τῷδε ἀριδήλων Μνῆμα θέσαν, φάμᾳ Δελφίδι πειθόμενοι· Πρῶτος δ' Ἑλλήνων ἐν Ὀλυμπίᾳ ἐστεφανώθη Γύμνος, ζωννυμένων τῶν πρὶν ἐκὶ σταδίῳ. Ἱστέον ὅτι περὶ τῶν Λακεδαιμονίων οὐκ ἀσθένειαν τῶν ἀρχαίων παραδίδωσιν (ἀδιάφορον γὰρ τὸ γυμνοὺς ἢ ἐζωσμένους ἀγωνίζεσθαι πρὸς δύναμιν) ἀλλὰ μόνον ὅτι ὁμοίως διηγοῦντο τοῖς βαρβάροις. τὸ δὲ ἑξῆς· ἔτι δὲ καὶ ἐν τοῖς βαρβάροις, καὶ μάλιστα ἐν τοῖς Ἀσιανοῖς, οἷς νῦν πυγμῆς καὶ πάλης ἆθλα τίθεται. 5. Ἐν τοῖς βαρβάροις ἔστιν οἷς] ἔν τισι τῶν βαρβάρων. 6. Ἆθλα] ἆθλος

mis urgendum est; Cretenses enim fuere primi, a quibus Lacedæmonii, ut alia, hunc morem acceperunt, si quidem fides habenda est Platoni, Reip. L. V. p. 452. ὅτε ἤρχοντο τῶν γυμνασίων πρῶτον μὲν Κρῆτες, ἔπειτα Λακεδαιμόνιοι. Laudavit h. l. Thuc. Dionys.dejud.Thuc.p.856. Gottl.

1. λίπος c.

Λίπα] Pro λιπαρὸν Suidas h. v. et λίπα ἀλείφονται ex Æliano adducit. v. Hesych. λίπα, ἤφα, ἄλειφα οὐ κλίνονται inquit Etymologus in ἄλειφα. Wass. add. Eustath. ad Od. ξ. p. 1560. Duk.

2. γυμνάσθαι I.

ὀλυμπικῷ L.

3. Διαζώματα ἔχοντες] Subligaculi meminit Homerus, et in alio insigni loco præter istum a Scholiaste citatum, sc. Il. 23, 683. Vide Fabri Agonisticon, l. 2. c. 2. 3. 4. Huds. Διαζώματα—ἠγωνίζοντο. Magister in ζῶμα. Wass. De Ὀλυμπιακὸς et Ὀλυμπικὸς leg. quæ disputat Küster ad Aristoph. Plut. 583. add. infr. V. 49. Duk.

4. καὶ οὐ πολλὰ] καὶ πολλὰ Meurs. de Arch. Athen. 1, 6.

πέπαυνται Reiskius.

5. καὶ] om. L.O.

τοῖς] om. e.

6. τίθενται e.

7. Διεζωσμένοι] Suidas in σέσωσται legit διεζωμένοι, et σεσωμένος pro σεσωσμένος. Vid. Vossium ad Catullum 321. Wass.

8. νῦν] om. g.h.

7. Propter prædationem urbes vel muniebantur, vel remotioribus a littore locis condebantur.

βαρικῷ διαιτώμενον. * Τῶν δὲ πόλεων ὅσαι μὲν νεώτατα ᾠκίσθησαν καὶ ἤδη πλοϊμωτέρων ὄντων, περιουσίας μᾶλλον ἔχουσαι χρημάτων, ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο καὶ τοὺς ἰσθμοὺς ἀπελάμβανον, ἐμπορίας τε ἕνεκα καὶ τῆς πρὸς τοὺς προσοίκους ἕκαστοι ἰσχύος· αἱ δὲ παλαιαὶ διὰ τὴν λῃστείαν ἐπὶ πολὺ ἀντισχοῦσαν ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν, αἵ τε ἐν ταῖς νήσοις καὶ ἐν ταῖς ἠπείροις (ἔφερον γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων ὅσοι ὄντες οὐ θαλάσσιοι κάτω ᾤκουν), καὶ μέχρι τοῦδε ἔτι ἀνῳκισμένοι εἰσί. * καὶ οὐχ ἧσσον λῃσταὶ ἦσαν οἱ νησιῶται, Κᾶρές τε ὄντες καὶ Φοίνικες· οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκισαν. μαρτύριον δέ· Δήλου γὰρ

8. Nec minime insulani prædationem exercebant.

ὁ ἀγών, ἀρσενικῶς· ἆθλον δὲ τὸ ἔπαθλον, οἰδετέρως. 2. Πλοϊμωτέρων] ἀδείας τυχοῦσαι τοῦ πλεῖν. ἡ δὲ σύγκρισις πρὸς τοὺς ἀρχαίους. Περιουσίας μᾶλλον ἔχουσαι] πανταχοῦ τοὺς παρὰ θάλατταν ἀνθρώπους εὐπορωτέρους λέγει εἶναι. 3. Τείχεσιν ἐκτίζοντο] λείπει ἡ σὺν, ἵνα ᾖ, σὺν τείχεσιν ἐκτίζοντο. 5. Προσοίκους] τὸ πρόσοικος ἐπὶ πόλεως οἰκειότερον μᾶλλον τοῦ ὅμορος· ἐπὶ γὰρ ὅρων τοῦτο λαμβάνεται. 6. Διὰ τὴν λῃστείαν] διὰ τὸ λῃστεύεσθαι. Ἀντισχοῦσαι] μετὰ μάχης ἀναστωθεῖσαι. 8. Ἔφερον] τὸ ἔφερον, ἀντὶ τοῦ ἔβλαπτον, ἐλῄστευον, ὡς καὶ Ἡρόδοτος. 9. Κάτω] ἤτοι ἐγγὺς τῆς θαλάσσης. τὸ ἑξῆς, τῶν ἄλλων ὅσοι κάτω ᾤκουν, ὄντες οὐ θαλάσσιοι, ἔφερον ἀλλήλους. 10. Οὐχ ἧσσον] ἀντὶ τοῦ λίαν.

1. *νεώτατοι* I.c.e.

2. *πλοϊμωτέρων* A.B.E. vulgo *πλοϊμωτέρων*. Sic I, 8. A.B.E. *πλοϊμώτερα*; I, 28. A.B.C.F.g. et II, 13. A.B.F.I.K.g. *πλοΐμους*; I, 50. A.B.C.g. *πλοΐμοις*; I. 52. iidem *πλοΐμοι*.

περιουσίαν P.

6. *ἀντισχοῦσαν* B.E.G.L.O.6. f.i. vulgo *ἀντισχοῦσαι*.

8. *Ἔφερον*] Suidas in *φέρειν*, *ἔφερον ἀλλήλους οὐχ ἧττον*. Wass.

9. *ὄντες οὐ θ.*] *οὐ θ. ὄντες* c.

κάτω ᾤκουν] *κατῴκουν* I.

10. *ἔτι*] om. F.N.h.

ἀνῳκισμένοι Wyttenbach. et Coraes.

Καὶ οὐχ ἧσσον] Priscian. 18, 1195. *ἧττον*, *ἀντὶ τοῦ*, καὶ *μᾶλλον ἐλῄστευον*. Vid. Diodorum I. et Tournefort. Itinerar. l. 154. Wass.

ἧττον c.

11. *Νησιῶται, Κᾶρές τε*, &c.] Cares olim fuisse insulanos clare testatur Strabo, lib. XII. illosque Phœnicibus successisse tradit Conon, istis verbis: *Φοινίκων δ' ἐκπεσόντων, Κᾶρες ἔσχον. ὅτι καὶ τὰς ἄλλας νήσους περὶ τὸ Αἰγαῖον ᾤκησαν.* Vide Meursii Cretam et Rhodum. Huds.

ὄντες] om. G.

12. *ᾤκισαν* B.K.Q.c.g.i. et cor-

καθαιρουμένης ὑπὸ Ἀθηναίων ἐν τῷδε τῷ πολέμῳ, καὶ τῶν θηκῶν ἀναιρεθεισῶν ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ, ὑπὲρ ἥμισυ Κᾶρες ἐφάνησαν, γνωσθέντες τῇ τε σκευῇ τῶν ὅπλων ξυντεθαμμένῃ καὶ τῷ τρόπῳ ᾧ νῦν ἔτι θάπτουσι. καταστάντος δὲ τοῦ Μίνω ναυτικοῦ πλοϊμώτερα ἐγένετο παρ' ἀλλήλας· οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπ' αὐτοῦ, ὅτε περ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε, καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων ποιούμενοι βεβαιότερον ᾤκουν, καί τινες καὶ τείχη περιεβάλλοντο, ὡς πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι. ἐφιέμενοι γὰρ τῶν κερδῶν οἵ τε ἧσσους ὑπέμενον τὴν τῶν κρεισσόνων δουλείαν, οἵ τε δυνατώτεροι περιουσίας ἔχοντες προσεποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις. καὶ ἐν τούτῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες ὕστερον χρόνῳ ἐπὶ Τροίαν ἐστράτευσαν.

bant. Post Minoëm autem, cujus classis mare tutum præstitit, validiores opibus civitates sibi subjecerunt infirmiores.

9. Agamem-

*Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων,

3. Γνωσθέντες τῇ τε σκευῇ] Κᾶρες πρῶτοι εὗρον τοὺς ὁμφαλοὺς τῶν ἀσπίδων καὶ τοὺς λόφους. τοῖς οὖν ἀποθνήσκουσι συνέθαπτον ἀσπιδίσκων μικρὸν καὶ λόφων, σημεῖον τῆς εὑρέσεως· καὶ ἐκ τούτου ἐγνωρίζοντο οἱ Κᾶρες. οἱ δὲ Φοίνικες ἐκ τοῦ τρόπου τῆς ταφῆς· τῶν ἄλλων γὰρ ἐπ' ἀνατολὰς ποιούντων ὀρθὰ τοὺς νεκρούς, οἱ Φοίνικες ἐξεπίτηδες ἐπὶ δύσιν. ἵνα μὴ διαβάλλῃ τὸ Ἑλληνικὸν, εἶπε Κᾶρας καὶ Φοίνικας. Ὑπὲρ ἥμισυ] οὐ τῶν Ἑλλήνων ὑπὲρ ἥμισυ, ἀλλὰ τῶν Φοινίκων. οἱ γὰρ Ἕλληνες ἔκαιον τὰ σώματα. 5. Καταστάντος δὲ τοῦ Μίνω] τὸ σχῆμα ἐπανάληψις. τὸ δὲ Μίνω Ἀττικόν. 6. Ἀνέστησαν] ἀνάστατοι ἐγένοντο. 10. Καὶ τείχη περιεβάλλοντο] καὶ τοῦτο ἐπανάληψις· προεῖπε γὰρ, τείχεσιν ἐκτίζοντο. 16. Ἀγαμέμνων τέ μοι δοκεῖ]

recti F.G. ceteri ᾤκησαν.
1. καθαιρουμένης I.H.N.c.
τῷδε] om. O.
2. ἀφαιρεθεισῶν L.O.P.
τεθνηκότων a.
ἐν τῇ νήσῳ] margo P.
3. ὑπὲρ ἥμισυ] ἐν ἑρύμασι Quintilian. 9. 4. p. 852. Burm.
4. ξυντεθαμμένῃ A.H.a. ξυντεθαμμένοι I.K.L.N.O.P.d.e. ξυντεταμμένοι b.c.
νῦν ἔτι] καὶ νῦν ἔτι a. νῦν d.g.
7. ὕστερ a.
8. περὶ g.h.
9. κτίσιν H.
10. περιεβάλοντο c.
ὡς πλ. ἑ. γ.] om. f.
11. τῶν] om. N.
12. τὴν] om. c.
14. ὕστερον A.B.E.F.H.I.K.N. Q.a.c.f.g. ὑστέρῳ ceteri.
16. Ἀγαμέμνων—προὔχων] Hermogenes. Wass.
τῶν τότε δυνάμει] δυνάμει τῶν

nonis imperium amplissimum et in Peloponneso et in insulis, unde sit partum.

καὶ οὐ τοσαῦτον τοῖς Τυνδάρεω ὅρκοις κατειλημμένους τοὺς Ἕλένης μνηστῆρας ἄγων, τὸν στόλον ἀγεῖραι. λέγουσι δὲ καὶ οἱ τὰ σαφέστατα Πελοποννησίων μνήμῃ παρὰ τῶν πρότερον δεδεγμένοι, Πέλοπά τε πρῶτον πλήθει χρημάτων, ἃ ἦλθεν ἐκ τῆς Ἀσίας ἔχων ἐς ἀνθρώπους ἀπόρους, δύναμιν περιποιησάμενον τὴν ἐπωνυμίαν τῆς χώρας ἐπηλύτην ὄντα ὅμως σχεῖν, καὶ ὕστερον τοῖς ἐκγόνοις ἔτι μείζω ξυνενεχθῆναι, Εὐρυσθέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος, Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος Εὐρυσθέως, ὅτ' ἐστράτευε, Μυκήνας τε καὶ τὴν ἀρχὴν κατὰ τὸ οἰκεῖον Ἀτρεΐ· τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα διὰ τὸν Χρυσίππου θάνατον, καὶ ὡς οὐκέτι ἀνεχώρησεν Εὐρυσθεύς, βουλομένων καὶ τῶν Μυκηναίων φόβῳ τῶν Ἡρακλειδῶν, καὶ ἅμα

τὸ ἑξῆς, Ἀγαμέμνων τέ μοι δοκεῖ τὸν στόλον ἀγεῖραι. 3. Καὶ οἱ τὰ σαφέστατα] ὁ νοῦς τοιοῦτος· Λέγουσι δὲ καὶ οἱ τὰ Πελοποννησίων μνήμῃ σαφέστατα δεδεγμένοι. Ὑ' ἦ ἐπίβρημα τὸ σαφέστατα. 4. Πέλοπά τε πρῶτον] τὸ ἑξῆς, Πέλοπά τε πρῶτον ἐπηλύτην ὄντα ὅμως σχεῖν. τὸ πρῶτον πρὸς τὸ πλήθει χρημάτων. 6. Τὴν ἐπωνυμίαν] Ἀπία γὰρ τὸ πρῶτον ἐκαλεῖτο. Ὅμηρος· Τηλόθεν ἐξ Ἀπίης γαίης. (Il. 1, 270.) Πελοπόννησος γὰρ νῦν καλεῖται. 7. Καὶ ὕστερον] ἀπὸ κοινοῦ τὸ λέγουσι. 8. Ὑπὸ Ἡρακλειδῶν] οὐχ ὅτι ὑπ' αὐτῶν μόνον ἐφανεύθη, ἀλλ' ὅτι δι' αὐτούς. 9. Ἀτρέως δὲ μητρὸς] Ἀστυδάμεια μήτηρ Εὐρυσθέως, ἀδελφὴ Ἀτρέως. 12. Τὸν πατέρα] τὸν Πέλοπα. ὁ γὰρ Πέλοψ τὸν Χρύσιππον τὸν υἱὸν ἀνεῖλεν· ὁ δὲ Ἀτρεὺς, φοβούμενος μὴ τὸ αὐτὸ πάθῃ, ἔφυγεν. 13. Ἀνεχώρησεν] ἀντὶ τοῦ

τότε L.O.P.Q.

1. Τυνδάρεω ὅρκοις] Vid. Plutarchus in Theseo, Apollodorus, lib. 3. Pausanias in Laconicis, p. 108. et Scholiastes Sophoclis ad Ajac. p. 63. Ed. Steph. Huds.

4. τε om. N.

5. ἀπόρους ἀνθρώπους c.

7. ὁμοίως g.h.

καὶ] om. f.

τοῖς ἐκγόνοις οἷον ἀτρεῖ ἀγαμέμνονι ἔτι A.B.E.F.d.g. et, qui ατρειων habere dicitur, h.

μεῖζον d. om. F.G.H.a.c.e.

8. Ξυνενεχθῆναι] Schol. Camer. exponit per εὐτυχηθῆναι. Wass. Etiam H.g. habent Scholion ἀντὶ τοῦ εὐτυχηθῆναι, ἢ συναχθῆναι. Duk.

10. Εὐρυσθέως—παραλαβεῖν] D. Halic. p. 136. in quibus inquit σκολιὰ, καὶ πολύπλοκος, καὶ δυσεξέλικτος ἡ τῶν ἐνθυμημάτων κατασκευὴ γίνεται. Wass.

11. τε] om. e.

12. φεύγοντα τὸν πέλοπα τὸν πατέρα E.

δυνατὸν δοκοῦντα εἶναι καὶ τὸ πλῆθος τεθεραπευκότα, τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσθεὺς ἦρχε τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν, καὶ τῶν Περσειδῶν τοὺς Πελοπίδας μείζους καταστῆναι. ἃ μοι δοκεῖ Ἀγαμέμνων παραλαβὼν, καὶ ναυτικῷ [τε] ἅμα ἐπὶ πλέον τῶν ἄλλων ἰσχύσας, τὴν στρατείαν οὐ χάριτι τὸ πλεῖον ἢ φόβῳ ξυναγαγὼν ποιήσασθαι. φαίνεται γὰρ ναυσί τε πλείσταις αὐτὸς ἀφικόμενος καὶ Ἀρκάσι προσπαρασχὼν, ὡς Ὅμηρος τοῦτο δεδήλωκεν, εἴ τῳ ἱκανὸς τεκμηριῶσαι. καὶ ἐν τοῦ σκήπτρου ἅμα τῇ παραδόσει εἴρηκεν αὐτὸν

Πολλῇσι νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν·

οὐκ ἂν οὖν νήσων ἔξω τῶν περιοικίδων (αὗται δὲ οὐκ ἂν πολλαὶ εἶησαν) ἠπειρώτης ὢν ἐκράτει, εἰ μή τι καὶ

ἐκαπλήθεν. 1. Τεθεραπευκότα] χρήμασι δηλονότι. 3. Τῶν Περσειδῶν] Ὅμηρος· Εὐρυσθεὺς Σθενέλοιο πάϊς Περσηΐδαο. (Il. 19, 123.) ὁ δὲ Ἀτρεὺς Πελοπίδης. 4. Ἃ] τὰ δύο σκῆπτρα. 6. Οὐ χάριτι] Ὅμηρος· χάριν Ἀτρεΐδῃσι φέροντες (Od. 5, 307.) 7. Ναυσί τε] λείπει σὺν ναυσί τε. 8. Καὶ Ἀρκάσι] τὸ ἔξῆς, πρὸς δὲ καὶ Ἀρκάσι παρασχών. 9. Ἱκανὸς] διὰ τοῦ ἱκανὸς τὸ ἀξιόπιστον τοῦ ποιητοῦ παρέστησεν. 12. Οὐκ ἂν οὖν νήσων] συλλογισμὸς τὸ σχῆμα. Ἀγαμέμνων ἦρχε μὲν τοῦ Ἄργους καὶ τῶν περὶ αὐτὸ νήσων, ἐκέκεινα δὲ τῶν ἐν τῇ περιοχῇ τοῦ Ἄργους νήσων, ἦρχε καὶ ἑτέρων νήσων πολλῶν, αἳ οὐκ ἂν ἦσαν πολλαὶ, εἰ μὴ ναυτικὸν εἶχεν ὁ Ἀγα-

1. τῶν] om. c.

5. ναυτικὸν d.

τε om. g. δὲ reponebat Reiskius.

ἐπιπλέον pr. F.

6. στρατιὰν A.B.E. et plerique omnes.

τὸ πλεῖον] μᾶλλον K. τὸ πλεῖστον a.

7. πλείσταις] Fuerunt qui πλεῖστες legerent.

αὐτὸς] om. a.

9. ἱκανὸς τοῦτο τεκμ. K.

Εἴ τῳ ἱκανὸς τεκμηριῶσαι] Dictionem Thucydideam ab aliis scriptoribus hinc sumtam notavit Wyttenb. Bibl. Crit. Vol. I. P. III. p. 49. Addit in not. h. l. Euseb. Præp. Ev. III. 103. C. εἴ τῳ ἱκανὸς πιστώσασθαι Πλάτων.

Ἐν τοῦ σκήπτρου] Il. 2, 108. Sceptrum hoc fuit hasta, quam Chæronenses tanquam Deum venerati sunt. v. Pausan. IX. 40. p. 795. Ita Sceptrum Jovis in gemmis est *hasta pura*. v. Lipperti Diactylioth. p. 7. GOTTL.

10. αὐτὸν] om. Q.

11. ἔξω τῶν π.] τῶν π. ἔξω a.

13. τι] om. a.

ναυτικὸν εἶχεν. εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατείᾳ οἵα ἦν τὰ πρὸ αὐτῆς. * καὶ ὅτι μὲν Μυκῆναι μικρὸν ἦν, ἢ εἴ τι τῶν τότε πόλισμα νῦν μὴ ἀξιόχρεων δοκεῖ εἶναι, οὐκ ἀκριβεῖ ἄν τις σημείῳ χρώμενος ἀπιστοίη μὴ γενέσθαι τὸν στόλον τοσοῦτον, ὅσον οἵ τε ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει. Λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κατασκευῆς τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως προελθόντος πολλοῦ χρόνου τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι (καίτοι Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέμονται, τῆς τε ξυμπάσης ἡγοῦνται καὶ τῶν ἔξω ξυμμάχων πολλῶν· ὅμως δὲ οὔτε ξυνοικισθείσης πόλεως οὔτε ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας δὲ τῷ παλαιῷ τῆς Ἑλλάδος τρόπῳ

10. Neque illud quidem dubium, bellum Trojanum omnibus superioribus bellis majus, hoc autem Peloponnesiaco minus fuisse, etiamsi Homero fidem habeamus.

μένων, δι' οὗ τούτων κρατεῖν ἠδύνατο. 1. Εἰκάζειν δὲ χρὴ] εἰ γὰρ τὰ οὕτως ὑμνούμενα εὐτελῆ ἦν, πόσῳ μᾶλλον τὰ πρὸ αὐτῶν; 4. Οὐκ ἀκριβεῖ] οὐ γάρ ἐστιν ἀκριβὲς σημεῖον τὸ ἐκ τῶν τόπων τὰς δυνάμεις τῶν ἀνθρώπων στοχάζεσθαι. 5. Μὴ γενέσθαι] Ἀττικῶς τὸ μὴ ἐνταῦθα παρέλκει. 6. Λακεδαιμονίων γὰρ] τὸ σχῆμα κατὰ ὑπόθεσιν. καταρᾶται δὲ τοῖς Λακεδαιμονίοις λεληθότως. 7. Ἡ πόλις] ἡ μητρόπολις, ἡ Σπάρτη. Τά τε ἱερὰ] εὐσεβῶς λέγει τὰ ἱερά. 10. Πελοποννήσου] Πελοποννήσου αἱ πέντε μοῖραι Λακωνική, Ἀρκαδική, Ἀργολική, Μεσσηνιακὴ καὶ τῆς Ἤλιδος. ἀποθανόντος δὲ Κρεσφόντου ἔσχον τὴν Μεσσηνιακὴν οἱ Λακεδαιμόνιοι. 11. Δύο μοίρας] Λακωνικὴν καὶ Μεσσηνιακήν. Τῆς δὲ ξυμπάσης ἡγοῦνται] Ἰστέον ὅτι τῆς Ἀργολικῆς οὐκ ἦρξαν, ἀλλὰ συνεκδρομικῶς εἶπε. τὸ ἑξῆς, ὅμως δὲ φαίνοιτ' ἂν ὑποδεεστέρα, πόλεως καὶ εὐτελοῦς, καὶ οὔτε συνοικισθείσης, καὶ τὰ ἑξῆς. 13. Πε-

1. στρατιᾷ plerique omnes.
2. Μυκῆναι] Huc respexit Scholiastes Hermogenis. p. 62. Wass.
3. ἀξιόχρεον E.
5. οἵ τε] τε οἱ K.d. οἱ e.
6. Λόγος κατέχει] Vid. Valck. ad Eurip. Hippol. p. 322. Gottl.
7. ληφθείη A.B.K.g.
τά τε] τὰ L.g. τὰ ταύτης e. ταύτῃ I.
8. πολλὴν γὰρ ἂν L.
9. πολλοῦ] τοῦ πολλοῦ H. τοῦ g.
11. μοίρας] δυνάμεις L.O.P.Q.
12. συμμάχων I.
δὲ] om. L.O.P.Q.
13. Πολυτελέσι] Exscripsit Schol. Suidas in πολυτέλες. Wass.
14. Κατὰ κώμας] Suidas v. κώμη (p. 364.) Εἴρηκε δὲ Θουκυδίδης τοὺς δήμους κώμας ἐν πρώτῃ. Κατὰ κώμας δὲ τῷ παλαιῷ τρόπῳ οἰκηθεῖσα. Gottl.

οἰκισθείσης, φαίνοιτ' ἂν ὑποδεεστέρα), Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων διπλασίαν ἂν τὴν δύναμιν εἰκάζεσθαι ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως ἢ ἔστιν. οὐκουν ἀπιστεῖν εἰκὸς, οὐδὲ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκοπεῖν ἢ τὰς δυνάμεις, νομίζειν δὲ τὴν στρατιὰν ἐκείνην μεγίστην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς, λειπομένην δὲ τῶν νῦν, τῇ Ὁμήρου αὖ ποιήσει εἴ τι χρὴ κἀνταῦθα πιστεύειν, ἣν εἰκὸς ἐπὶ τὸ μεῖζον μὲν ποιητὴν ὄντα κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐνδεεστέρα. πεποίηκε γὰρ χιλίων καὶ διακοσίων νεῶν, τὰς μὲν Βοιωτῶν εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν, τὰς δὲ Φιλοκτήτου, πεντήκοντα, δηλῶν, ὡς ἐμοὶ δοκεῖ, τὰς μεγίστας καὶ ἐλαχίστας· ἄλλων γοῦν μεγέθους πέρι ἐν νεῶν καταλόγῳ οὐκ ἐμνήσθη. αὐτερέται δὲ

λετελέσι] πολυδαπάνους· τέλος γὰρ τὸ ἀνάλωμα. 1. Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο] ἐξ ὑποθέσεώς φησι περὶ Λακεδαιμονίων τὸ, εἰ ἡ πόλις αὐτῶν ἐρημωθείη καὶ τὰ ἱερὰ λειφθείη. ἐπεὶ πῶς ἂν περὶ Ἀθηνῶν, Ἀθηναῖος ὤν, καταρώμενος τὸ αὐτὸ εἴρηκεν; ὥστε μάτην ἡ παραγραφὴ τέθειται, ὅτι λελῃθότως ἐπαρᾶται τοῖς Λακεδαιμονίοις. ἀλλότριον γὰρ τοῦτο τῆς τοῦ συγγραφέως ἴσμεν προθέσεως. 3. Ἡ ἔστιν] τὸ ἢ συγκριτικὸν ἀντὶ τοῦ ὑπερ. Ἡ ἔστιν] τὰ κατὰ Μυκήνην καὶ τὸν στόλον τὸν εἰς Τροίαν. ἡ διάνοια, ἐρημωθείσης τῆς μὲν τῶν Λακεδαιμονίων πόλεως, μείων φαίνοιτο ἡ δύναμις γεγενέναι τῆς ἔπειτα· τῆς δὲ τῶν Ἀθηναίων, μείζων ἢ νῦν ἐστί. 9. Πεποίηκε] ἐπιτηδείως τὸ ποιητὴς πεποίηκεν· ὅσπερ λέγομεν τὸ φιλόσοφος ἐφιλοσόφησε. Χιλίων] ὁ μὲν Εὐριπίδης (Androm. 106. Or. 352. Electr. 2.) καὶ Λυκόφρων (210.) χιλίας ναῦς λέγουσι τὸν Ἀγαμέμνονα ἀγαγεῖν, ὁ δὲ Ὅμηρος χιλίας ἑκατὸν ἑξήκοντα ἕξ. 12. Ἄλλων] ἀνδρῶν δηλονότι· ἔστι γὰρ

1. ὑποδεεστέρα] Fortasse retracto accentu leg. ὑποδεέστερα.
3. τῆς πόλεως] om. I.e.
ἢ] ἡ E.
5. στρατείαν F.H.P.a.c.e. στρατειὰν K.
7. αὖ] ὅ αὖ e.
καὶ ἐνταῦθα g.
8. μεῖζω a.
κοσμήσειν K.
9. Χιλίων καὶ διακοσίων] Scholiast. hic ex Homero, ut ait, 1166. numerat. Eustathius ad Il. β'. 358. ex Catalogo Homeri 1186. Varie proditus est numerus. Vid. Cerd. ad Virg. II. Æn. 298. et Meziriac. ad Ovid. Epist. Hermion. p. 319. De Bœotorum navibus est apud Poëtam in Catalogo v. 16. et de Philoctetæ ibid. v. 226. Dukr.
13. Pollux I. 95. Αὐτερέτας (ita enim legend. ex Cod. Palatino) Θουκυδίδης ὠνόμασε τοὺς καὶ ἐρεττοντας καὶ ἀπομαχομένους· περίνεως δὲ καλεῖ τοὺς ἄλλους ἐπιβάτας. Huds.

ὅτι ἦσαν καὶ μάχιμοι πάντες, ἐν ταῖς Φιλοκτήτου ναυσὶ δεδήλωκε· τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους. περίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν, ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει, ἄλλως τε καὶ μέλλοντας πέλαγος περαιώσεσθαι μετὰ σκευῶν πολεμικῶν, οὐδ' αὖ τὰ πλοῖα κατάφρακτα ἔχοντας, ἀλλὰ τῷ παλαιῷ τρόπῳ ληστικώτερον παρεσκευασμένα. πρὸς τὰς μεγίστας δ' οὖν καὶ ἐλαχίστας ναῦς τὸ μέσον σκοποῦντι οὐ πολλοὶ φαίνονται ἐλθόντες, ὡς ἀπὸ πάσης τῆς Ἑλλάδος κοινῇ πεμπόμενοι. * αἴτιον δ' ἦν οὐχ ἡ ὀλιγανθρωπία

II. Non autem

καὶ ἀνδρῶν παρ' αὐτῷ κατάλογος. 2. Προσκώπους] τοὺς πρὸς ταῖς κώπαις ναύτας, τοὺς κωπηλάτας. 3. Περίνεως] τοὺς περιττοὺς ἐν τῇ νηῒ ἐπιβάτας, οἷον δούλους. 4. Ἐν τέλει] οἷον Μηριόνου, Πατρόκλου, καὶ τῶν τοιούτων ἐν τέλει. 6. Οὐδ' αὖ τὰ πλοῖα κατάφρακτα] οὐκ ἦν, φησὶ, σεσανιδωμένα τὰ πλοῖα, ὥστε κάτω μὲν τιθέναι τὰ ὅπλα, αὐτοὺς δὲ ἄνω διάγειν. Τῷ παλαιῷ τρόπῳ ληστικώτερον] τὰ γὰρ τῶν ληστῶν πλοῖα οὐκ ἦσαν σεσανιδωμένα, ἀλλὰ καὶ κάτω ἐκαθέζοντο, διὰ τὸ μὴ φαίνεσθαι αὐτοὺς πλέοντας. ἦν οὖν διὰ τοῦτο κοιλότερα. 8. Τὸ μέσον σκοποῦντι] μέσον τῶν ἑκατὸν εἴκοσι καὶ τῶν πεντήκοντα ἐστὶν ὁ ὀγδοήκοντα πέντε· συνάγεται οὖν ὁ τῶν χιλίων διακοσίων νεῶν τῶν ἀνδρῶν ἀριθμὸς, μυριάδων δέκα καὶ δισχιλίων.

1. ναυσὶ] om. e.

2. Τοξότας] Homer. Il. 2, 227. Τόξων εὖ εἰδότες ἴφι μάχεσθαι. Duk.

πρὸς κώπην g.

3. Περίνεως] Suidas h. v. Wass. et in Πρωτόνεως. Duk.

δὲ] om. g.

Ἔξω τῶν βασιλέων] Id est, χωρὶς, Thom. Magist. in ἔξω. Scholiastes Thucydidis III. 61. et V. 26. exponit ἄνευ. Duk.

τῶν] om. K.

5. περαιώσασθαι Q.g. περαιώσασθαι K.d.

7. ληστρικώτερον a.

8. δ' οὖν] οὖν N. γοῦν ceteri. Utroque aptius visum est quod de conjectura reposui.

ναῦς] om. a.

Τὸ μέσον] Hunc locum ob oculos habuit Eustath. p. 260. a. Wass. et p. 329. Duk.

9. πολὺ a.

ἐλθόντες A.B.E.F.H. a.c.e.f.g. h. δὲ ἐλθόντες N. vulgo ξυνελθόντες.

10. κοινοὶ d.

Αἴτιον] Hermogenes cap. 13. περὶ μεθόδου δεινότητος, αἴτιον ἦν οὐχ ἡ ὀλιγανθρωπία, ὅσον ἡ ἀχρηματία. Non est infrequens in talibus concisum genus loquendi. supr. cap. 9. τῶν τότε δυνάμει προὔχων, καὶ οὐ τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις—et cap. 138. γίγνεται παρ' αὐτῷ μέγας, καὶ ὅσος οὐδεὶς πω Ἑλλήνων. Nec desunt exempla aliorum Scriptorum. Eodem modo καίπερ, vel καίτοι ante ὅμως sæpe deesse observat Stephanus, cap. 9. Sed omnes MSS. et Edd. tuentur vulgatum. Duk.

τοσοῦτον, ὅσον ἡ ἀχρηματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν ἐλάσσω ἤγαγον, καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν, ἐπειδή τε ἀφικόμενοι μάχῃ ἐκράτησαν (δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο), φαίνονται δ' οὐδ' ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν τῆς Χερσονήσου τραπόμενοι καὶ λῃστείαν τῆς τροφῆς ἀπορίᾳ. ἢ καὶ μᾶλλον οἱ Τρῶες αὐτῶν διεσπαρμένων τὰ δέκα ἔτη ἀντεῖχον βίᾳ τοῖς ἀεὶ ὑπολειπομένοις ἀντίπαλοι ὄντες. περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς, καὶ ὄντες ἀθρόοι ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἷλον, οἵ γε καὶ οὐκ ἀθρόοι, ἀλλὰ μέρει τῷ ἀεὶ παρόντι ἀντεῖχον. πολιορκίᾳ δ' ἂν προσκαθεζόμενοι ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν Τροίαν εἷλον. ἀλλὰ δι' ἀχρηματίαν τά τε πρὸ τούτων ἀσθενῆ ἦν, καὶ

hominibus, sed opibus carebant illa tempora, quod obsidione Trojæ diuturna probatur.

1. Ὅσων ἡ ἀχρηματία] συγκριτικῶς, ὅτι καὶ τοῦτο κἀκεῖνο. Ἰστέον δὲ ὅτι ψεύδηται ἡ ἀχρημασία. 3. Βιοτεύσειν] τροφὴν ἕξειν. Μάχῃ] τῇ τῆς ἀποβάσεως εἰς τὴν ξηρὰν τῶν νεῶν, ἐν ᾗ Πρωτεσίλαος πίπτει. 4. Ἔρυμα] ἔρυμα λέγει νῦν οὐχ ὅπερ ἐν τῇ ἡ (Il. 7, 337. 436.) λέγει Ὅμηρος γενέσθαι, ἀλλὰ πρότερον μικρότερον διὰ τὰς τῶν βαρβάρων ἐπιδρομάς. 6. Ἀλλὰ πρὸς γεωργίαν] ὧν ἠγεῖτο Ἀκάμας καὶ Ἀντίμαχος. 11. Διέφερον] ὑπέμενον, ἐπιμελῶς ἐξήνυον, διήνυον. 12. Τῷ] ἔνιοι συνεγκλίνουσιν, ἀλλὰ

1. τοσοῦτον] om. Hermogenes π. μεθ. δειν. 13.
τῆς] τῇ K.
2. ἐλάσσω K.
αὐτόθι c.
3. βιοτεύειν I. βιῶτεύσειν g. βοιωτεύειν K.Q.
Βιοτεύειν] τὸ ζῆν Thucyd. inquit Hesych. Wass.
4. ἔρυγμα I.
6. Χερσονήσου A.B.E.h. χερονήσου I. χερανήσου F.H. vulgo χερρονήσου Infra 4, 42. χερρωνήσου L. O. χερωνήσου d.f.i. χερσοννήσου h. 4, 5. χερανήσου H.f. 6, 97. χερρόνησος Q.d.i. χερώνησος f. 8, 62. χερρονήσου L.O.Q.c.f.g. χερονήσου i. χερονήσου d. 8, 99. χερονήσου H.i. χερονήσσου F. 8, 102. χερσοννήσω F. χερονήσῳ d.i. χερωνήσωι A. 8, 104. χερρόνησον B.g.
9. ἀεὶ] om. d.
ἀντίπαλον b.
11. διεφέροντο K.
12. μέρη I.
13. παρόντι A.B.E.F.H.I.K.N. P.a.c.d.e.f.g.h.i. vulgo παρατυχόντι.
δ' ἂν] δὲ d.
προκαθεζ. a.
14. ἐν] om. e.

τοῦτο δρᾶν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃσταί εἰσιν, ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τ' ἐπιμελὲς εἴη εἰδέναι, αὐτὸ ὀνειδιζόντων. ἐλῃζοντο δὲ καὶ κατ' ἤπειρον ἀλλήλους. καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλ- 5
λάδος τῷ παλαιῷ τρόπῳ νέμεται, περί τε Λοκροὺς τοὺς Ὀζόλας καὶ Αἰτωλοὺς καὶ Ἀκαρνᾶνας καὶ τὴν ταύτῃ ἤπειρον. τό τε σιδηροφορεῖσθαι τούτοις τοῖς ἠπειρώταις ἀπὸ
6. τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε· * πᾶσα γὰρ ἡ Ἑλλὰς
Qui mos armā gerendi ἐσιδηροφόρει διὰ τὰς ἀφράκτους τε οἰκήσεις καὶ οὐκ ἀσ- 10

τῆρα ἁλιηλέτευν, ἢ ἔκλεπτον νυκτὸς, οὔτε μετὰ φόνων ἐνίοιν τὴν λῃστείαν. Ὅμηρος· οἷά τε λῃϊστῆρες ὑπνῳ ἔλια. (Od. 9, 254.) 4. Οὐκ ἀνειδιζόντων] τῶν ἐρωτωμένων, ἢ τῶν ἐρωτώντων· ἀσχὴς γὰρ ὁ νοῦς. 10. Ἐσιδηρο-

1. Οἱ παλαιοὶ τῶν ποιητῶν] Extat testimonium apud plurimos, imprimis vero antiquissimum Homerum, Odyss. 3, 71. et Hymn. Apollinis 452. ubi Scholiastes: οὐκ ἔδοξεν ὦν παρὰ τοῖς παλαιοῖς τὸ λῃστεύειν, ἀλλ' ἔνδοξον. Hudson. Add. Eustath. in Od. γ'. p. 1457. et Justin. 43, 3. ibique Bern. Duk.

Πύστεις] Inter Thucyd. γλωττόδη ponit Suidas in περιοικῇ. ἐρώτησις etiam expl. Hesych. D. Halic. Ant. I. 81. εἰδέναι κατὰ ΠΥΣΤΙΝ τοῦ τρέφοντος. Sic MS. Vatic. v. eumdem de Thucyd. §. 29. Gloss. πύσμα percontatio. Eurip. Electra 690. ἡ μὲν ἔλθῃ ΠΥΣΤΙΣ εὐτυχὴς σέθεν, Ὀλωλύζεται πᾶν δῶμα. a πεύσω πύστις, ἡ δ' ἀκοῆς μάθησις. Eustath. ad Odyss. α'. Wass. Grammatici quidem discrimen statuunt inter πυνθάνεσθαι et ἐρωτᾶν, item inter πύστιν et ἐρώτησιν, ita ut ex eorum sententia non videatur dici posse πύστιν ἐρωτᾶν. Sed non credo Scriptores Graecos se semper illorum dictatis adligare. Certe Lucian. Pseudom. p. 767. promiscue πύστιν et ἐρώτησιν, πυνθάνεσθαι et ἐρωτᾶν dicit. Deinde, si jam πύστεις accipiamus pro ἐρωτήσεις, cur ineptius sit dicere ἐρωτήσεις ἐρωτᾶν, quam πύστεις πυνθάνεσθαι, quod est ap. eumd. l. d. et infinita alia hujus generis in utriusque linguæ Scriptoribus? Locum hunc Thucydidis ante oculos habuit Philostrat. Vit. Apollon. II. 29. Duk.

3. Ὡς οὔτε—ἀνειδιζόντων] Demetrius Phalereus §. 25. et legit οἷς τε. v. Sextum Pyrrh. Hypot. III. 24. Wass.

ὑπαξιούντων A.

4. εἰδέναι] om. a.

5. τοῦδε τὰ πολλὰ f.

7. Αἰτωλοὺς] Ætoli olim prædones. Polyb. 4. 377. Wass.

ταύτης Q. ταύτην I.

8. Σιδηροφορεῖσθαι] Huc spectat Ammianus M. XXIII. ult. v. Aristot. 2. Polit. VI. Wass. Adde Petit. Leg. Attic. p. 125. et 561. Duk.

φαλεῖς παρ' ἀλλήλους ἐφόδους, καὶ ζυνήθη τὴν δίαιταν μετ' ὅπλων ἐποιήσαντο, ὥσπερ οἱ βάρβαροι. σημεῖον δ' ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμόμενα τῶν ποτὲ καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. ἐν τοῖς πρώτοις δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν, καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων διὰ τὸ ἁβροδίαιτον οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ πε-

olim omnibus Graecis erat communis. Athenienses primi arma deposuerunt, molliioremque vitæ rationem recuperunt; Lacedæmonii autem primi mediocri vestimento usi sunt.

φόρει] ὅθεν τὰς μαχαίρας μανίλας ἐκάλουν, διὰ τὸ ὁμοῦ αὐλίζεσθαι, οἷον ὁμαυλίας. 4. Ἐν τοῖς] ἐν τούτοις, ποιητικῶς. ὑπερβιβάζεται γὰρ ὁ δέ. 5. Ἀνειμένῃ] τρυφηλῇ καὶ ἀνθηρᾷ. 6. Ἐς τὸ τρυφερώτερον μετέστησαν] ἀντὶ τοῦ μετέστησαν εἰς τρυφῶσαν δίαιταν, τὸν σίδηρον καταθέμενοι. Οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων] ἀντίστασις ἐστιν, οἱ εὐδαίμονες τῶν πρεσβυτέρων. ὑπερβατὸν, διὰ τὸ ἁβροδίαιτον. 8. Χιτῶνάς τε λινοῦς] οὐ πολὺς χρόνος ἀφ' οὗ ἐπαύσαντο φοροῦντες χιτῶνας λινοῦς, καὶ τέττιγας χρυσοῦς ἐξαρτῶντες τῷ τῶν τριχῶν πλέγματι. 9. Ἐνέρσει κρωβύλον] ἐν ἔρ-

3. ταῦτα] ἅττα Wyttenbach. Select. Hist.

οὕτω ἔτι P.Q.

4. καὶ] om. d.

ὁμοίως I.Q.

δὲ] μὲν Q. τε e.

5. Ἀνειμένῃ τῇ διαίτῃ] *Soluta, neque certis legibus adstricta vivendi ratione;* illustrat Wyttenb. Anim. ad Jul. Or. I. Bibl. Crit. Vol. III. P. I. p. 68. sive ex edit. Schaeferi (Lips. 1802.) p. 159.

6. τρυφερώτατον I.c.

8. λινους A.g.

Καὶ χρυσῶν τεττίγων, &c.] Hic capillorum congestus mulieribus Romanis (nam et illæ crines ad verticem convolutos gestabant) vocabatur Tutulus, ut auctor est M. Varro. Vide Æliani Var. Hist. l. 4. c. 22. et Kuhnii notas. Brodæum in Epigramm. l. 6. p. 573. Junium de Coma, Nic. Loënsis Miscell. et Meursium de Fort. Att. l. 1. c. 1. Huds. Locum tangit Eustath. ad Il. 3. 395. d. et rationem cultus de Ino addit quasi ex nostro. Wass.

9. ἐνέρσει A.B.E.F. et Parisini omnes. vulgo ἐν ἔρσει.

κρωβύλων A.F.a.c.f.g. cum Sch. Aristoph. (Nub. 980.) κρωβύλην B.

Κρωβύλον] εἶδός τι ἐμπλακτῆς. Harpocrat. unde Etymologus v. κρόβυλος. Κορδύλην vocant Cyprii, Persæ Κίδαριν. Idem v. ἐγκεκορδυλημένος. Vide Anthol. VI. 22. Xenoph. Cyr. V. 352. et Lucian. Lexiph. Pollucem II. 30. Κρ. Cinnus Glossæ. usus est D. Halic. Etiam in V. H. Ælianus. Suidas in κρόβυλος, κρωβύλους ἀναδούμενοι, et ἐνέρσει ποικίλων κρωβύλων. Hinc emendes licet et ἐνέρσει, in τεττιγοφόρα. Hunc beatulorum cultum ridet haud inele-

αὐτά γε δὴ ταῦτα ὀνομαστότατα τῶν πρὶν γενόμενα δηλοῦται τοῖς ἔργοις ὑποδέστερα ὄντα τῆς φήμης καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς λόγου κατεσχηκότος· * ἐπεὶ καὶ μετὰ τὰ Τρωϊκὰ ἡ Ἑλλὰς ἔτι μετανίστατό τε καὶ κατῳκίζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι. ἥ τε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνέχμωσε, καὶ στάσεις ἐν ταῖς πόλεσιν ὡς ἐπὶ πολὺ ἐγίγνοντο, ἀφ' ὧν ἐκπίπτοντες τὰς πόλεις ἔκτιζον. Βοιωτοί τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν, ἐξ Ἄρνης ἀναστάντες ὑπὸ Θεσσαλῶν, τὴν νῦν μὲν Βοιωτίαν πρότερον δὲ Καδμηΐδα γῆν καλουμένην ὤκισαν· (ἦν δὲ αὐτῶν καὶ ἀποδασμὸς πρότερον ἐν τῇ γῇ

12. Ne post Troica quidem Græcia requievit. Multæ in civitatibus singulis seditiones, inde novæ civitates ortæ. Bœoti quidem, LX annis post Trojæ excidium ex Arne a Thessalis pulsi, terram Cadmeam occuparunt; LXXX annis post Trojam eversam Dorienses cum Heraclidis

μέρει τῳ, ἀντὶ τοῦ μέρει τινί. 1. Δηλοῦται τοῖς ἔργοις] τὰ Τρωϊκὰ ἐλέγχεται. 4. Μετὰ τὰ Τρωϊκὰ] τριχῇ διεῖλε τὴν ἀρχαιολογίαν, εἰς τὰ πρὸ τῶν Τρωϊκῶν, εἰς αὐτὰ τὰ Τρωϊκά, εἰς τὰ ἐχόμενα αὐτῶν. καθ' ἕκαστον δὲ μέρος διπλῆ παράγραφος κεῖται. δηλοῖ δὲ καὶ διὰ τούτων τὴν αἰτίαν, δι' ἣν τὰ Ἑλληνικὰ καὶ μετὰ τὴν ἅλωσιν ἦν ἀσθενῆ. 5. Ἡσυχάσασα] ἡσυχία γὰρ καὶ αὔξησιν ποιεῖ. Ἥ τε γὰρ ἀναχώρησις] μηκέτι γὰρ ἐλπίζοντες αὐτοὺς ἐπανελθεῖν ἐπανίσταντο, ἐλθοῦσι δ' ἐπολέμουν, καὶ οἱ ἡττώμενοι ἐξέπιπτον. 8. Ἀφ' ὧν] ἢ πόλεων, ἢ στάσεων. Τὰς πόλεις ἔκτιζον] πολλοὶ γὰρ ἐξέπεσον· οἷον Τεῦκρος μὲν, ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς διὰ τὸν Αἴαντα, εἰς Κύπρον ἀφίκετο· καὶ Φιλοκτήτης, διὰ τὸν Πάριδος θάνατον θήλειαν νόσον νοσήσας, καὶ μὴ φέρων τὴν αἰσχύνην, ἀνελθὼν ἐκ τῆς πατρίδος, ἔκτισε πόλιν, ἣν διὰ τὸ πάθος Μαλακίαν ἐκάλεσε. Διομήδης ὑπὸ Κομήτου ἐκβληθείς, εἰς τὰς Λιβυρνίδας νήσους ἀφίκετο· καὶ ὁ Μενεσθεὺς, ὑπὸ τῶν Θησειδῶν, εἰς Ἰβηρίαν, καὶ ἄλλοι πολλοί. 10. Ἐξ Ἄρνης] Ἄρνη πόλις Θεσ-

1. γε δὴ] δὴ H.K.N.a.c.d.e. δὲ F.L.O.P.

5. κατῳκίζετο A.B.E.F.G.H. N.a.b.c.e.f.g.h. μετῳκίζετο vulgo.
ἡσυχάσασαν A.B.E.F.K.g.h.

7. ἐνέχμωσε B.F.H.h.g. ἐνέχμᾶσε a.
ὡς] om. g.

8. ἐπὶ τὸ πολὺ F.G.H.I.N.a.c. ἐγένοντο K.

9. τε] om. e.
οἱ νῦν] om. a.
μετὰ τὴν Ἰλίου L.g.

10. Ἐξ Ἄρνης] Vid. Steph. Byzant. h. v. et ibi interpretes. Duk.

11. μὲν] om. F.H.a.c.

11. καδμηΐδα F.H. καδμίδα a.
Καδμηΐδα] Καδμηΐάδα, quod est in Cass. nusquam alibi inveni, et errori scribentis tribuendum puto. Stephanus in Βοιωτία, ἐκαλεῖτο δὲ—καὶ Καδμηΐς, ὡς Θουκυδίδης. Eustath. in Il. β'. 487. παράγονται δὲ Καδμεῖοι μὲν ἀπὸ τῆς Καδμηΐδος γῆς. Duk.
γῆν τὴν χαιρώνειαν (vel χαιρώνεαν) καλουμένην E.

11. ὤκισαν a.

12. καὶ] om. a.c. ante pronomen ponunt N.e.g.
πρότερον] post ταύτῃ ponunt

ταύτῃ, ἀφ' ὧν καὶ ἐς Ἴλιον ἐστράτευσαν), Δωριῆς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον. μόλις τε ἐν πολλῷ χρόνῳ ἡσυχάσασα ἡ Ἑλλὰς βεβαίως καὶ οὐκέτι ἀνισταμένη ἀποικίας ἐξέπεμψε, καὶ Ἴωνας μὲν Ἀθηναῖοι καὶ νησιωτῶν τοὺς πολλοὺς ὤκισαν, Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι, τῆς τε ἄλλης Ἑλλάδος ἔστιν ἃ χωρία. πάντα δὲ ταῦτα ὕστερον τῶν Τρωϊκῶν ἐκτίσθη.

in Peloponnesum invaserunt. Et deinceps coloniæ in Ionia et in insulis Atheniensium, in Sicilia Italiaque Peloponnesiorum maxime, exstiterunt.

13. * Δυνατωτέρας δὲ γιγνομένης τῆς Ἑλλάδος, καὶ τῶν Auctis opi-

σαλίας, ἀφ' ἧς ὠνόμασται κατὰ μετοικίαν καὶ ἡ ἐν Βοιωτίᾳ Ἄρνη. ἡ δὲ Βοιωτία Ἄρνη νῦν Χαιρώνεια καλεῖται. 1. Δωριεῖς τε ὀγδοηκοστῷ] οἱ γὰρ Ἡρακλεῖδαι βουλόμενοι κατελθεῖν εἰς Πελοπόννησον, ἤρωτο τὸν Ἀπόλλωνα· ὁ δὲ αὐτοῖς ἀνεῖλε διὰ τῶν στενῶν εἰσβαλεῖν. οἱ δὲ νομίσαντες τὸν Ἰσθμὸν λέγειν αὐτὸν, καὶ ἀστοχήσαντες τοῦ χρησμοῦ, προσβάλλουσι τοῖς Πελοποννησίοις κατὰ τὸν Ἰσθμόν· καὶ ἡττηθέντες ἐπειρῶντο σπονδὰς, ὥστε ἑκατὸν ἔτη παραχωρῆσαι τὴν χώραν Πελοποννησίοις. μετὰ δὲ τὰ ἑκατὸν ἔτη πάλιν ἤρωτο τὸν Ἀπόλλωνα περὶ τῆς καθόδου· ὁ δὲ ἀνεῖλεν αὖθις διὰ τῶν στενῶν εἰσβάλλειν. ἀντιλεγόντων δὲ τῶν Δωριέων ὡς καὶ πρότερον εἶεν ἡπατημένοι, εἶπεν ὡς οὐ συνήκατε τὸν χρησμόν· στενὰ γὰρ λέγω τὸν Κρισαῖον κόλπον. οἱ δὲ, ἐντεῦθεν ἐπειρήσαντες, ἔτυχον τῆς καθόδου, ὕστερον τῶν Τρωϊκῶν ἔτεσιν π. ἡ δὲ πρώτη ἐσβολὴ πρὸ ἐτῶν εἴκοσιν ἦν. 4. Ἀποικίας ἐξέπεμψε] ἀποικίσαι ἐστὶ κτίσαι πόλιν ἐκ' ἐρήμην. 7. Ἔστιν ἃ] ἀντὶ τοῦ ἔνια. λέ-

F.G.H.I.N.a.c. post γῆ, omisso pronomine e.

2. σὺν d.

3. μόλις A.B.E.N.f.g.h. vulgo μόγις. Ita 7, 40. B.Q. 7, 44. A.D. F.H.L.N.O.P.Q. d.e.f.g.h.k. 8. 34. B. Uno loco (8, 92.) omnes μόγις.

Μόγις] Clar. μόλις. Tho. Magistro interprete. ἀντὶ τοῦ μετὰ βίας. μόλις ἀντὶ τοῦ βραδέως. Illud Ionum, hoc vero Atticorum, Corinthus et Helladius apud Photium dicunt esse. Verum μόλις apud nostrum, Isocr. Xenoph. Platon. Sophoc. Æschyl. Herodot. Cæterum Ecclesiastic. XXI. 20. pro μόλις Clemens Alex. μόγις. Glossæ utrumque *vix*, et *vix tandem* reddunt. Qui plura cupis de voce μόλις, adeas Schol. Nicandri p. 17. Schol. Sophoclis p. 226. Ed. Steph. 1568. Schol. Theocriti ad Idyl. ιε'. 4. Schol. Æschyli Steph. pp. 8. et 302. De μόγις Schol. Oppiani ad α'. 550. Verum Grammaticis οἰμώζειν λέγω. WASS.

βεβαίως] ante ἡσυχάσασα ponit a.

4. ἐξέπεμπε F.H.I.L.N.O.P.b. c.d.e. ἐξέπεμψε a. ἐξέπεμπε K.

5. ὤκησαν E.I.d.

Ἰταλίαν Levesquius.

6. πλέον F.G.H.I.N.a.c.

7. ἄλλης] om. P.

9. γιγνομένης vel γινομένης A.B. E.F.H.I.a.c.e.f.g.h. vulgo γενομένης.

bus, tyrannides ortæ. Item rei navali majorem operam dederunt imprimis Corinthii, divitiis celebres. Præter eos, navali bello primum insignes, Iones Cyri tempore, et Polycrates,

χρημάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης, τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο, τῶν προσόδων μειζόνων γιγνομένων (πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι), ναυτικά τε ἐξηρτύετο ἡ Ἑλλὰς, καὶ τῆς θαλάσσης μᾶλλον ἀντείχοντο. πρῶτοι δὲ Κορίνθιοι λέγονται ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσαι τὰ περὶ τὰς ναῦς, καὶ τριήρεις πρῶτον ἐν Κορίνθῳ τῆς Ἑλλάδος ναυπηγηθῆναι. φαίνεται δὲ καὶ Σαμίοις Ἀμεινοκλῆς Κορίνθιος ναυπηγὸς ναῦς ποιήσας τέσσαρας·

γει δὲ Ἀμπρακιώτας, Ἀνακτορίους. 2. Τὰ πολλὰ] τουτέστι τὰ ἐπιπολύ. τὴν αἰτίαν λέγει τῆς τυραννίδος. Τυραννίδες ἐν ταῖς πόλεσι] διὰ τοῦτο δὲ ἦσαν καὶ ταῦτα ἀσθενῆ. ἡ γὰρ τυραννὶς οὐκ ἐξ τελέως αὔξειν τὰ πράγματα. 3. Ἐπὶ ῥητοῖς γέρασιν] ἀντὶ τοῦ ἐπὶ φαναραῖς τιμαῖς, ἐπὶ ὁμολογουμένοις γέρασι. τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν τῶν τυραννίδων· ὁ γὰρ τύραννος νόμου κρείττων ἔχει τὴν βούλησιν, καὶ οὐχὶ τὸ αἴσιον. 4. Πατρικαὶ βασιλεῖαι] ἀπὸ τῶν πατέρων παραλαμβανόμεναι κατὰ διαδοχὴν γένους. διαφορὰν δὲ λέγει τυραννίδος καὶ βασιλείας, ὡς καὶ οἱ φιλόσοφοι· οἱ δὲ ῥήτορες ἀδιαφόρως λέγουσιν. 5. Ἀντείχοντο] προσεῖχον αὐτῇ. 6. Μεταχειρίσαι τὰ περὶ τὰς ναῦς] ἐναλλάξαι, τουτέστιν ἀπὸ πεντηκοντόρων ποιεῖν τριήρεις. 8. Ναυπηγηθῆναι] ἀπὸ κοινοῦ τὸ λέγονται. 1. Ἔτη δ' ἐστὶ μάλιστα

3. γενομένων K.d.i.

Ἐπὶ ῥητοῖς γέρασι] Hoc exponunt Steph. ad Schol. Spanhem. ad Julian. Orat. I. p. 128. et Bos. Observ. Crit. c. 3. ubi in Schol. Aristoph. ad Acharn. v. 61. pro ἐπὶ ῥητοῖς λαβὼν τέρασι, recte emendat γέρασι. Sed hoc præceperat Küster. ad Suid. in βασιλεὺς· quamquam nonnihil de hac emendatione dubitans, quæ, mea sententia, certa est. Duk.

4. ναυτικά] ναυσί a.

5. μᾶλλον] μόνον i,

6. μεταχειρῆσαι f.g.

Μεταχειρίσαι] Suidas in h. v. Schol, scrinia compilavit. Wass. H. Steph. reprehendit Scholiastæ interpretationem hujus verbi. Sed Salmas. de Mod. Usur. p. 327. putat μεταχειρίζειν etiam habere significationem mutandi. Et Observat. ad Jus Attic. et Rom. p. 692. scribit, antea solis quinqueremibus usos fuisse Græciæ populos, eamque rationem mutasse Corinthios institutis triremibus pro quinqueremibus, ut hic Schol. Duk.

7. Καὶ τριήρεις] Vide Scaligeri Animadvers. ad Eusebii Chron. p. 61. Huds.

πρῶτον ἐν Κορίνθῳ A.E.F.G.H.I. a.c.e.f.g.h. ceteri ἐν Κ. πρ.

8. ἐναυπηγηθῆναι F.G.H.I.K. L.O.b.d.e. et, post illa τῆς ἑλλάδος, a.

9. ἀμιγοκλῆς I.K.c.

κορινθίοις I.

ναυπ. Κορ. a.

Ἀμεινοκλῆς] Ita MSS. et Themistius Orat. 26. Amenoclem vocat Plin. N. H. 7, 56. Confer Herodot. I. 163. Wass.

ἔτη δ' ἐστὶ μάλιστα τριακόσια ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ὅτε Ἀμεινοκλῆς Σαμίοις ἦλθε. ναυμαχία τε παλαιτάτη ὧν ἴσμεν γίγνεται Κορινθίων πρὸς Κερκυραίους· ἔτη δὲ μάλιστα καὶ ταύτη ἑξήκοντα καὶ διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου. οἰκοῦντες γὰρ τὴν πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ ἀεὶ δή ποτε ἐμπόριον εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ θάλασσαν, τῶν τε ἐντὸς Πελοποννήσου καὶ τῶν ἔξω, διὰ τῆς ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων, χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον. ἐπειδή τε οἱ Ἕλληνες μᾶλλον ἐπλώϊζον, τὰς ναῦς κτησάμενοι τὸ λῃστικὸν καθῆρουν, καὶ

Cambysis æqualis, item Phocenses, Massiliæ conditores, classibus valebant.

τριακ.] εἰκὸς ἐν τῷ τοσούτῳ χρόνῳ πολλὰς ναῦς γενέσθαι. 1. Ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου] γνωστέον καὶ ἐντεῦθεν, ὅτι ὕστερον συνέγραψεν ὁ Θουκυδίδης τὴν λέξιν τῆς ἱστορίας. 2. Ναυμαχία τε παλαιστάτη] Περιάνδρου τοῦ υἱοῦ Κυψέλου τυραννοῦντος Κορίνθου, διὰ τὸν φόνον Λυκόφρονος τοῦ υἱέος αὐτοῦ, ὃν ἀνεῖλον οἱ Κερκυραῖοι. ἡ δὲ ἱστορία κεῖται κατὰ διέξοδον παρ' Ἡροδότῳ (3, 53). 5. Μέχρι τοῦ αὐτοῦ χρόνου] ἐς τὴν τελευτὴν δηλονότι τοῦδε τοῦ πολέμου. 12. Καθῆρουν] οὐχ οἱ πάντες, ἀλλ' οἱ Κορίνθιοι. Τὸ λῃστικὸν καθῆρουν] ἐπὶ τοῦ Μίνωος φησὶν, ἐφόσον ἠδύνατο, τὸ λῃστικὸν

Plinius auctore, ut ait, Thucydide scribit, Aminoclem primum triremem instituisse. Verum Thucydides a Corinthiis quidem triremes primum inventas esse dicit, sed Aminoclem earum inventorem non facit. Salmas. ad Jus Attic. et Rom. p. 693. ubi et alia vid. huc pertinentia. Duk.

1. ἐστὶ] om. a.

2. Ναυμαχία] Vid. Wess. ad Herod. 3. 53. p. 223. Gottl.

3. παλαιτάτη A.E.F.H.N.Q.b. c.e.g.h. παλαιστάτη ceteri.

4. δὲ] om. F.H.c.e.

καὶ ταύτῃ] om. A.B.E.K.f.g. h. καὶ ταῦτα N.

ἐστι καὶ διακόσια a.

6. ἐμπορεῖον E. et hic et infra.

πλείω

ἑλλήνων τὰ πάλαι κατὰ γῆν ἢ a.

Ἀεὶ δή ποτε ἐμπόριον] Eustathius ad Hom. Il. 2. p. 290. Θουκυδίδης δὲ ἐμπόριον αὐτὴν Ἑλλάδος λέγει. cf. Strab. 8. p. 580. Gottl.

7. θάλατταν G.a.c.e.

10. Ποιηταῖς] Homerum intelligit, qui Il. 2. 570. Οἳ δὲ Μυκήνας εἶχον ἐϋκτίμενον πτολίεθρον, Ἀφνειόν τε Κόρινθον. Wass. Vid. ibi Eustath. et Casaub. ad Dion. Chrys. Corinthiac. p. 464. Duk.

11. ἐπωνόμαζον a.

τε] καὶ P.

12. ἐπλώϊζον A.E.F.G.H.I.K. a.c.e.h. ἐπλωΐζοντο ceteri.

λῃστρικὸν F.G.H.I.N.O.a.c.d.e.

Τὸ λῃστρικὸν] Si verum est, quod a Scholiaste scribitur cap. 4.

ἐμπόριον παρέχοντες ἀμφότερα δυνατὴν ἔσχον χρημάτων προσόδῳ τὴν πόλιν. καὶ Ἴωσιν ὕστερον πολὺ γίγνεται ναυτικὸν ἐπὶ Κύρου, Περσῶν πρώτου βασιλεύοντος, καὶ Καμβύσου τοῦ υἱέος αὐτοῦ· τῆς τε καθ' ἑαυτοὺς θαλάσσης Κύρῳ πολεμοῦντες ἐκράτησάν τινα χρόνον. καὶ Πολυκράτης Σάμου τυραννῶν ἐπὶ Καμβύσου, ναυτικῷ ἰσχύων, ἄλλας τε τῶν νήσων ὑπηκόους ἐποιήσατο, καὶ Ῥήνειαν ἑλὼν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ. Φωκαῆς τε

καθῄρει· νῦν δὲ τὸ λεῖπον οἱ Καρίνθιοι εἰργάσαντο. 2. Καὶ Ἴωσιν] μετὰ τὴν τῶν Κορινθίων ναυπηγίαν ἡ τῶν Ἰώνων εἰσάγεται περὶ τὸ ναυτικὸν ἐπιμέλεια. 4. Πίεως] Ἀττικῶς, ἀπὸ εὐθείας τῆς υἱεύς. Τῆς τε καθ' ἑαυτοὺς] τῆς γειτνιώσης· οὐ γὰρ πάσης. 7. Ῥήνειαν] μία τῶν Κυκλάδων ἡ Ῥήνεια. 8. Φωκαεῖς τε Μασσαλίαν] Φωκεῖς οἱ τῆς Ἑλλάδος, ἀπὸ Φωκίδος πόλεως·

λῃστικὸν quidem esse τὸ σύστημα, videlicet τοὺς λῃστάς, at vero λῃστρικὸν dici τὸ κτῆμα, lectioni margini adscriptæ altera anteponenda est. Sic vero et cap. 10. λῃστικώτερον παρεσκευασμένοι legimus: verum λῃστρικῶς vicissim habemus apud Dion. Halic. ubi scribit λῃστρικῶς διασκευασάμενος; itidemque apud hunc Enarratorem c. 37. videmus τὸ λῃστρικῶς opponi τῷ φιλικῶς. STEPH.

1. ἀμφότερα A.B.E.H.N.a.b. c.f.g.h. ἀμφότεροι K. ἀμφότεροι e. ἀμφοτέρους d.i.

Ἀμφότερα pro κατ' ἀμφότερα apud Thucydid. accipiendum esse docet Suidas in voce. HUDS. Ἀμφότερα *utrinque*, eleganter, *hinc*, *illuc*. Il. 4, 145. Πολέες τέ μιν ἠρήσαντο Ἰαπύγες φορέειν, βασιλῆϊ δὲ κεῖται ἄγαλμα, ΑΜΦΟΤΕΡΟΝ, κόσμος θ' ὅπερ, ἐλατῆρι τε κῦδος. WASS.

2. τὴν πόλιν προσόδῳ g.h.

4. τοῦ] om. N.

υἱέος A.B.K.L.N.O. cum Thoma Mag. v. υἱέα. υἱέως Q. vulgo υἷεως.

6. σάμου] om. B. supra ponit f.

7. ῥηνίαν B.E.f.

8. ἀνελὼν F.G.H.N.

Ἑλὼν] In libris, qui ἀνελὼν habent, ultima syllaba vocis præcedentis temere repetita est. Infra 3, 104. de eadem re Ῥήνειαν ἑλών. Ῥήνειαν hic habent *scripti* et *editi*. Et sic Pausan. Messen. c. ult. Sed varie scribitur, Ῥήνεια, Ῥήναια, Ῥηναία, et Ῥηνία. Vid. Holsten. ad Steph. in Ῥήνη, et Cellar. II. Geogr. 14. In Homeri Hymn. Apoll. v. 44. vulgo est Ῥηναία, quod ibi Barnes. edidit. Ῥηναῖα: non scio quam bene. DUK.

τῷ δηλίῳ ἀπόλλωνι f.

Φωκαεῖς] Φωκαεῖς hic habent omnes alii *scripti* et *editi*. Nec tamen minus rectum est Φωκαεῖς, quemadmodum a Νίκαια, Νικαεὺς et Νικαιεύς. v. Spanhem. Dissert. IV. de Præstant. et Usu Numism. §. ult. et ad Callimach. in Add. p. 755. ubi eosdem Asiaticos ab Herodoto aliisque Veteribus etiam Φωκεῖς dictos scribit. De

Μασσαλίαν οἰκίζοντες Καρχηδονίους ἐνίκων ναυμαχοῦντες· * δυνατώτατα γὰρ ταῦτα τῶν ναυτικῶν ἦν. φαίνεται δὲ καὶ ταῦτα, πολλαῖς γενεαῖς ὕστερα γενόμενα τῶν Τρωϊκῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα, ὥσπερ ἐκεῖνα. ὀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θανάτου, ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο καὶ Κερκυραίοις· ταῦτα γὰρ τελευταῖα πρὸ τῆς Ξέρξου στρατείας ναυτικὰ ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέστη. Αἰγινῆται γὰρ καὶ Ἀθηναῖοι, καὶ εἴ τινες ἄλλοι, βραχέα ἐκέκτηντο, καὶ τούτων τὰ πολλὰ πεντηκοντόρους· οὐφέ τε ἀφ' οὗ Ἀθηναίους Θε-

14. Siculi vero tyranni et Coreyræi majorem adeo triremium numerum habebant, jam ante bella Persica.

Φωκαεῖς οἱ τῆς Ἰωνίας, ἀπὸ Φωκαίας πόλεως. Ἴωνες ὄντες οἱ Φωκαεῖς, καὶ πολεμούμενοι ὑπὸ Περσῶν, ἀφίστε τὴν Ἰωνίαν ἔπλευσαν ἐπὶ τὴν Ἀφρικὴν, τὴν πάλαι Καρχηδόνα καλουμένην. ἀεὶ δὲ ταῖς οἰκιζομέναις αἱ πλησίον ἐναντιοῦνται. ἡ δὲ Μασσαλία πόλις ἐστὶ τῆς Ἀφρικῆς. 4. Πεντηκοντόρους] πεντηκόντορός ἐστι ναῦς ὑπὸ πεντήκοντα ἐρεσσομένη. 5. Ἐξηρτυμένα] ἡτοιμασμένα. Ἐκεῖνα] τὰ παλαιά. 8. Τοῖς τυράννοις] Γέλωνι καὶ Ἱέ-

eo si nulla controversia est, a Φωκεὺς æque recte fit Latinum Phocensis, ac pleraque alia gentilia Græca in εὺς apud Latinos in *ensis* exeunt. Hoc tamen negant Viri magni, Scalig. ad Euseb. Chron. p. 81. Salmas. ad Solin. p. 66. aliique ad Justin. 37, 1. et 43, 3. Vellem Spanhemius indicasset loca veterum, ubi Asiatici Φωκεῖς dicantur. Nam in Herodoto compluribus locis est Φωκαιέες. Vid. lib. 1. c. 152. 163. et seqq. In Eustathio autem ad Dionys. Perieg. v. 70. variat scriptura, de quo ibi Huds. et hic Steph. ad Schol. Duk.

1. μασαλίαν L.N. μασσιλίαν I. μεσσαλίαν B.E.F.G.H.N.Q.a.c. g.

Καρχηδονίους · ἐνίκων] Hac de re Herodot. 1, 166. et Justin. 43, 5. Duk.

2. ταῦτα] om. B.

4. μὲν] μὲν γὰρ a.

ὀλίγα I.K.L.N.P.i.

δέ τι H.g.

5. Πλοίοις μακροῖς] Salmas. Observ. ad Jus Attic. et Rom. p. 725. legit μικροῖς. Aliter exponit Scheffer. II. de Re Naval. 2. p. 85. ex cujus sententia locus non indiget emendatione. Duk.

6. τοῦ] om. K.d.

8. κερκυραίαν P. κερκυρραίοις g.

9. γὰρ τὰ τελευταῖα a.

στρατιᾶς tantum non omnes.

10. κατέστη ἐν τῇ ἑλλάδι a.

11. εἴ] οἵ F.H.I.c.e.

12. ἀφ' οὗ] ἐπεὶ a.

Ἀθηναίους Θεμιστοκλῆς ἔπεισεν] Vid. Herodot. 7, 144. p. 569. et Valcken. cf. Plut. Them. T. I. p. 446. Nep. Them. 2. Gottl.

ναυτικὸν εἶχεν. εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατείᾳ οἵα ἦν τὰ πρὸ αὐτῆς. * καὶ ὅτι μὲν Μυκῆναι μικρὸν ἦν, ἢ εἴ τι τῶν τότε πόλισμα νῦν μὴ ἀξιόχρεων δοκεῖ εἶναι, οὐκ ἀκριβεῖ ἄν τις σημείῳ χρώμενος ἀπιστοίη μὴ γενέσθαι τὸν στόλον τοσοῦτον, ὅσον οἵ τε ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει. Λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κατασκευῆς τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως προελθόντος πολλοῦ χρόνου τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι (καίτοι Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέμονται, τῆς τε ξυμπάσης ἡγοῦνται καὶ τῶν ἔξω ξυμμάχων πολλῶν· ὅμως δὲ οὔτε ξυνοικισθείσης πόλεως οὔτε ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας δὲ τῷ παλαιῷ τῆς Ἑλλάδος τρόπῳ

10. Neque illud quidem dubium, bellum Trojanum omnibus superioribus bellis majus, hoc autem Peloponnesiaco minus fuisse, etiamsi Homero fidem habeamus.

μένων, δι' οὗ ταύτων κρατεῖν ἠδύνατο. 1. Εἰκάζειν δὲ χρὴ] εἰ γὰρ τὰ οὕτως ὑμνούμενα εὐτελῆ ἦν, πόσῳ μᾶλλον τὰ πρὸ αὐτῶν; 4. Οὐκ ἀκριβεῖ] οὐ γάρ ἐστιν ἀκριβὲς σημεῖον τὸ ἐκ τῶν τόπων τὰς δυνάμεις τῶν ἀνθρώπων στοχάζεσθαι. 5. Μὴ γενέσθαι] Ἀττικῶς τὸ μὴ ἐνταῦθα παρέλκει. 6. Λακεδαιμονίων γὰρ] τὸ σχῆμα κατὰ ὑπόθεσιν. καταρᾶται δὲ τοῖς Λακεδαιμονίοις λεληθότως. 7. Ἡ πόλις] ἡ μητρόπολις, ἡ Σπάρτη. Τά τε ἱερὰ] εὐσεβῶς λέγει τὰ ἱερά. 10. Πελοποννήσου] Πελοποννήσου αἱ πέντε μοῖραι Λακωνικὴ, Ἀρκαδικὴ, Ἀργολικὴ, Μεσσηνιακὴ καὶ τῆς Ἤλιδος. ἀποθανόντος δὲ Κρεσφόντου ἔσχον τὴν Μεσσηνιακὴν οἱ Λακεδαιμόνιοι. 11. Δύο μοίρας] Λακωνικὴν καὶ Μεσσηνιακήν. Τῆς δε ξυμπάσης ἡγοῦνται] Ἰστέον ὅτι τῆς Ἀργολικῆς οὐκ ἦρξαν, ἀλλὰ συνεκδρομικῶς εἶπε. τὸ ἑξῆς, ὅμως δὲ φαίνοιτ' ἂν ὑποδεεστέρα, πόλεως καὶ εὐτελοῦς, καὶ οὔτε συνοικισθείσης, καὶ τὰ ἑξῆς. 13. Πε-

1. στρατιᾷ plerique omnes.
2. Μυκῆναι] Huc respexit Scholiastes Hermogenis. p. 62. Wass.
3. ἀξιόχρεων E.
5. οἵ τε] τε οἱ K.d. οἱ e.
6. Λόγος κατέχει] Vid. Valck. ad Eurip. Hippol. p. 322. Gottl.
7. ληφθείη A.B.K.g.
τά τε] τὰ L.g. τὰ ταύτης e. ταύτῃ I.
8. πολλὴν γὰρ ἂν L.
9. πολλοῦ] τοῦ πολλοῦ H. τοῦ g.
11. μοῖρας] δυνάμεις L.O.P.Q.
12. συμμάχων I.
δὲ] om. L.O.P.Q.
13. Πολυτελέσι] Exscripsit Schol. Suidas in πολυτέλες. Wass.
14. Κατὰ κώμας] Suidas v. κώμη (p. 364.) Εἴρηκε δὲ Θουκυδίδης τοὺς δήμους κώμας ἐν πρώτῃ. Κατὰ κώμας δὲ τῷ παλαιῷ τρόπῳ οἰκηθεῖσα. Gottl.

οἰκισθείσης, φαίνοιτ' ἂν ὑποδεεστέρα), Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων διπλασίαν ἂν τὴν δύναμιν εἰκάζεσθαι ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως ἣ ἔστιν. οὐκουν ἀπιστεῖν εἰκὸς, οὐδὲ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκοπεῖν ἢ τὰς δυνάμεις, νομίζειν δὲ τὴν στρατιὰν ἐκείνην μεγίστην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς, λειπομένην δὲ τῶν νῦν, τῇ Ὁμήρου αὖ ποιήσει εἴ τι χρὴ κἀνταῦθα πιστεύειν, ἣν εἰκὸς ἐπὶ τὸ μεῖζον μὲν ποιητὴν ὄντα κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐνδεεστέρα. πεποίηκε γὰρ χιλίων καὶ διακοσίων νεῶν, τὰς μὲν Βοιωτῶν εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν, τὰς δὲ Φιλοκτήτου, πεντήκοντα, δηλῶν, ὡς ἐμοὶ δοκεῖ, τὰς μεγίστας καὶ ἐλαχίστας· ἄλλων γοῦν μεγέθους πέρι ἐν νεῶν καταλόγῳ οὐκ ἐμνήσθη. αὐτερέται δὲ

λυτελέσι] πολυδαπάνους· τέλος γὰρ τὸ ἀνάλωμα. 1. Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο] ἐξ ὑποθέσεώς φησι περὶ Λακεδαιμονίων τὸ, εἰ ἡ πόλις αὐτῶν ἐρημωθείη καὶ τὰ ἱερὰ λειφθείη. ἐκεῖ πῶς ἂν περὶ Ἀθηνῶν, Ἀθηναῖος ὤν, καταρώμενος τὸ αὐτὸ εἴρηκεν; ὥστε μάτην ἡ παραγραφὴ τέθειται, ὅτι λελῃθότως ἐκπαῖται τοῖς Λακεδαιμονίοις. ἀλλάτριων γὰρ τοῦτο τῆς τοῦ συγγραφέως ἴσμεν προθέσεως. 3. Ἣ ἔστιν] τὸ ἢ συγκριτικὸν ἀντὶ τοῦ ἤπερ. Ἣ ἔστιν] τὰ κατὰ Μυκήνην καὶ τὸν στόλον τὸν εἰς Τροίαν. ἡ διάνοια, ἐρημωθείσης τῆς μὲν τῶν Λακεδαιμονίων πόλεως, μείων φαίνοιτο ἡ δύναμις γεγενέναι τῆς ἔπειτα· τῆς δὲ τῶν Ἀθηναίων, μείζων ἢ νῦν ἐστί. 9. Πεποίηκε] ἐπιτηδείως τὸ ποιητὴς πεποίηκεν· ὥσπερ λέγομεν τὸ φιλόσοφος ἐφιλοσόφησε. Χιλίων] ὁ μὲν Εὐριπίδης (Androm. 106. Or. 352. Electr. 2.) καὶ Λυκόφρων (210.) χιλίας ναῦς λέγουσι τὸν Ἀγαμέμνονα ἀγαγεῖν, ὁ δὲ Ὅμηρος χιλίας ἑκατὸν ἑξήκοντα ἕξ. 12. Ἄλλων] ἀνδρῶν δηλονότι· ἔστι γὰρ

1. ὑποδεεστέρα] Fortasse retracto accentu leg. ὑποδέεστέρα.

3. τῆς πόλεως] om. I.e.

ἢ] ἥ E.

5. στρατείαν F.H.P.a.c.e. στρατειὰν K.

7. αὖ] δ' αὖ e.

καὶ ἐνταῦθα g.

8. μεῖζω a.

κοσμήσειν K.

9. Χιλίων καὶ διακοσίων] Scholiast. hic ex Homero, ut ait, 1166. numerat. Eustathius ad Il. β'. 358. ex Catalogo Homeri 1186. Varie proditus est numerus. Vid. Cerd. ad Virg. II. Æn. 298. et Meziriac. ad Ovid. Epist. Hermion. p. 319. De Bœotorum navibus est apud Poëtam in Catalogo v. 16. et de Philoctetæ ibid. v. 226. Duk.

13. Pollux I. 95. Αὐτερέτας (ita enim legend. ex Cod. Palatino) Θουκυδίδης ὠνόμασε τοὺς καὶ ἐρετταντας καὶ ἀπομαχομένους· περίνεως δὲ καλεῖ τοὺς ἄλλους ἐπιβάτας. Huds.

ὅτι ἦσαν καὶ μάχιμοι πάντες, ἐν ταῖς Φιλοκτήτου ναυσὶ δεδήλωκε· τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους. περίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν, ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει, ἄλλως τε καὶ μέλλοντας πέλαγος περαιώσεσθαι μετὰ σκευῶν πολεμικῶν, οὐδ' αὖ τὰ πλοῖα κατάφρακτα ἔχοντας, ἀλλὰ τῷ παλαιῷ τρόπῳ ληστικώτερον παρεσκευασμένα. πρὸς τὰς μεγίστας δ' οὖν καὶ ἐλαχίστας ναῦς τὸ μέσον σκοποῦντι οὐ πολλοὶ φαίνονται ἐλθόντες, ὡς ἀπὸ πάσης τῆς Ἑλλάδος κοινῇ πεμπόμενοι. * αἴτιον δ' ἦν οὐχ ἡ ὀλιγανθρωπία

II. Non autem

καὶ ἀνδρῶν παρ' αὐτῷ κατάλογος. 2. Προσκώπους] τοὺς πρὸς ταῖς κώπαις ναύτας, τοὺς κωπηλάτας. 3. Περίνεως] τοὺς περιττοὺς ἐν τῇ νηῒ ἐπιβάτας, οἷον δούλους. 4. Ἐν τέλει] οἷον Μηριόνου, Πατρόκλου, καὶ τῶν τοιούτων ἐν τέλει. 6. Οὐδ' αὖ τὰ πλοῖα κατάφρακτα] οὐκ ἦν, φησὶ, σεσανιδωμένα τὰ πλοῖα, ὥστε κάτω μὲν τιθέναι τὰ ὅπλα, αὐτοὺς δὲ ἄνω διάγειν. Τῷ παλαιῷ τρόπῳ ληστικώτερον] τὰ γὰρ τῶν ληστῶν πλοῖα οὐκ ἦσαν σεσανιδωμένα, ἀλλὰ καὶ κάτω ἐκαθέζοντο, διὰ τὸ μὴ φαίνεσθαι αὐτοὺς πλέοντας. ἦν οὖν διὰ τοῦτο κοιλότερα. 8. Τὸ μέσον σκοποῦντι] μέσον τῶν ἑκατὸν εἴκοσι καὶ τῶν πεντήκοντα ἐστὶν ὁ ὀγδοήκοντα πέντε· συνάγεται οὖν ὁ τῶν χιλίων διακοσίων νεῶν τῶν ἀνδρῶν ἀριθμὸς, μυριάδων δέκα καὶ δισχιλίων. 951

1. ναυσὶ] om. e.

2. Τοξότας] Homer. Il. 2, 227. Τόξων εὖ εἰδότες ἰφι μάχεσθαι. Duk.

πρὸς κώπην g.

3. Περίνεως] Suidas h. v. Wass. et in Πρωτόνεως. Duk.

δὲ] om. g.

Ἔξω τῶν βασιλέων] Id est, χωρὶς, Thom. Magist. in ἔξω. Scholiastes Thucydidis III. 61. et V. 26. exponit ἄνευ. Duk.

τῶν] om. K.

5. περαιώσασθαι Q.g. περαιώσασθαι K.d.

7. ληστρικώτερον a.

8. δ' οὖν] οὖν N. γοῦν ceteri. Utroque aptius visum est quod de conjectura reposui.

ναῦς] om. a.

Τὸ μέσον] Hunc locum ob oculos habuit Eustath. p. 260. a. Wass. et p. 329. Duk.

9. πολὺ a.

ἐλθόντες A.B.E.F.H. a.c.e.f.g. h. δὲ ἐλθόντες N. vulgo ξυνελθόντες.

10. κοινοὶ d.

Αἴτιον] Hermogenes cap. 13. περὶ μεθόδου δεινότητος, αἴτιον ἦν οὐχ ἡ ὀλιγανθρωπία, ὅσον ἡ ἀχρηματία. Non est infrequens in talibus concisum genus loquendi. supr. cap. 9. τῶν τότε δυνάμει προὔχων, καὶ οὐ τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις—et cap. 138. γίγνεται παρ' αὐτῷ μέγας, καὶ ὅσος οὐδείς πω Ἑλλήνων. Nec desunt exempla aliorum Scriptorum. Eodem modo καίτοι, vel καίτοι ante ὅμως sæpe deesse observat Stephanus, cap. 9. Sed omnes MSS. et Edd. tuentur vulgatum. Duk.

τοσοῦτον, ὅσον ἡ ἀχρηματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν ἐλάσσω ἤγαγον, καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν, ἐπειδή τε ἀφικόμενοι μάχῃ ἐκράτησαν (δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο), φαίνονται δ' οὐδ' ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν τῆς Χερσονήσου τραπόμενοι καὶ λῃστείαν τῆς τροφῆς ἀπορίᾳ. ἢ καὶ μᾶλλον οἱ Τρῶες αὐτῶν διεσπαρμένων τὰ δέκα ἔτη ἀντεῖχον βίᾳ τοῖς ἀεὶ ὑπολειπομένοις ἀντίπαλοι ὄντες. περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς, καὶ ὄντες ἀθρόοι ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἷλον, οἵ γε καὶ οὐκ ἀθρόοι, ἀλλὰ μέρει τῷ ἀεὶ παρόντι ἀντεῖχον. πολιορκίᾳ δ' ἂν προσκαθεζόμενοι ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν Τροίαν εἷλον. ἀλλὰ δι' ἀχρηματίαν τά τε πρὸ τούτων ἀσθενῆ ἦν, καὶ

hominibus, sed opibus carebant illa tempora, quod obsidione Trojæ diuturna probatur.

1. Ὅσων ἡ ἀχρηματία] συγκριτικῶς, ὅτι καὶ τοῦτο κἀκεῖνο. Ἰστέον δὲ ὅτι ψεύδεται ἡ ἀχρημασία. 3. Βιοτεύσειν] τροφὴν ἕξειν. Μάχῃ] τῇ τῆς ἀποβάσεως εἰς τὴν ξηρὰν τῶν νεῶν, ἐν ᾗ Πρωτεσίλαος πίπτει. 4. Ἔρυμα] ἔρυμα λέγει νῦν οὐχ ὅπερ ἐν τῇ ἡ (Il. 7, 337. 436.) λέγει Ὅμηρος γενέσθαι, ἀλλὰ πρότερον μικρότερον διὰ τὰς τῶν βαρβάρων ἐπιδρομάς. 6. Ἀλλὰ πρὸς γεωργίαν] ὧν ἡγεῖτο Ἀκάμας καὶ Ἀντίμαχος. 11. Διέφερον] ὑπέμενον, ἐπιμελῶς ἐξήνυον, διήνυον. 12. Τῷ] ἔνιοι συνεγκλίνουσιν, ἀλλὰ

1. τοσοῦτον] om. Hermogenes π. μεθ. δειν. 13.
τῆς] τῇ K.
2. ἐλάσσω K.
αὐτόθι c.
3. βιοτεύειν I. βιῶτεύσειν g. βοιωτεύειν K.Q.
Βιοτεύειν] τὸ ζῆν Thucyd. inquit Hesych. Wass.
4. ἔρυγμα I.
6. Χερσονήσου A.B.E.h. χερωνήσου I. χερωνήσου F.H. vulgo χερρονήσου Infra 4, 42. χερρωνήσου L. O. χερωνήσου d.f.i. χερσωνήσου h. 4, 5. χερωνήσου H.f. 6, 97. χερρόνησος Q.d.i. χερόνησος f. 8, 62. χερρονήσου L.O.Q.c.f.g. χερονήσου i. χερωνήσου d. 8, 99. χερωνήσου H.i. χερωνήσσου F. 8, 102. χερσονήσω F. χερονήσῳ d.i. χερωνήσωι A. 8, 104. χερρόνησον B.g.
9. ἀεὶ] om. d.
ἀντίπαλον b.
11. διεφέροντο K.
12. μέρη I.
13. παρόντι A.B.E.F.H.I.K.N. P.a.c.d.e.f.g.h.i. vulgo παρατυχόντι.
δ' ἂν] δὲ d.
προκαθεζ. a.
14. ἐν] om. e.

αὐτά γε δὴ ταῦτα ὀνομαστότατα τῶν πρὶν γενόμενα δηλοῦται τοῖς ἔργοις ὑποδέστερα ὄντα τῆς φήμης καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς λόγου κατεσχηκότος· * ἐπεὶ καὶ μετὰ τὰ Τρωϊκὰ ἡ Ἑλλὰς ἔτι μετανίστατό τε καὶ κατῳκίζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι. ἥ τε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνέχμωσε, καὶ στάσεις ἐν ταῖς πόλεσιν ὡς ἐπὶ πολὺ ἐγίγνοντο, ἀφ' ὧν ἐκπίπτοντες τὰς πόλεις ἔκτιζον. Βοιωτοί τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν, ἐξ Ἄρνης ἀναστάντες ὑπὸ Θεσσαλῶν, τὴν νῦν μὲν Βοιωτίαν πρότερον δὲ Καδμηΐδα γῆν καλουμένην ὤκισαν· (ἦν δὲ αὐτῶν καὶ ἀποδασμὸς πρότερον ἐν τῇ γῇ

12. Ne post Troica quidem Græcia requievit. Multæ in civitatibus singulis seditiones, inde novæ civitates ortæ. Bœoti quidem, LX annis post Trojæ excidium ex Arne a Thessalis pulsi, terram Cadmeam occuparunt; LXXX annis post Trojam eversam Dorienses cum Heraclidis

μέρει τῳ, ἀντὶ τοῦ μέρει τινί. 1. Δηλοῦται τοῖς ἔργοις] τὰ Τρωϊκὰ ἐλέγχεται. 4. Μετὰ τὰ Τρωϊκὰ] τριχῇ διεῖλε τὴν ἀρχαιολογίαν, εἰς τὰ πρὸ τῶν Τρωϊκῶν, εἰς αὐτὰ τὰ Τρωϊκά, εἰς τὰ ἐχόμενα αὐτῶν. καθ' ἕκαστον δὲ μέρος διελὴ παράγραφος κεῖται. δηλοῖ δὲ καὶ διὰ τούτων τὴν αἰτίαν, δι' ἣν τὰ Ἑλληνικὰ καὶ μετὰ τὴν ἅλωσιν ἦν ἀσθενῆ. 5. Ἡσυχάσασα] ἡσυχία γὰρ καὶ αὔξησιν ποιεῖ. Ἥ τε γὰρ ἀναχώρησις] μηκέτι γὰρ ἐλπίζοντες αὐτοὺς ἐπανελθεῖν ἐπανίσταντο, ἐλθοῦσι δ' ἐπολέμουν, καὶ οἱ ἠττώμενοι ἐξέπιπτον. 8. Ἀφ' ὧν] ἢ πόλεων, ἢ στάσεων. Τὰς πόλεις ἔκτιζον] πολλοὶ γὰρ ἐξέπεσον· οἷον Τεῦκρος μὲν, ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς διὰ τὸν Αἴαντα, εἰς Κύπρον ἀφίκετο· καὶ Φιλακτήτης, διὰ τὸν Πάριδος θάνατον θήλειαν νόσον νοσήσας, καὶ μὴ φέρων τὴν αἰσχύνην, ἀπελθὼν ἐκ τῆς πατρίδος, ἔκτισε πόλιν, ἣν διὰ τὸ πάθος Μαλακίαν ἐκάλεσε. Διομήδης ὑπὸ Κομήτου ἐκβληθείς, εἰς τὰς Λιβυρνίδας νήσους ἀφίκετο· καὶ ὁ Μενεσθεὺς, ὑπὸ τῶν Θησειδῶν, εἰς Ἰβηρίαν, καὶ ἄλλοι πολλοί. 10. Ἐξ Ἄρνης] Ἄρνη πόλις Θεσ-

1. γε δὴ] δὴ H.K.N.a.c.d.e. δὲ F.L.O.P.

5. κατῳκίζετο A.B.E.F.G.H. N.a.b.c.e.f.g.h. μετῳκίζετο vulgo. ἡσυχάσασαν A.B.E.F.K.g.h.

7. ἐνέχμωσε B.F.H.h.g. ἐνεώχμωσε a.

ὡς] om. g.

8. ἐπὶ τὸ πολὺ F.G.H.I.N.a.c. ἐγένοντο K.

9. τε] om. e.

οἱ νῦν] om. a.

μετὰ τὴν Ἰλίου L.g.

10. Ἐξ Ἄρνης] Vid. Steph. Byzant. h. v. et ibi interpretes. Duk.

11. μὲν] om. F.H.a.c.

11. καδμηΐδα F.H. καδμίδα a. Καδμηΐδα] Καδμηΐάδα, quod est in Cass. nusquam alibi inveni, et errori scribentis tribuendum puto. Stephanus in Βοιωτία, ἐκαλεῖτο δὲ—καὶ Καδμηΐς, ὡς Θουκυδίδης. Eustath. in Il. β'. 487. παράγονται δὲ Καδμεῖοι μὲν ἀπὸ τῆς Καδμηΐδος γῆς. Duk.

γῆν τὴν χαιρώνειαν (vel χαιρώνεαν) καλουμένην E.

11. ὦκισαν a.

12. καὶ] om. a.c. ante pronomen ponunt N.e.g.

πρότερον] post ταύτῃ ponunt

ταύτῃ, ἀφ' ὧν καὶ ἐς Ἴλιον ἐστράτευσαν), Δωριῆς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον. μόλις τε ἐν πολλῷ χρόνῳ ἡσυχάσασα ἡ Ἑλλὰς βεβαίως καὶ οὐκέτι ἀνισταμένη ἀποικίας ἐξέπεμψε, καὶ Ἴωνας μὲν Ἀθηναῖοι καὶ νησιωτῶν τοὺς πολλοὺς ὤκισαν, Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι, τῆς τε ἄλλης Ἑλλάδος ἔστιν ἃ χωρία. πάντα δὲ ταῦτα ὕστερον τῶν Τρωϊκῶν ἐκτίσθη.

in Peloponnesum invaserunt. Et deinceps colonias in Ionia et in insulis Atheniensium, in Sicilia Italiaque Peloponnesiorum maxime, exstiterunt.

13. * Δυνατωτέρας δὲ γιγνομένης τῆς Ἑλλάδος, καὶ τῶν Auctis opi-

σαλίας, ἀφ' ἧς ὠνόμασται κατὰ μετοικίαν καὶ ἡ ἐν Βοιωτίᾳ Ἄρνη. ἡ δὲ Βοιωτία Ἄρνη νῦν Χαιρώνεια καλεῖται. 1. Δωριεῖς τε ὀγδοηκοστῷ] οἱ γὰρ Ἡρακλεῖδαι βουλόμενοι κατελθεῖν εἰς Πελοπόννησον, ἤροντο τὸν Ἀπόλλωνα· ὁ δὲ αὐτοῖς ἀνεῖλε διὰ τῶν στενῶν εἰσβαλεῖν. οἱ δὲ νομίσαντες τὸν Ἰσθμὸν λέγειν αὐτὸν, καὶ ἀστοχήσαντες τοῦ χρησμοῦ, προσβάλλουσι τοῖς Πελοποννησίοις κατὰ τὸν Ἰσθμόν· καὶ ἡττηθέντες ἐπυνήσαντο σπονδὰς, ὥστε ἑκατὸν ἔτη παραχωρῆσαι τὴν χώραν Πελοποννησίοις. μετὰ δὲ τὰ ἑκατὸν ἔτη πάλιν ἤροντο τὸν Ἀπόλλωνα περὶ τῆς καθόδου· ὁ δὲ ἀνεῖλεν αὖθις διὰ τῶν στενῶν εἰσβάλλειν. ἀντιλεγόντων δὲ τῶν Δωριέων ὡς καὶ πρότερον εἶεν ἠπατημένοι, εἶπεν ὡς οὐ συνήκατε τὸν χρησμόν· στενὰ γὰρ λέγω τὸν Κρισαῖον κόλπον. οἱ δὲ, ἐντεῦθεν ἐπιχειρήσαντες, ἔτυχον τῆς καθόδου, ὕστερον τῶν Τρωϊκῶν ἔτεσιν π. ἡ δὲ πρώτη ἐσβολὴ πρὸ ἐτῶν εἴκοσιν ἦν. 4. Ἀποικίας ἐξέπεμψε] ἀποικίσαι ἐστὶ κτίσαι πόλιν ἐπ' ἐρήμην. 7. Ἔστιν ἃ] ἀντὶ τοῦ ἔνια. λέ-

F.G.H.I.N.a.c. post γῆ, omisso pronomine e.

2. σὺν d.

3. μόλις A.B.E.N.f.g.h. vulgo μόγις. Ita 7, 40. B.Q. 7, 44. A.D. F.H.I.L.N.O.P.Q. d.e.f.g.h.k. 8. 34. B. Uno loco (8, 92.) omnes μόγις.

Μόγις] Clar. μόλις. Tho. Magistro interprete. ἀντὶ τοῦ μετὰ βίας. μόλις ἀντὶ τοῦ βραδέως. Illud Ionum, hoc vero Atticorum, Corinthus et Helladius apud Photium dicunt esse. Verum μόλις apud nostrum, Isocr. Xenoph. Platon. Sophoc. Æschyl. Herodot. Cæterum Ecclesiastic. XXI. 20. pro μόλις Clemens Alex. μόγις. Glossæ utrumque vix, et vix tandem reddunt. Qui plura cupis de voce μόλις, adeas Schol. Nicandri p. 17. Schol. Sophoclis p. 226. Ed. Steph. 1568. Schol. Theocriti ad Idyl. ια'. 4. Schol. Æschyli Steph. pp. 8. et 302. De μόγις Schol. Oppiani ad α'. 550. Verum Grammaticis εἰμώζειν λέγω. Wass.

βεβαίως] ante ἡσυχάσασα ponit a.

4. ἐξέπεμπε F.H.I.L.N.O.P.b. c.d.e. ἐξέπεμψε a. ἐξέπεμπε K.

5. ὤκησαν E.I.d.

Ἰταλίαν Levesquius.

6. πλέον F.G.H.I.N.a.c.

7. ἄλλης] om. P.

9. γιγνομένης vel γινομένης A.B. E.F.H.I.a.c.e.f.g.h. vulgo γενομένης.

bus, tyrannides ortæ. Item rei navali majorem operam dederunt imprimis Corinthii, divitiis celebres. Præter eos, navali bello primum insignes, Iones Cyri tempore, et Polycrates,

χρημάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης, τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο, τῶν προσόδων μειζόνων γιγνομένων (πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι), ναυτικά τε ἐξηρτύετο ἡ Ἑλλὰς, καὶ τῆς θαλάσσης μᾶλλον ἀντείχοντο. πρῶτοι δὲ Κορίνθιοι λέγονται ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσαι τὰ περὶ τὰς ναῦς, καὶ τριήρεις πρῶτον ἐν Κορίνθῳ τῆς Ἑλλάδος ναυπηγηθῆναι. φαίνεται δὲ καὶ Σαμίοις Ἀμεινοκλῆς Κορίνθιος ναυπηγὸς ναῦς ποιήσας τέσσαρας·

γει δὲ Ἀμπρακιώτας, Ἀνακτορίους. 2. Τὰ πολλὰ] τουτέστι τὰ ἐπιπολύ. τὴν αἰτίαν λέγει τῆς τυραννίδος. Τυραννίδες ἐν ταῖς πόλεσι] διὰ τοῦτο δὲ ἦσαν καὶ ταῦτα ἀσθενῆ. ἡ γὰρ τυραννὶς οὐκ ἐᾷ τελέως αὔξειν τὰ πράγματα. 3. Ἐπὶ ῥητοῖς γέρασιν] ἀντὶ τοῦ ἐπὶ φαναιρᾶς τιμαῖς, ἐπὶ ὁμολογουμένοις γέρασι. τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν τῶν τυραννίδων· ὁ γὰρ τύραννος νόμου κρείττω ἔχει τὴν βούλησιν, καὶ οὐχὶ τὸ αἴσιον. 4. Πατρικαὶ βασιλεῖαι] ἀπὸ τῶν πατέρων παραλαμβανόμεναι κατὰ διαδοχὴν γένους. διαφορὰν δὲ λέγει τυραννίδος καὶ βασιλείας, ὡς καὶ οἱ φιλόσοφοι· οἱ δὲ ῥήτορες ἀδιαφόρως λέγουσιν. 5. Ἀντείχοντο] προσεῖχον αὐτῇ. 6. Μεταχειρίσαι τὰ περὶ τὰς ναῦς] ἐναλλάξαι, τουτέστιν ἀπὸ πεντηκοντόρων ποιεῖν τριήρεις. 8. Ναυπηγηθῆναι] ἀπὸ κοινοῦ τὸ λέγονται. 1. Ἔτη δ' ἐστὶ μάλιστα

3. γενομένων K.d.i.

Ἐπὶ ῥητοῖς γέρασι] Hoc exponunt Steph. ad Schol. Spanhem. ad Julian. Orat. I. p. 128. et Bos. Observ. Crit. c. 3. ubi in Schol. Aristoph. ad Acharn. v. 61. pro ἐπὶ ῥητοῖς λαβὼν πέρασι, recte emendat γέρασι. Sed hoc præceperat Küster. ad Suid. in βασιλεὺς· quamquam nonnihil de hac emendatione dubitans, quæ, mea sententia, certa est. Duk.

4. ναυτικά] ναυσί a.

5. μᾶλλον] μόνον i.

6. μεταχειρῆσαι f.g.

Μεταχειρίσαι] Suidas in h. v. Schol. scrinia compilavit. Wass. H. Steph. reprehendit Scholiastæ interpretationem hujus verbi. Sed Salmas. de Mod. Usur. p. 327. putat μεταχειρίζειν etiam habere significationem mutandi. Et Observat. ad Jus Attic. et Rom. p. 692. scribit, antea solis quinqueremibus usos fuisse Græciæ populos, eamque rationem mutasse Corinthios institutis triremibus pro quinqueremibus, ut hic Schol. Duk.

7. Καὶ τριήρεις] Vide Scaligeri Animadvers. ad Eusebii Chron. p. 61. Huds.

πρῶτον ἐν Κορίνθῳ A.E.F.G.H.I. a.c.e.f.g.h. ceteri ἐν Κ. πρ.

8. ἐναυπηγηθῆναι F.G.H.I.K. L.O.b.d.e. et, post illa τῆς ἑλλάδος, a.

9. ἀμιγοκλῆς I.K.c.

κορινθίοις I.

ναυπ. Κορ. a.

Ἀμεινοκλῆς] Ita MSS. et Themistius Orat. 26. Amenoclem vocat Plin. N. H. 7, 56. Confer Herodot. I. 163. Wass.

ἔτη δ' ἐστὶ μάλιστα τριακόσια ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ὅτε Ἀμεινοκλῆς Σαμίοις ἦλθε. ναυμαχία τε παλαιτάτη ὧν ἴσμεν γίγνεται Κορινθίων πρὸς Κερκυραίους· ἔτη δὲ μάλιστα καὶ ταύτη ἐξήκοντα καὶ διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου. οἰκοῦντες γὰρ τὴν πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ ἀεὶ δή ποτε ἐμπόριον εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ θάλασσαν, τῶν τε ἐντὸς Πελοποννήσου καὶ τῶν ἔξω, διὰ τῆς ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων, χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον. ἐπειδή τε οἱ Ἕλληνες μᾶλλον ἐπλώϊζον, τὰς ναῦς κτησάμενοι τὸ ληστικὸν καθήρουν, καὶ

Cambysis æqualis, item Phocenses, Massiliæ conditores, classibus valebant.

τριακ.] εἰκὸς ἐν τῷ τοσούτῳ χρόνῳ πολλὰς ναῦς γενέσθαι. 1. Ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου] γνωστέον καὶ ἐντεῦθεν, ὅτι ὕστερον συνέγραψεν ὁ Θουκυδίδης τὴν λέξιν τῆς ἱστορίας. 2. Ναυμαχία τε παλαιοτάτη] Περιάνδρου τοῦ υἱοῦ Κυψέλου τυραννοῦντος Κορίνθου, διὰ τὸν φόνον Λυκόφρονος τοῦ υἱέως αὐτοῦ, ὃν ἀνεῖλον οἱ Κερκυραῖοι. ἡ δὲ ἱστορία κεῖται κατὰ διέξοδον παρ' Ἡροδότῳ (3, 53). 5. Μέχρι τοῦ αὐτοῦ χρόνου] ἐς τὴν τελευτὴν δηλονότι τοῦδε τοῦ πολέμου. 12. Καθήρουν] οὐχ οἱ πάντες, ἀλλ' οἱ Κορίνθιοι. Τὸ ληστικὸν καθήρουν] ἐπὶ τοῦ Μίνωος φησὶν, ἐφόσον ἠδύνατο, τὸ ληστικὸν

Plinius auctore, ut ait, Thucydide scribit, Aminoclem primum triremem instituisse. Verum Thucydides a Corinthiis quidem triremes primum inventas esse dicit, sed Aminoclem earum inventorem non facit. Salmas. ad Jus Attic. et Rom. p. 693. ubi et alia vid. huc pertinentia. Duk.

1. ἐστὶ] om. a.

2. Ναυμαχία] Vid. Wess. ad Herod. 3. 53. p. 223. Gottl.

3. παλαιτάτη A.E.F.H.N.Q.b. c.e.g.h. παλαιστάτη ceteri.

4. δὲ] om. F.H.c.e.

καὶ ταύτῃ] om. A.B.E.K.f.g. h. καὶ ταῦτα N.

ἐστι καὶ διακόσια a.

6. ἐμπορεῖων E. et hic et infra.

πλείω

ἑλλήνων τὰ πάλαι κατὰ γῆν ἢ a.

Ἀεὶ δή ποτε ἐμπόριον] Eustathius ad Hom. Il. 2. p. 290. Θουκυδίδης δὲ ἐμπόριον αὐτὴν Ἑλλάδος λέγει. cf. Strab. 8. p. 580. Gottl.

7. θάλατταν G.a.c.e.

10. Ποιηταῖς] Homerum intelligit, qui Il. 2. 570. Οἳ δὲ Μυκήνας εἶχον ἐϋκτίμενον πτολίεθρον, Ἀφνειόν τε Κόρινθον. Wass. Vid. ibi Eustath. et Casaub. ad Dion. Chrys. Corinthiac. p. 464. Duk.

11. ἐπωνόμαζον a.

τε] καὶ P.

12. ἐπλώϊζον A.E.F.G.H.I.K. a.c.e.h. ἐπλωΐζοντο ceteri.

ληστρικὸν F.G.H.I.N.O.a.c.d.e.

Τὸ ληστρικὸν] Si verum est, quod a Scholiaste scribitur cap. 4.

ἐμπόριον παρέχοντες ἀμφότερα δυνατὴν ἔσχον χρημάτων προσόδῳ τὴν πόλιν. καὶ Ἴωσιν ὕστερον πολὺ γίγνεται ναυτικὸν ἐπὶ Κύρου, Περσῶν πρώτου βασιλεύοντος, καὶ Καμβύσου τοῦ υἱέος αὐτοῦ· τῆς τε καθ' ἑαυτοὺς θαλάσσης Κύρῳ πολεμοῦντες ἐκράτησάν τινα χρόνον. καὶ Πολυκράτης Σάμου τυραννῶν ἐπὶ Καμβύσου, ναυτικῷ ἰσχύων, ἄλλας τε τῶν νήσων ὑπηκόους ἐποιήσατο, καὶ Ῥήνειαν ἑλὼν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ. Φωκαῆς τε

καθῄρει· νῦν δὲ τὸ λεῖπον οἱ Κορίνθιοι εἰργάσαντο. 2. Καὶ Ἴωσιν] μετὰ τὴν τῶν Κορινθίων ναυπηγίαν ἡ τῶν Ἰώνων εἰσάγεται περὶ τὸ ναυτικὸν ἐπιμέλεια. 4. Τέως] Ἀττικῶς, ἀπὸ εὐθείας τῆς υἱεύς. Τῆς τε καθ' ἑαυτοὺς] τῆς γειτνιώσης· οὐ γὰρ πάσης. 7. Ῥήνειαν] μία τῶν Κυκλάδων ἡ Ῥήνεια. 8. Φωκαεῖς τε Μασσαλίαν] Φωκεῖς οἱ τῆς Ἑλλάδος, ἀπὸ Φωκίδος πόλεως·

λῃστικὸν quidem esse τὸ σύστημα, videlicet τοὺς λῃστάς, at vero λῃστρικὸν dici τὸ κτῆμα, lectioni margini adscriptæ altera anteponenda est. Sic vero et cap. 10. λῃστικώτερον παρεσκευασμένα legimus: verum λῃστρικῶς vicissim habemus apud Dion. Halic. ubi scribit λῃστρικῶς διασκευασάμενος; itidemque apud hunc Enarratorem c. 37. videmus τὸ λῃστρικῶς opponi τῷ φιλικῶς. Steph.

1. ἀμφότερα A.B.E.H.N.a.b. c.f.g.h. ἀμφότεροῖ K. ἀμφότεροι e. ἀμφοτέρους d.i.

Ἀμφότερα pro κατ' ἀμφότερα apud Thucydid. accipiendum esse docet Suidas in voce. Huds. Ἀμφότερα *utrinque*, eleganter, *hinc, illuc.* Il. 4, 145. Πολέες τέ μιν ἠρήσαντο Ἰωνῆες φορέειν, βασιλῆϊ δὲ κεῖται ἄγαλμα, ΑΜΦΟΤΕΡΟΝ, κόσμος θ' ἅπτῳ, ἐλατῆρι τε κῦδος. Wass.

2. τὴν πόλιν προσόδῳ g.h.

4. τοῦ] om. N.

υἱέος A.B.K.L.N.O. cum Thoma Mag. v. υἱέα. υἱέως Q. vulgo υἷεως.

6. σάμου] om. B. supra ponit f.

7. ῥηνίαν B.E.f.

8. ἀνελὼν F.G.H.N.

Ἑλὼν] In libris, qui ἀνελὼν habent, ultima syllaba vocis præcedentis temere repetita est. Infra 3, 104. de eadem re Ῥήνειαν ἑλών. Ῥήνειαν hic habent *scripti* et *editi*. Et sic Pausan. Messen. c. ult. Sed varie scribitur, Ῥήνεια, Ῥήναια, Ῥηναία, et Ῥηνία. Vid. Holsten. ad Steph. in Ῥήνη, et Cellar. II. Geogr. 14. In Homeri Hymn. Apoll. v. 44. vulgo est Ῥηναία, quod ibi Barnes. edidit. Ῥηναῖα: non scio quam bene. Duk.

τῷ δηλίῳ ἀπόλλωνι f.

Φωκαεῖς] Φωκαεῖς hic habent omnes alii *scripti* et *editi*. Nec tamen minus rectum est Φωκαιεῖς, quemadmodum a Νίκαια, Νικαεὺς et Νικαιεύς. v. Spanhem. Dissert. IV. de Præstant. et Usu Numism. §. ult. et ad Callimach. in Add. p. 755. ubi eosdem Asiaticos ab Herodoto aliisque Veteribus etiam Φωκεῖς dictos scribit. De

Μασσαλίαν οἰκίζοντες Καρχηδονίους ἐνίκων ναυμαχοῦντες· * δυνατώτατα γὰρ ταῦτα τῶν ναυτικῶν ἦν. φαίνεται δὲ καὶ ταῦτα, πολλαῖς γενεαῖς ὕστερα γενόμενα τῶν Τρωϊκῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα, ὥσπερ ἐκεῖνα. ἀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θανάτου, ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο καὶ Κερκυραίοις· ταῦτα γὰρ τελευταῖα πρὸ τῆς Ξέρξου στρατείας ναυτικὰ ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέστη. Αἰγινῆται γὰρ καὶ Ἀθηναῖοι, καὶ εἴ τινες ἄλλοι, βραχέα ἐκέκτηντο, καὶ τούτων τὰ πολλὰ πεντηκοντόρους· ὀψέ τε ἀφ' οὗ Ἀθηναίους Θε-

14. Siculi vero tyranni et Corcyraei majorem adeo triremium numerum habebant, jam ante bella Persica.

Φωκαεῖς οἱ τῆς Ἰωνίας, ἀπὸ Φωκαίας πόλεως. Ἴωνες ὄντες οἱ Φωκαεῖς, καὶ πολεμούμενοι ὑπὸ Περσῶν, ἀφέντες τὴν Ἰωνίαν ἔπλευσαν ἐπὶ τὴν Ἀφρικὴν, τὴν πάλαι Καρχηδόνα καλουμένην. ἀεὶ δὲ ταῖς οἰκιζομέναις αἱ πλησίον ἐναντιοῦνται. ἡ δὲ Μασσαλία πόλις ἐστὶ τῆς Ἀφρικῆς. 4. Πεντηκοντόρους] πεντηκόντορός ἐστι ναῦς ὑπὸ πεντήκοντα ἐρεσσομένη. 5. Ἐξηρτυμένα] ἡτοιμασμένα. Ἐκεῖνα] τὰ παλαιά. 8. Τοῖς τυράννοις] Γέλωνι καὶ Ἱέ-

eo si nulla controversia est, a Φωκεὺς æque recte fit Latinum Phocensis, ac pleraque alia gentilia Græca in εὺς apud Latinos in *ensis* exeunt. Hoc tamen negant Viri magni, Scalig. ad Euseb. Chron. p. 81. Salmas. ad Solin. p. 66. aliique ad Justin. 37, 1. et 43, 3. Vellem Spanhemius indicasset loca veterum, ubi Asiatici Φωκεῖς dicantur. Nam in Herodoto compluribus locis est Φωκαιέες. Vid. lib. 1. c. 152. 163. et seqq. In Eustathio autem ad Dionys. Perieg. v. 70. variat scriptura, de quo ibi Huds. et hic Steph. ad Schol. Duk.

1. *μασαλίαν* L.N. *μασσιλίαν* I. *μασσαλίαν* B.E.F.G.H.N.Q.a.c. g.

Καρχηδονίους · ἐνίκων] Hac de re Herodot. 1, 166. et Justin. 43, 5. Duk.

2. *ταῦτα*] om. B.

4. *μὲν*] *μὲν γὰρ* a.

ὀλίγα I.K.L.N.P.i.

δέ τι H.g.

5. *Πλοίοις μακροῖς*] Salmas. Observ. ad Jus Attic. et Rom. p. 725. legit *μικροῖς*. Aliter exponit Scheffer. II. de Re Naval. 2. p. 85. ex cujus sententia locus non indiget emendatione. Duk.

6. *τοῦ*] om. K.d.

8. *κερκυραίων* P. *κερκυρραίοις* g.

9. *γὰρ τὰ τελευταῖα* a.

στρατιᾶς tantum non omnes.

10. *κατέστη ἐν τῇ ἑλλάδι* a.

11. *εἴ*] *οἵ* F.H.I.c.e.

12. *ἀφ' οὗ*] *ἐπεὶ* a.

Ἀθηναίους Θεμιστοκλῆς ἔπεισεν] Vid. Herodot. 7, 144. p. 569. et Valcken. cf. Plut. Them. T. I. p. 446. Nep. Them. 2. Gottl.

μιστοκλῆς ἔπεισεν Αἰγινήταις πολεμοῦντας, καὶ ἅμα τοῦ βαρβάρου προσδοκίμου ὄντος, τὰς ναῦς ποιήσασθαι αἵπερ καὶ ἐναυμάχησαν· καὶ αὗται οὔπω εἶχον διὰ πάσης καταστρώματα.

15. Classibus Græcorum insulæ subjectæ, terra nonnisi proximi lacessiti: nec unquam in partes discessum, nisi in bello inter Chalcidenses et Eretrienses.

Τὰ μὲν οὖν ναυτικὰ τῶν Ἑλλήνων τοιαῦτα ἦν, τά τε παλαιὰ καὶ τὰ ὕστερον γιγνόμενα. ἰσχὺν δὲ περιεποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσσχόντες αὐτοῖς, χρημάτων τε προσόδῳ καὶ ἄλλων ἀρχῇ· ἐπιπλέοντες γὰρ τὰς νήσους κατεστρέφοντο, καὶ μάλιστα ὅσοι μὴ διαρκῆ εἶχον χώραν. κατὰ γῆν δὲ πόλεμος, ὅθεν τις καὶ δύναμις παρεγένετο, οὐδεὶς ξυνέστη· πάντες δὲ ἦσαν, ὅσοι καὶ ἐγένοντο, πρὸς ὁμόρους τοὺς σφετέρους ἑκάστοις, καὶ ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυτῶν ἐπ' ἄλλων καταστροφῆ οὐκ ἐξῆσαν οἱ Ἕλληνες. οὐ γὰρ ξυνεστήκεσαν πρὸς τὰς μεγίστας πόλεις ὑπήκοοι, οὐδ' αὖ αὐτοὶ ἀπὸ

ρωσι. 2. Προσδοκίμου ὄντος] διὰ τὴν ἐν Μαραθῶνι μάχην. 3. Ἐναυμάχησαν] ἐν Σαλαμῖνι δηλονότι. 7. Αὐτοῖς] τοῖς ναυτικοῖς. 9. Ὅσοι μὴ διαρκῆ] οἱ καταστρεφόμενοι τὴν ἀλλοτρίαν, οὗτοι μὴ διαρκῆ χώραν ἔχοντες, ἐπέπλεον πρὸς τὰς πορθουμένας νήσους. 11. Ὅσοι] πόλεμοι δηλονότι. 12. Καὶ ἐκδήμους στρατείας] τὸ ἐξῆς, καὶ στρατείας ἐκδήμους πολὺ οὐκ ἐξῆσαν. 14. Οὐκ ἐξῆσαν] οὐκ ἐξιόντες ἐποίουν. Οὐ γὰρ ξυνεστήκεσαν] αἱ ἐλάττους πόλεις οὐ συνεμάχουν ταῖς μεγάλαις, ἀνυπήκοοι οὖσαι· οὐ γὰρ ὑπήκουον. 15. Ἀπὸ τῆς ἴσης] λείπει τὸ συντελείας, οἷον ἀπὸ τῆς ἰδίας οὐ-

1. αἰγινήτας A.B.E.g.
2. ἅσπερ B.h.
3. αὐταὶ F.H.I.
4. Καταστρώματα] Vid. Is. Voss. de Construct. Trirem. p. 722. Tom. XII. Antiq. Rom. Græv. Duk.
6. ὕστερα d.i.
γενόμενα F.I.a.b.c.d.e.f.i.
7. προσσχόντες A. προσέχοντες E. προσχόντες ceteri.
9. μὴ] om. K.L.N.
10. οὐκ εἶχον Q.
11. δὲ] γὰρ F.H.a.
ἦσαν ὅσοι] ὅσοι ἦσαν K.L.N.P.b.i.
13. ἐκ δήμου a. δήμους g.
πολὺ] om. H.a. ante οὐκ ponunt F.N.
ἀπὸ—καταστροφῇ] om. a.
ἐπ' ἄλλων καταστροφῇ] ante ἀπὸ ponunt F.H.N.
14. ἐξίασιν F.H.N.
ξυνειστήκεσαν F.H.a.
αἱ ante ὑπήκοοι omisi cum A. B.C.F.G.H.K.L.N.O.a.b.c.g.h.
15. αὖ recepi ex C.G.a.c. et γρ.Q. ἂν F.H. et margo g. vulgo deest.
αὐτοὶ] οὗτοι a.c.

τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο, κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν. μάλιστα δὲ ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον Χαλκιδέων καὶ Ἐρετριέων, καὶ τὸ ἄλλο Ἑλληνικὸν ἐς ξυμμαχίαν ἑκατέ-
5 ρων διέστη. *ἐπεγένετο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα μὴ αὐξηθῆναι, καὶ Ἴωσι, προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων, Κῦρος καὶ ἡ Περσικὴ βασιλεία, Κροῖσον καθελοῦσα καὶ ὅσα ἐντὸς Ἅλυος ποταμοῦ πρὸς θάλασσαν, ἐπεστράτευσε καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλεις ἐδούλωσε, Δα-
10 ρεῖος δὲ ὕστερον τῷ Φοινίκων ναυτικῷ κρατῶν καὶ τὰς νήσους. *τύραννοι δὲ ὅσοι ἦσαν ἐν ταῖς Ἑλληνικαῖς πόλεσι, τὸ ἐφ' ἑαυτῶν μόνον προορώμενοι ἔς τε τὸ σῶμα καὶ ἐς τὸ τὸν ἴδιον οἶκον αὔξειν δι' ἀσφαλείας ὅσον ἐδύναντο μάλιστα, τὰς πόλεις ᾤκουν, ἐπράχθη τε ἀπ' αὐτῶν οὐδὲν

16. Cyrus, devicta Asia intra Halyn, Iones, Darius etiam insulas subegit.

17. Tyranni, suum unice commodum spectantes, per quietem regnabant.

σίας ἕκαστος τὸ φθάνον. κατ' ἰσότητα μιγνύμενοι. 3. Πόλεμον Χαλκιδέων καὶ Ἐρετριέων] ἐπολέμουν οὗτοι πρὸς ἀλλήλους περὶ τοῦ Ληλαντίου πεδίου. 4. Ἑκατέρων] τῶν Χαλκιδέων καὶ Ἐρετριέων. 5. Διέστη] διεσπάσθη, ἀνεχώρησεν, οὐ συνεμάχησεν. οὐ γὰρ λέγει ὅτι ἐμερίσθη, ἀλλὰ μόνοι Χαλκιδεῖς μόνοις Ἐρετριεῦσιν ἐμάχοντο. Κωλύματα μὴ αὐξηθῆναι] λείπει τὸ τοῦ. 6. Τῶν πραγμάτων] τῶν Περσικῶν. τὸ ἑξῆς, καὶ Ἴωσι Κῦρος ἐπεστράτευσε, Κροῖσον καθελών. καὶ τὰ ἑξῆς. 10. Καὶ τὰς νήσους] ἐδούλωσε δηλονότι. 12. Ἔς τε τὸ σῶμα] ἔς τε τὸ φυλάσσειν τὸ ἴδιον σῶμα. 14. Μάλιστα τὰς πόλεις] τὸ μάλιστα ἀντὶ τοῦ ἀκριβῶς λαμβάνει ὁ Θουκυ-

1. κοινῆς a. om. d.i. et pr. K.
στρατείας d.i. ceteri aut στρατιᾶς aut στρατιάς.
Κοινὰς στρατείας] Suidas in ἀπὸ τῆς ἴσης. Wass.
3. γενόμενον] om. d.
Πόλεμον Χαλκιδέων καὶ Ἐρετριέων] Vid. Spanh. ad Callim. h. in Del. v. 289. p. 569. item Valcken. ad Herod. 5. p. 472. Gottl.
4. ἄλλων f.g.
5. ἐπεγένετο A.B.K.L.N.O.Q. g.h. ἐπεγίγνετο vel ἐπεγίνετο ceteri.
ἄλλοις τε ἄλλοθι] ἄλλοθι ἄλλα τε a. ἄλλοις τε ἄλλοθεν e.
6. μὴ] τοῦ A.B.b.g.h.
προσχωρησάντων A.B.h.
7. καὶ] γὰρ G.
βασιλεία] ἐξουσία F.H.N.a.
8. θάλατταν A.
10. δὲ A.B.K.g.h.i. vulgo τε.
τῶν h.i. cum Tusano.
φοινικῷ a. φοινικικῷ c.
11. τε C.F.G.H.a.c.e.
ὅσοι] om. A.
12. ἀφ' c.
13. ἐδύναντο A.B.C.F.H.I.K. Q.a.c. ceteri ἠδύναντο.
14. Μάλιστα] Habet Suidas in μάλιστα, Schol. secutus. Wass.
δὲ C.H.I.e.
οὐδὲν ἀπ' αὐτῶν C.F.G.H.I.a.c.e.

ἔργον ἀξιάλογον, εἰ μὴ εἴ τι πρὸς περιοίκους τοὺς αὐτῶν ἑκάστοις· οἱ γὰρ ἐν Σικελίᾳ ἐπὶ πλεῖστον ἐχώρησαν δυνάμεως. οὕτω πανταχόθεν ἡ Ἑλλὰς ἐπὶ πολὺν χρόνον κατείχετο μήτε κοινῇ φανερὸν μηδὲν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι.

18. Ἐπειδὴ δὲ οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης οἱ πλεῖστοι καὶ τελευταῖοι, πλὴν τῶν ἐν Σικελίᾳ, ὑπὸ Λακεδαιμονίων κατελύθησαν (ἡ γὰρ Λακεδαιμὼν μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων αὐτὴν Δωριέων ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον στασιάσασα, ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη καὶ ἀεὶ ἀτυράννευτος ἦν· ἔτη γάρ ἐστι μάλιστα τετρακό-

Tandem Lacedæmoniorum ope tyrannis ejectis, orta sunt bella cum Persis, in quibus Lacedæmonii ceterorum Græcorum du-

δίδης. τὸ δὲ ὑπερβατὸν, τύραννοι γάρ, φησὶ, τὰς πόλεις ἔσχον. 2. Γὰρ] τὸ γὰρ ἀντὶ τοῦ δέ. οὐ λέγω περὶ τῶν ἐν Σικελίᾳ· οἱ γὰρ ἐν Σικελίᾳ ἐπὶ πλεῖστον, καὶ τὰ ἑξῆς. Ἐπὶ πλεῖστον ἐχώρησαν δυνάμεως] ἦγουν πλείονα δύναμιν περιεβάλοντο. 5. Ἀτολμοτέρα εἶναι] κατὰ κοινοῦ τὸ κατείχετο. 7. Καὶ πρὶν] ἤτοι καὶ πρότερον, δηλονότι πρὸ τῶν τῆς Ἀθήνης τυράννων. λέγει δὲ πλείστους εἶναι τοὺς Ἀθηναίων τυράννους, καὶ αὐτοὺς τελευταίους καταλυθῆναι ὑπὸ Λακεδαιμονίων. 8. Τῶν ἐν Σικελίᾳ] τυράννων· οὗτοι γὰρ ὕστατοι κατελύθησαν τῶν ἁπάντων. 9. Ἡ γὰρ Λακεδαίμων] ἡ σύνταξις, ἡ γὰρ Λακεδαίμων ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον στασιάσασα, πρὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου δηλονότι, ὅμως μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων αὐτὴν Δωριέων εὐνομήθη. 11. Ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη] πόθεν, φησὶν, οἱ

1. ἔργον] om. c.
εἰ] C.K.N.d.f.g.h.i.
4. οὐδὲν F.H.N.a. μηδὲν ante φανερὸν c.
κατεργάσασθαι d.i.
5. ἀτιμοτέρα L.O.P.Q.
6. Ἐπειδὴ δὲ] Hermog. Περὶ μεθόδου δεινότητος cap. 4. Μακρὸν δὲ γίνεται ὑπέρβατον, ὁπόταν ἡ αἰτία ἑτέρας αἰτίας χρείαν ἔχῃ, οἷον, ἐπειδὴ δὲ οἵ τε Ἀθηναίων—ὑπὸ Λακεδαιμονίων κατελύθησαν. πῶς, ὦ Θουκυδίδη; ἡ γὰρ Λακεδαίμων—καὶ ἀεὶ ἀτυράννευτος ἦν. αἰτίαν τῆς αἰτίας ἀποδίδωσιν· ἔτη γάρ ἐστι μάλιστα—καθίστασαν· εἶτα ἐπανέρχεται ἐπὶ τὴν ἀρχὴν, μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν. Duk.
δὲ] τε L.O.P.
ἐκ] om. G. et pr. g.
8. ἐν τῇ σικελίᾳ g.
ὑπὸ τῶν λακ. P.
Ὑπὸ Λακεδαιμονίων κατελύθησαν] Pluribus narrat hæc Herodot. 5, 68. 72. cf. Thuc. I. 126. 127. Pausan. III. 212. et Schol. Arist. Nub. v. 37. Gottl.
9. κτῆσιν A.B.F.H.I.N.O.Q. a.b.c.d.f.g.h.i. et pr. K.
10. αὐτὴν] ἐν αὐτῇ Hermog. 14. πλεῖστον ἴσμεν b.
11. παλαιστάτου C.F.G.H.I.K. L.N.O.P.a.c.i.
12. Μάλιστα τετρακόσια] Pen-

σια καὶ ὀλίγῳ πλείω ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ἀφ' οὗ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται, καὶ δι' αὐτὸ δυνάμενοι καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθίσταν), μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς Ἑλλάδος, οὐ πολλοῖς ἔτεσιν ὕστερον καὶ ἡ ἐν Μαραθῶνι μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο. δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθε. καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος οἵ τε Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων

ces exstiterunt; Athenienses autem navalem potentiam nacti sunt. Devictis barbaris, cum Græciæ civitates aliæ Atheniensibus, aliæ Lacedæmoniis se adjunxissent, illis mari,

Λακεδαιμόνιοι τοὺς τυράννους κατέλυσαν; ἐκ τῆς εὐνομίας καὶ τοῦ ἀεὶ τῇ αὐτῇ πολιτείᾳ χρῆσθαι. 2. Ἀφ' οὗ] γράφεται καὶ ἃ, ἢ εἰς ἃ ὃ ἔτη οἱ Λακεδαιμόνιοι· τοντέστιν, ἐν οἷς ἔτεσιν. Τῇ αὐτῇ πολιτείᾳ] τῇ ὀλιγαρχίᾳ, τῇ γερουσίᾳ. 3. Καθίστασαν] εἰς τάξιν τινὰ καὶ κατάστασιν ἔφερον τὰ πράτημόσια omnino legendum esse censet *Auctor notarum* ad Chronicon Marmor. p. 52. Vide Meursii Miscell. Lacon. 2, 5. et Marshami Chron. p. 427. ed. Lond. Hudson. Scaliger ad Euseb. Chron. p. 61. hæc ἔτη ὀλίγῳ πλείω definit annis 17. ut 417. anni effluxerint, ex quo Lacedæmonii Lycurgi legibus uti cœperunt, usque ad finem belli Peloponnesiaci. Sed longius intervallum fuisse putant, quos hic laudat Hudsonus. Duk.

2. ἀφ'] ἃ ἀφ' A.h.
λακ.] οἱ λακ. C.g.h.
τῇ αὐτῇ] ταυτῃ C.g.h.
4. τῶν] om. K.L.O.P.d.
6. τῶν μήδων I.K.
Δεκάτῳ δὲ ἔτει] Scalig. ad Euseb. Chron. p. 100. et V. de Emendat. Temp. p. 406. undecim annos inter pugnam Marathoniam et Salaminiam interfuisse putat: Petav. X. de Doctr. Temp. 23. et seqq. aliique Viri docti tantum decem. Revocat eorum argumenta ad examen, et, omnibus adcurate expensis, Scaligeri sententiam probat Hier. Van Alphen in Commentar. Chronolog. ad Daniel. Cap. IX. Part. III. c. 3. Plane verba hæc Thucydidis de Xerxe δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθε, nihil juvant adversarios Scaligeri, et, quod Idem recte animadvertit, bene exponi possunt, de initio expeditionis a Xerxe susceptæ, qui decimo anno post pugnam Marathoniam e Perside movit, et, quum Sardibus in Lydia hiemasset, teste Herodoto 7, 37. deinde versus Græciam progressus est. Nec debuerat Petav. Rat. Temp. Part. II. lib. 3. c. 11. scribere: *Marathonia pugna commissa est decimo anno ante Salaminiam, auctore Thucydide, lib. I. p. 13.* Nam ἐπὶ τὴν Ἑλλάδα ἦλθε, non est, *pugna commissa est.* Duk.

8. ἦκε F.H.C.
9. λακ.] πελοποννήσιοι L.O.

his terra potentibus: orta sunt bella inter utrosque et socios eorum, aut etiam ipsorum cum sociis deficientibus; quibus quidem bellis belli peritia ancta.

Ἑλλήνων ἡγήσαντο, δυνάμει προὔχοντες, καὶ οἱ Ἀθηναῖοι ἐπιόντων τῶν Μήδων διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν καὶ ἀνασκευασάμενοι, ἐς τὰς ναῦς ἐμβάντες, ναυτικοὶ ἐγένοντο. κοινῇ τε ἀπωσάμενοι τὸν βάρβαρον, ὕστερον οὐ πολλῷ διεκρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους οἵ τε ἀποστάντες βασιλέως Ἕλληνες καὶ οἱ ξυμπολεμήσαντες. δυνάμει γὰρ ταῦτα μέγιστα διεφάνη· ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν, οἱ δὲ ναυσί. καὶ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία, ἔπειτα δὲ διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους, καὶ τῶν ἄλλων Ἑλλήνων εἴ τινές που διασταῖεν, πρὸς τούτους ἤδη ἐχώρουν. ὥστε ἀπὸ τῶν Μηδικῶν ἐς τόνδε ἀεὶ τὸν πόλεμον τὰ μὲν σπενδόμενοι τὰ δὲ πολεμοῦντες ἢ ἀλλήλοις ἢ τοῖς ἑαυτῶν ξυμμάχοις ἀφισταγματα, τὰς τυραννίδας καθαιροῦντες. 2. Διανοηθεντες] οὐχ ὅτι διανοηθέντες οὐκ ἐποίησαν, ἀλλὰ θαυμάζει πῶς ὅλως διενοήθησαν. 3. Ἀνασκευασάμενοι] τὰ σκεύη ἀναλαβόντες. 5. Διεκρίθησαν] οἱ Ἕλληνες. 6. Οἱ ξυμπολεμήσαντες] τοῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις. 7. Ταῦτα] τὰ πράγματα τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων. 9. Ὁμαιχμία] ἡ ὁμαιχμία ἐκ τοῦ ὁμοῦ καὶ ἔχω, ἢ μᾶλλον ἐκ τοῦ ὁμοῦ καὶ αἰχμή. Ἔπειτα δὲ διενεχθέντες] ἡ μὲν ἀκριβὴς αἰτία τῆς μάχης οὐ φέρεται πόθεν ἐγένετο· δεῖ δὲ εἰδέναι ὡς μετὰ τὸν Μηδικὸν ἐγένετο πόλεμον, καὶ ἔστι μία ἣν μέμνηται ὁ συγγραφεὺς ἐν τῇ πεντηκονταετηρίδι. 10. Τῶν ξυμμάχων] τῶν ἰδίων δηλονότι. τουτέστιν ἔχοντες οὗτοι τοὺς συμμάχους, κἀκεῖνοι τοὺς ἰδίους. 11. Διασταῖεν]

3. ἐσβάντες C.F.H.I.c.
4. τε] om. a.
5. διεκάθησαν f.
6. τοῦ βασιλέως N.
7. διεφάνη] δὴ ἐφάνη Stephanus.
9. Ὁμαιχμία] Ὁμαιχμία γὰρ Θουκυδίδῃ μὲν, οὐ μὴν ἥδιον πρὸς τὴν ἀκοὴν inquit Pollux I. 153. utitur D. Halic. noster Herodotum sequitur. Καὶ ὀλίγον — ἀλλήλους tanquam ex Herodoto laudat Suidas in ὁμαιχμίη, ubi om. δὲ, et οἱ ante Ἀθηναῖοι. Wass. Rursus Poll. 4, 30. τὸ γὰρ ὁμαιχμίαν πονηρόν. Mihi vero unus Thucydides pluris est, quam decem Polluces. Duk.
δὲ] om. F.G.H.K.c. cum Suida.
alterum οἱ om. B.C.F.G.H.K.i.
10. ἐπεπολέμησαν c.
συμμάχων c.
11. εἴ] οἵ B.g.h.
14. αὐτῶν N.

μένους, οὗ παρεσκευάσαντο τὰ πολέμια καὶ ἐμπειρότεροι ἐγένοντο, μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι. * καὶ οἱ μὲν Λακεδαιμόνιοι οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους ἡγοῦντο, κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως ὅπως πολιτεύσουσι θεραπεύοντες, Ἀθηναῖοι δὲ ναῦς τε τῶν πόλεων τῷ χρόνῳ παραλαβόντες, πλὴν Χίων καὶ Λεσβίων, καὶ χρήματα τοῖς πᾶσι τάξαντες φέρειν. καὶ ἐγένετο αὐτοῖς ἐς τόνδε τὸν πόλεμον ἡ ἰδία παρασκευὴ μείζων ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραιφνῶς τῆς ξυμμαχίας ἤνθησαν.

19. Et Lacedæmonii quidem tributa non exigebant; Atheniensesautem naves et tributa cogebant.

Τὰ μὲν οὖν παλαιὰ τοιαῦτα εὗρον, χαλεπὰ ὄντα παντὶ ἐξῆς τεκμηρίῳ πιστεῦσαι. οἱ γὰρ ἄνθρωποι τὰς ἀκοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοίως ἀβασανίστως παρ' ἀλλήλων δέχονται. Ἀθηναίων γοῦν

20. Hæc panca certis quibusdam indiciis constant; non enim cuili-

διενεχθεῖεν, στασιάζοιεν πρὸς ἀλλήλους. 3. Ἔχοντες φόρου] τὸ ἐξῆς, ἔχοντες φόρου οὐχ ὑποτελεῖς τοὺς ξυμμάχους ἡγοῦντο. Τοὺς ξυμμάχους ἡγοῦντο] ἀντίπτωσις, ἀντὶ τοῦ τῶν ξυμμάχων. 4. Κατ' ὀλιγαρχίαν] ἡγοῦντο δηλονότι. 5. Θεραπεύοντες] ὅπως αὐτοῖς, τοῖς Λακεδαιμονίοις, ἐπιτηδείως καὶ ὁμοίως πολιτεύεσθαι ἀναγκάσωσι, θεραπεύοντες, αὐτοὶ δηλονότι οἱ Λακεδαιμόνιοι. τὸ ἐξῆς, θεραπεύοντες δηλονότι συμμάχους τοῦτο μόνον ὅπως πολιτεύσωσιν ἐπιτηδείως σφίσιν αὐτοῖς, τουτέστι κατ' ὀλιγαρχίαν. 7. Χίων καὶ Λεσβίων] ὡς δυνατῶν ὄντων. ὕστερον δὲ καὶ τούτους ἐχειρώσαντο. 9. Μείζων] ἐκ τῶν φόρων δηλονότι. Ἢ ὡς τὰ κράτιστα] ὅτε εἶχον ἀβλαβῆ τὴν τῶν πάντων συμμαχίαν ἐπὶ τῶν Μηδικῶν. 11. Χαλεπὰ ὄντα] χαλεπὰ γάρ εἰσιν, ἐξ ὧν εἶπε, πιστεῦσαι, ὅτι μεγάλα ἦν. 12. Τὰς ἀκοὰς] τὰς ἀκροάσεις, τὰς φήμας. 14. Ἀβασανίστως] ἡ λέξις μετενήνεκται ἀπὸ τῆς βασάνου τῆς λίθου, ἥτις τὸν χρυσὸν δοκιμάζει. Ἀθηναίων γοῦν] δεινῶς

σαν

1. παρεσκευάζοντο K. παρεσκευάσαντο C.

γρ.σθη

3. φόρους F.c. et pr. A.H.

5. πολιτεύσουσι C. ceteri πολιτεύσωσι.

6. τῶν πόλεων A.B.C.F.G.H.I. N.c.e.f.g.h.i. correctus K. γρ.b. om. a. τῶν πολεμίων reliqui.

Quod vulgo post παραλαβόντες legitur ἦρχον, omisi cum A.B.C. F.G.H.I.N.a.c.f.g.h. quorum B. C. inter versus "ἐκ κοινοῦ τὸ ἡγοῦντο."

7. ἅπασι d.

8. ἡ ἰδία] ἀεὶ δὴ ἡ G.

11. χαλεπὰ ὄντα] καλαιπόντα d.

12. πιστῶσαι Wyttenbachius post Reiskium (Animadv. ad Gr. auct. 3. p. 7.)

14. Ἀθηναίων γοῦν τὸ πλῆθος, &c.] Vide 6, 54. Huds.

bet argumento fides habenda, propter hominum ἀκρισίαν, cujus nonnulla exempla Thucydides affert.

τὸ πλῆθος Ἵππαρχον οἴονται ὑφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος τύραννον ὄντα ἀποθανεῖν, καὶ οὐκ ἴσασιν ὅτι Ἱππίας μὲν πρεσβύτατος ὢν ἦρχε τῶν Πεισιστράτου υἱέων, Ἵππαρχος δὲ καὶ Θεσσαλὸς ἀδελφοὶ ἦσαν αὐτοῦ, ὑποπτήσαντες δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ καὶ παραχρῆμα Ἁρμόδιος καὶ Ἀριστογείτων, ἐκ τῶν ξυνειδότων σφίσιν Ἱππίᾳ μεμηνῦσθαι, τοῦ μὲν ἀπέσχοντο ὡς προειδότος, βουλόμενοι δὲ πρὶν ξυλληφθῆναι δράσαντές τι καὶ κινδυνεῦσαι, τῷ Ἱππάρχῳ περιτυχόντες περὶ τὸ Λεωκόριον καλούμενον τὴν Παναθηναϊκὴν πομπὴν διακοσμοῦντι, ἀπέκτειναν. πολλὰ δὲ καὶ ἄλλα ἔτι καὶ νῦν ὄντα καὶ οὐ χρόνῳ ἀμνηστούμενα καὶ οἱ ἄλλοι Ἕλληνες οὐκ ὀρθῶς

ταῦτα προέταξεν, Ἀθηναίους τοὺς δοκοῦντας σοφοὺς Ἑλλάδος εἶναι, ὅτι οὐδὲ αὐτοὶ δοκιμάζουσι τὰ ἴδια. 1. Ἵππαρχον οἴονται] τὸ ἑξῆς, Ἵππαρχον τύραννον ὄντα. 3. Πρεσβύτατος ὤν] τὸ ἑξῆς, πρεσβύτατος ὢν τῶν Πεισιστρατιδῶν, ἦρχε, τῶν Ἀθηναίων δηλονότι. τὸ δὲ υἱέων, ἀπὸ τοῦ υἱεύς. 4. Ἵππαρχος δὲ καὶ Θετταλὸς] ταῦτα λέγει ὁ συγγραφεὺς ὡς καὶ αὐτὸς ὢν τοῦ γένους τῶν Πεισιστρατιδῶν, καὶ διαβάλλει τοὺς περὶ Ἁρμόδιον. Ὑποτοπήσαντες] ὑπονοήσαντες, ὑπολαβόντες. τὸ ἑξῆς, ὑποτοπήσαντες καὶ παραχρῆμα μεμηνῦσθαι, ἅμ' ἐβουλεύσαντο καὶ ἐγνώσθησαν. 5. Ἐκείνῃ τῇ ἡμέρᾳ] ἐν ᾗ δηλονότι συνέθεντο ἀνελεῖν τὸν τύραννον. 9. Τῷ Ἱππάρχῳ περιτυχόντες] ὃ λέγει, τοῦτό ἐστιν, ὅτι Ἱππίας μᾶλλον ἦρχε τυραννῶν, οὐχ Ἵππαρχος. ἀδελφὸς δ' ἦν Ἱππίου ὁ Ἵππαρχος. ἀνῃρέθη δὲ παρὰ Ἁρμοδίου καὶ Ἀριστογείτονος, οὐχ ὡς οἱ Ἀθηναῖοι φασιν, τύραννος ὤν, ἀλλ' ὡς οὗτός φησιν, αὐτοὶ μᾶλλον ἐπιβουλευσάμενοι Ἱππίᾳ, καὶ γνωσθέντες, ἐπεὶ εὗρον τὸν αὐτὸν Ἵππαρχον, ἀδελφὸν ὄντα τοῦ Ἱππίου, περὶ τὸ Λεωκόριον, ἀπέκτειναν. Περὶ τὸ Λεωκόριον] ἐλίμωξέ ποτε ἡ Ἀττική, καὶ λύσις ἦν τῶν δεινῶν παίδων σφαγή. Λεὼς οὖν τις τὰς ἑαυτοῦ κόρας ἐπιδέδωκε, καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν. καὶ τούτων ἱερὸν ἐγένετο ἐν τῇ Ἀττικῇ τὸ καλούμενον Λεωκόριον. 11. Πολλὰ δὲ καὶ ἄλλα ἔτι] ἐπιτείνει τὸ ἄτοπον τῶν ἀνθρώπων, ὅτι οὐ μόνον τὰ παλαιὰ, ἀλλὰ καὶ τὰ ἐγγὺς τῷ χρόνῳ ἀβασανίστως ἀκούουσι. τὸ γὰρ τῶν Πεισιστρατιδῶν ἀρχαῖον. 12. Οἱ ἄλλοι] αἰνίττεται

3. Πρεσβύτατος] Ita Schol. Aristoph. Σφ. 500. Wass. Vid. Meurs. in Pisistrato cap. 11. et quæ in Præfat. tom. 5. Antiquit. Græcar. habet Jac. Gronovius. Duk.

6. συνειδότων C.c.

9. Λεωκόριον] De Leocorio Hudson. ad lib. 6, 57. Add. Maussac. ad Harpocrat. in Λεωκόριον, et quæ ad Meurs. Panathen. c. 19. in Præfat. tom. 7. Antiq. Græc. adnotat. Gronovius. Duk.

10. κοσμοῦντι c. et pr. a.

οἴονται, ὥσπερ τούς τε Λακεδαιμονίων βασιλέας μὴ μιᾷ ψήφῳ προστίθεσθαι ἑκάτερον ἀλλὰ δυοῖν, καὶ τὸν Πιτανάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ' ἐγένετο πώποτε. οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας, καὶ ἐπὶ τὰ ἑτοῖμα μᾶλλον τρέπονται. * ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων ὅμως τοιαῦτα ἄν τις νομίζων μάλιστα ἃ διῆλθον οὐχ ἁμαρτάνοι, καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν, ἐπὶ τὸ μεῖζον κοσμοῦντες, μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα, εὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν ἐπιφανεστάτων σημείων, ὡς παλαιὰ εἶναι, ἀποχρώντως. καὶ ὁ πόλεμος οὗτος,

21. In illis igitur acquiescendum est, si ea certis argumentis inveniamus, secus ac poëtae et scriptores mythicae historiae.

τὸν Ἡρόδοτον. 1. Λακεδαιμονίων βασιλέας] οἱ γὰρ Λακεδαιμονίων δύο βασιλεῖς ψήφους ἔφερον ἐν τῇ γερουσίᾳ ἑκάτερος μίαν διττὴν ἔχουσαν δύναμιν. 2. Ἀλλὰ δυεῖν] οὐκ ὀρθῶς οἴονται μὴ μιᾷ ψήφῳ προστίθεσθαι ἑκάτερον, ἀλλὰ δυεῖν. Καὶ τὸν Πιτανάτην] Ἡρόδοτος μαρτυρεῖ ὅτι ἦν ὁ Πιτανάτης λοχος, Πιτανάτης κληθεὶς ἀπὸ Πιτάνης, κώμης Λακωνικῆς. 4. Ἀταλαίπωρος] ἀνεξέταστος. 5. Τὰ ἑτοῖμα] τὰ εὐχερῆ καὶ ἀναπόδεικτα. Ἐκ δὲ τῶν εἰρημένων] τὸ ὑπερβατὸν οὕτω, τὰ μὲν οὖν παλαιὰ τοιαῦτα εὗρον. εἶτα μετὰ τὰ παραδείγματα ὕστερον πρὸς τοῦτο ἀποδίδωσι τὸ ἐκ δὲ τῶν εἰρημένων. 9. Λογογράφοι] αἰνίττεται τὸν Ἡρόδοτον. Προσαγωγότερον] τὸ ἡδύτερον, ἢ πρασάγει. 10. Ἀνεξέλεγκτα] οὐκ ἐλέγχους οὐδὲ ἀποδείξεις ἔχοντα, οὐδ' ἀληθῆ ὄντα. Καὶ τὰ πολλὰ] τὸ ἐξῆς, τὰ πολλὰ αὐτῶν. 13. Εἶναι] ἀντὶ τοῦ ὄντα. Ἀποχρώντως] ἡ περιοχὴ τοῦ λόγου, οὕτωσὶ διῆλθον αὐτὰ, ὡς πρέπει τῷ διηγουμένῳ πράγματα. ἀρκούντως εἰπεῖν. Καὶ ὁ πόλεμος οὗτος]

1. Τούς τε Λακεδαιμ.] Locum Herodoti (6, 57.) falsi arguit Thucydides, non expresso tamen Herodoti nomine, ob antiquioris (ut putat Palmerius) reverentiam. Vide Meursium de Regno Laced. c. 23. Huds.

τε] om. C.I.a.c.

λακ.] τῶν λακ. a. λακεδαιμονιους c.

βασιλέας] om. g.

2. δυοῖν A.B.F.G.H.I.K.N.a. c.f.g.h.i. ceteri δυεῖν.

Δυεῖν, quæ vulgata scriptura est, defenditur testimonio Eustathii ad Hom. Il. κ'. p. 802. add. Nunnes. ad Phrynich. p. 42. Duk.

3. Ὃς οὐδ' ἐγένετο] Ita Hesych. ὁ Πιτανάτης λόχος αὐτοσχεδιάζεται οὐκ ὢν ταῖς ἀληθείαις. Vide Meursii Att. Lect. 1, 16. Non dubito, quin Herodotum hic quoque innuat Thucyd. qui 9, 53. hujus cohortis mentionem facit. Huds. add. Spanhem. ad Callimach. Hymn. in Dian. v. 172. et Th. Gale ad Herod. l. d. Duk.

7. ἁμαρτάνει C.I.e.

ὡς οἱ ποιηταὶ N.

καίπερ τῶν ἀνθρώπων, ἐν ᾧ μὲν ἂν πολεμῶσι, τὸν παρόντα ἀεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοπῶσι δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν. * καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι, ἢ μέλλοντες πολεμήσειν ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν, ἐμοί τε ὧν αὐτὸς ἤκουσα καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν ἐμοὶ ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστ' εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν, οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν, καὶ παρὰ τῶν ἄλλων, ὅσον δυνατόν, ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών. ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις ἑκάστοις οὐ ταὐτὰ περὶ τῶν

22. Et verba quidem ipsa dicentium non retulit auctor hujus historiæ, apta tamen præsenti cuilibet rei et universæ vere dictorum sententiæ exhibuit, rebus diligenter examinatis, ita ut veri studiosis se satisfacturum putaret.

λείπει τὸ τοίνυν. τὸ ἐξῆς, καὶ ὁ πόλεμος οὗτος τοῖς ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι δηλώσει, ὅτι μείζων ἐστὶ γεγενημένος τῶν ἀρχαίων· τοῦτο γάρ ἐστι τὸ αὐτῶν. ἢ τῶν Ἀθηναίων καὶ Πελοποννησίων· τουτέστι, μείζων τῆς δυνάμεως αὐτῶν ἐγένετο. 4. Ὅσα μὲν λόγῳ εἶπον. προκατασκευάζει τὰς δημηγορίας. 6. Χαλεπὸν τὴν ἀκρίβειαν] χαλεπὸν ἦν ἐμοί τε αὐτῷ, φησὶν, ὧν ἤκουσα, καὶ τοῖς ἀπαγγέλλουσί μοι, τὴν ἀκρίβειαν τῶν λεχθέντων διαμνημονεῦσαι. ὡς ἐδόκουν τοίνυν ἐμοὶ τὰ δέοντα εἰπεῖν, ἐχομένῳ μοι τῆς ὅλης γνώμης, ἐγγύτατα τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. τουτέστιν, ὡς ἔδοξα δὲ ὅτι εἶπον ἂν ἀληθῶς, οὕτως εἴρηκα, εἰ καὶ μὴ αὐτὰ ἐκεῖνα τὰ λεχθέντα ῥήματα. ἐπιτηδείως τὴν ἄγνοιαν προφασίζεται, ἵνα χρήσηται τοῖς οἰκείοις ἐνθυμήμασιν. 13. Οὐδ' ὡς ἐμοὶ ἐδόκει] ἐπειδὴ φιλαθήναιος δοκεῖ, τοῦτο λέγει. 14. Αὐτὸς παρῆν] ἐστρατήγει γὰρ καὶ αὐτὸς ἕως τῆς τετάρτης ἱστορίας. ἡ διάνοια, ἀλλ' ἠξίωσα τῆς γραφῆς τὰ ἔργα, οἷς αὐτὸς παρῆν. 15. Ἐπεξελθών] ἐρευνῶν. 16. Τῶν αὐτῶν] τῶν λεχθέντων. ἆρα δὲ, πῶς

1. τῶν] πάντων g.h.
2. κρίνοντα I.
τἀρχαῖα Dionys. Hal. p. 146.
3. θαυμαζ. μᾶλλον F.H.c.
ἀπ'] ἐπ' L.e. om. cum ipsis αὐτῶν τῶν ἔργων a.
8. ποθεν] om. a.
ἀπαγγέλουσιν B. ἀπαγγείλασιν Sylburgius ad Dionys. l. l.
9. ἐμοὶ A.B.F.H.g. vulgo μοι.
10. τῆς ξ.] ξ. τῆς a.
11. τῶν ὡς ἀλ. L.O.P.
δ'] γὰρ L.
12. λεχθέντων γρ.g.
τῶν παρατυχόντων g.h.
13. δοκεῖ A.B.F.H.a.g.h.

αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρῳ τις εὐνοίας ἢ μνήμης ἔχοι. καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει. κτῆμά τε ἐς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται.

πρότερον εἰπὼν περὶ τῶν ἐν τῷ πολέμῳ λόγων καὶ ἔργων, ἐνταῦθα λέγει περὶ τῆς ἱστορίας καὶ ὠφελείας. 1. Εὐνοίας, ἢ μνήμης] εὐνοίας ἐπὶ Λακεδαιμονίων, μνήμης ἐπὶ Ἀθηναίων. 2. Ἔχοι] ἀντὶ τοῦ εἶχεν. Τὸ μὴ μυθῶδες] πάλιν πρὸς Ἡρόδοτον αἰνίττεται. 3. Τῶν τε γενομένων τὸ σαφὲς] τὸ ἐξῆς καὶ ἡ διάνοια, ἀρκούντως ἕξει (ἤτοι ἀρκέσει) κρῖναι αὐτὰ, τὰ γεγραμμένα δηλονότι, ὠφέλιμα εἶναι πᾶσιν, ὅσοι βουλήσονται σκοπεῖν τῶν τε γενομένων τὸ σαφὲς καὶ τῶν μελλόντων ἔσεσθαί ποτε αὖθις τοιούτων καὶ παραπλησίων. 5. Κατὰ τὸ ἀνθρώπειον] ἐπειδὴ ἄδηλα τὰ ἀνθρώπινα. 6. Κτῆμα] κέρδος. κτῆμα τὴν ἀλήθειαν, ἀγώνισμα τὸν γλυκὺν λόγον. αἰνίττεται δὲ τὰ Μηδικὰ Ἡροδότου. 7. Ἀγώνισμα] θέαμα, παιδιὰ, ποιητικὸν ἀγώνισμα κωμῳδοποιῶν ἢ τραγῳδοποιῶν. Ξύγκειται] τουτέστι, σαφές ἐστι, ξυγγράφεται.

1. ἑκατέρῳ A.B.F.H.a.f.g. vulgo ἑκατέρων.

τις] τῆς K.
σκέπτως ὑπηρετεῖν. 1. Ἐλαχίστας τὰς μεταμελείας] ἀντὶ τοῦ, ὁ μηδ' ὅλως λαμβάνων μεταμέλειαν ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐχθροῖς ἀσφαλέστατος ἂν διατελοίη. 4. Εἴρηται γὰρ ἐν αὐταῖς] ῥητὸν καὶ διάνοια. τὸ μὲν ῥητὸν ὁ Κερκυραῖος, τὴν δὲ διάνοιαν ὁ Κορίνθιος. 9. Ἀπὸ τῶν ὑμετέρων] κολακεύει λανθανόντως τοὺς Ἀθηναίους, ἢ ἐν ὑποστιγμῇ, ἢ εἰρωνικῶς. Ταηκόων] πολλάκις γάρ τινες διὰ πενίαν ἐμισθοφόρουν καὶ κατὰ τῶν οἰκείων ἐστράτευον. λέγει δὲ περὶ Παλέων τῆς Κεφαλληνίας, οἵτινες Ἀθηναίων ὄντες ὑπήκοοι Κορινθίοις συνεμάχουν. 16. Ἐπιόντων] καθ' ἡμῶν. 20. Ἀπὸ τοῦ προφα-

4. γὰρ] δὲ L.
6. ὁποτέρους P.
εὑρέσκηται a.
9. ἀπὸ] ὑπὸ P.
10. εἴρξουσι A. qui nusquam aliter, plerumque consentientibus B.E. vulgo εἴρξουσι.
15. δὲ] om. i.
ὄντων] om. P.Q.
καὶ ἐπιόντων] om. I.N.
16. καὶ] om. g.
18. τὰς—μισθοφορίας I.L.O.
20. μάλιστα δὲ] μάλιστα δὴ G.c.

" βοηθεῖν. πολλὰ δὲ, ὥσπερ ἐν ἀρχῇ ὑπείπομεν, τὰ
" ξυμφέροντα ἀποδείκνυμεν, καὶ μέγιστον, ὅτι οἵ τε αὐ-
" τοὶ πολέμιοι ἡμῖν ἦσαν, ὅπερ σαφεστάτη πίστις, καὶ
" οὗτοι οὐκ ἀσθενεῖς ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλά-
" ψαι· καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμα-
" χίας διδομένης, οὐχ ὁμοία ἡ ἀλλοτρίωσις, ἀλλὰ μά-
" λιστα μὲν, εἰ δύνασθε, μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι
" ναῦς, εἰ δὲ μὴ, ὅστις ἐχυρώτατος, τοῦτον φίλον ἔχειν.
" * καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖ- 36.
" ται δὲ μὴ δι' αὐτὰ πειθόμενος τὰς σπονδὰς λύσῃ,
" γνώτω τὸ μὲν δεδιὸς αὐτοῦ, ἰσχὺν ἔχον, τοὺς ἐναντίους
" μᾶλλον φοβῆσον, τὸ δὲ θαρσοῦν μὴ δεξαμένου, ἀσθενὲς
" ὂν, πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς ἀδεέστερον ἐσόμενον,
" καὶ ἅμα οὐ περὶ τῆς Κερκύρας νῦν τὸ πλέον ἢ καὶ
" τῶν Ἀθηνῶν βουλευόμενος, καὶ οὐ τὰ κράτιστα αὐταῖς

νοῦς] ἢ προφανῶς, ἢ λάθρα. μάλιστα δὲ φανερῶς. 1. Βοηθεῖν] λείπει τὸ χρὴ, ἵνα γένηται, βοηθεῖν χρή. 6. Ἡ ἀλλοτρίωσις] ἡ στέρησις. 8. Εἰ δὲ μὴ] ἀντίθεσις ἀπὸ τοῦ δικαίου, ἢν λύει τῷ συμφέροντι. Φίλων ἔχειν] κατὰ κοινοῦ τὸ δίκαιον. 11. Τὸ μὲν δεδιὸς αὐτοῦ] τὸ μὲν λῦσαι τὰς σπονδὰς, δεδιὼς ἂν, φοβερὸν ἦν τοῖς Λάκωσι· τὸ δὲ μὴ λῦσαι, θαρσοῦν, ἀδεέστερον ἦν τοῖς αὐτοῖς. Τὸ λῦσαι τὰς σπονδὰς, τοῦτο τὸ φόβου ἐμποιοῦν, τοῦτο οὖν τὸ κατάφοβον ἰσχὺν ἔχει, ἡμῶν ἐν τῇ συμμαχίᾳ προσλαμβανομένων. τὸ δὲ θαρσοῦν καὶ εὔελπι, τὸ μὴ ἡμᾶς προσδέξασθαι, ἀσθενὲς ὄν. πρὸς γὰρ τοὺς Λακεδαιμονίους, τοὺς ἐχθροὺς ὑμῶν καὶ ἰσχύοντας, τοῦτο ἀδεέστερον ἔσται. οἱ γὰρ Ἀθηναῖοι δεδιότες τὴν τῶν σπονδῶν λύσιν οὐκ ἂν δηλονότι ἐδέξαντο τοὺς Κερκυραίους καὶ τὴν ἀπ' αὐτῶν δύναμιν· καὶ δῆλον ὅτι τὸ δεδιὸς τοῦτο ἰσχὺν ἔφερε τοῖς Ἀθηναίοις ἀπὸ τῶν Κερκυραίων, φόβον δὲ τοῖς Λακεδαι-

2. οἵ τε] τε οἱ F.H.a.
3. ἡμῖν B.C.F.G.H.I.L.M.f.g. h. μὲν a. vulgo ὑμῖν.
5. καὶ ante ναυτ. om. f.g.
6. δεδομένης f.
8. ἐχυρώτατος d.
Ἐχυρώτατος] Ἐχυρὸς non tantum ad *loca*, sed et *personas* spectat. Plutarch. Solone. ἐχυρὸς ἦν πρὸς τοὺς καιρούς. Apud Josephum p. 186. pro ὀχυρώτατον omnino leg. ἐχυρώτατον, cui favet Codex Samb. Noster pag. 26. 6. Vid. Schol. p. 462. Voce ὀχυρόω usi Ælian. V. H. 13, 1. Xenoph. D. Halicarn. Wass.
τάδε
9. ταῦτα g.
10. λύσει F.N.
12. φοβῆσαι f.
15. ἀθηναίων L.O.
αὐτοὺς B.

" προνοῶν, ὅταν ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα
" πόλεμον, τὸ αὐτίκα περισκοπῶν, ἐνδοιάζῃ χωρίον προσ-
" λαβεῖν ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ
" πολεμοῦται. τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας κα-
" λῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν
" ἐᾶσαι Πελοποννησίοις ἐπελθεῖν, τό τε ἐνθένδε πρὸς τὰ-
" κεῖ παραπέμψαι καὶ ἐς ἄλλα ξυμφορώτατόν ἐστι.
" βραχυτάτῳ δ' ἂν κεφαλαίῳ, τοῖς τε ξύμπασι καὶ
" καθ' ἕκαστον, τῷδ' ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε,
" τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικά, τὸ
" παρ' ὑμῖν καὶ τὸ ἡμέτερον καὶ τὸ Κορινθίων· τούτων δ'

μονίοις. θαρσήσαντες δὲ ταῖς σπονδαῖς, καὶ ἀπωσάμενοι τοὺς Κερκυραίους, αὐτοῖς μὲν τοῖς Ἀθηναίοις ἀσθενὲς ἦν τὸ θάρσος τοῦτο, ζημιουμένοις τὴν ἐκ τῆς Κερκύρας βοήθειαν, τοῖς δὲ πολεμίοις αὐτῶν Πελοποννησίοις ἀσφαλὲς καὶ ἀδεέστερον. 1. Ὅταν ἐς τὸν μέλλοντα] τὸ ἐξῆς, ὅταν ἐνδοιάζῃ καὶ διστάζῃ χωρίον προσλαβεῖν εἰς τὸν σχεδὸν μέλλοντα πόλεμον, τὸ αὐτίκα περισκοπῶν, τουτέστι τὴν ἐνυπάρχουσαν εἰρήνην. Ὅσονου] ἀντὶ τοῦ οὐχ ὅσον. καὶ δηλοῖ τὸ οὐχ ὅσον τὸ οὐ βραδέως, ἀλλὰ ταχύ. 3. Καιρῶν] καιρῶν νῦν, εὐτυχιῶν καὶ ἀτυχιῶν· ἢ μᾶλλον καιρῶν λέγει ἀντὶ τοῦ ἀναγκῶν καὶ κινδύνων. 8. Βραχυτάτῳ δ' ἂν κεφαλαίῳ] ἐντεῦθεν οἱ ἐπίλογοι. Καὶ καθ' ἕκαστον, τῷ δ' ἂν] λείπει τὸ λέγομεν. ἢ δοτικὴ ἀντὶ εὐθείας, ἵν' ᾖ, μάθοιτε ἂν οἵ τε σύμπαντες καὶ καθ' ἕκαστον. 9. Μὴ προέσθαι] μὴ προδῶτε.

1. ὅσον οὔπω M.

Ὅσονοὺ] Pro lectione ὅσον οὔπω faciunt alii quidam Thucyd. loci: ut l. 4. ὅσον δὲ οὐδέπω παρεῖναι. et l. 6. ὅσον οὔπω πάρεισι. Steph. Loca, quæ adfert Stephanus, nihil faciunt pro lectione ὅσον οὔπω. Nam Thucydides non minus sæpe dicit ὁσονοὺ et ὁσονοὐκ, quam ὅσον οὔπω, et ὅσον οὐδέπω. Vid. Ind. Et utrumque recte dici docet Thom. Mag. Porro ubique varie scribitur ὁσονοὺ, ὅσον οὐ, ὁσονοὐκ, et ὅσον οὐκ. Duk.

παρόντα αὐτίκα πόλεμον a.

2. ἐνδυάζῃ C.

3. τε post οἰκειοῦται addidi ex A. B.C.F.H.M.N.O.a.b.c.e.f.g.h.i.

4. πολεμεῖται L.O.P.e.

Πολεμοῦται] Convenientius, quam πολεμεῖσθαι, videtur huic loco esse πολεμοῦσθαι: quod habes et c. 57. duobus in locis. Pro eodem autem et ἐκπολεμοῦσθαι dicitur. Steph. Sed Harpocration dicit ἐκπολεμῶσαι esse εἰς πόλεμον καταστῆσαι· quod huic loco non convenit. Duk.

Τῆς τε γὰρ Ἰταλίας] Vide Xenophontis Ἑλληνικῶν lib. 6. pag. 585. Ed. Leuncl. et Diod. Siculum, lib. 12. p. 313. Ed. Steph. Hudс.

5. ὥστε] om. C.L.O.P.a.d.i.

6. ἐᾶσαι ναυτικὸν a.

ἐντεῦθεν C.L.O.P.c.d.e.i.

7. ξυμφερώτατον B.F.H.

9. τῷδ' A.C.

11. τὸ Κορ.] τὸ τῶν Κορ. g.h.k. τῶν Κορ. A.B.F.H.a.d.e.f.

" εἰ περιόψεσθε τὰ δύο ἐς ταὐτὸν ἐλθεῖν καὶ Κορίνθιοι
" ἡμᾶς προκαταλήψονται, Κερκυραίοις τε καὶ Πελοπον-
" νησίοις ἅμα ναυμαχήσετε, δεξάμενοι δὲ ἡμᾶς ἕξετε
" πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ὑμετέραις ἀγωνίζε-
" σθαι."

Τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς τοιάδε.

37—43. Oratio Corinthiorum.

* " ΑΝΑΓΚΑΙΟΝ Κερκυραίων τῶνδε οὐ μόνον περὶ
" τοῦ δέξασθαι σφᾶς τὸν λόγον ποιησαμένων, ἀλλ' ὡς
" καὶ ἡμεῖς τε ἀδικούμεν καὶ αὐτοὶ οὐκ εἰκότως πολε-
" μούνται, μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφοτέ-
" ρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι, ἵνα τὴν ἀφ'
" ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον προειδῆτε, καὶ τὴν
" τῶνδε χρείαν μὴ ἀλογίστως ἀπώσησθε. φασὶ δὲ ξυμ-
" μαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· τὸ δ'
" ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν, ξύμμαχόν
" τε οὐδένα βουλόμενοι πρὸς τἀδικήματα οὐδὲ μάρτυρα
" ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι. καὶ ἡ πόλις

3. Ἕξετε] ἰσχύσετε. 8. Ἀναγκαῖον Κερκ.] οὐ μόνον οἱ Κερκυραῖοι λόγον ἐποιήσαντο περὶ τοῦ δέξασθαι ὑμᾶς αὐτούς, ἀλλ' ἤδη ἥψαντο καὶ ἡμῶν, κατηγοροῦντες ὅτι παρὰ τὸ εἰκὸς αὐτοῖς μαχόμεθα. ἀνάγκη τοίνυν ἐστὶ μνησθῆναι ἀμφοτέρων πρότερον, ὅτι οὐ δικαίως δέξεσθε αὐτοὺς καὶ ὅτι προσηκόντως αὐτοῖς μαχόμεθα, εἶτα ἐλθεῖν καὶ ἐπὶ τὸν ἄλλον λόγον. 15. Ξυμμαχίαν διὰ τὸ σῶφρον] οὐ συνεμάχησάν τινι διὰ τὴν σωφροσύνην. 16. Ἐπετήδευσαν] μετεχειρίσαντο. 18. Αἰσχύνεσθαι] ἔχειν μάρτυρα τῆς αἰσχύνης. Καὶ ἡ πόλις αὐτῶν ἅμα] καὶ ἡ πόλις αὐτῶν συμβαίνει τῇ γνώμῃ τῶν

1. εἰ] ἐν εἰ I.L.M.O.b.c.i.
ταὐτὸν A.B.F.H.a.f.g. ταυτὸ g. vulgo τὸ αὐτό.
4. ὑμετέραις A.B.F.H.L.M.N. O.a.b.h.
8. ἀναγκαῖον ὦ ἀθηναῖοι f.
τῶνδε] om. a.
Ἀναγκαίων—ἀμφοτέρων] Schol. in Hermogenem p. 80. Wass.
10. τε] om. L.
11. παρ' c.
15. πω] που O.P.
16. Ἐπὶ κακουργίᾳ—ἔχειν] Hæc laudat Schol. Hermogenis, p. 44. Wass.
οὐκ ἐπ' ἀρετῇ L.O.
ἀρετῇ μᾶλλον ἐπετ. f.
18. παρακαλοῦντα g. παρακα-

" αὐτῶν ἅμα, αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς
" δικαστὰς ὧν βλάπτουσί τινα μᾶλλον ἢ κατὰ ξυνθή-
" κας γίγνεσθαι, διὰ τὸ ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέ-
" οντας μάλιστα τοὺς ἄλλους, ἀνάγκη καταίροντας,
" δέχεσθαι. κἂν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον οὐχ ἵνα
" μὴ ξυναδικήσωσιν ἑτέροις προβέβληται, ἀλλ' ὅπως
" κατὰ μόνας ἀδικῶσι, καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι
" βιάζωνται, οὗ δ' ἂν λάθωσι πλέον ἔχωσιν, ἢν δέ που
" τι προσλάβωσιν, ἀναισχυντῶσι. καίτοι εἰ ἦσαν ἄνδρες,
" ὥσπερ φασὶν, ἀγαθοὶ, ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέ-

πολιτῶν· ληστεύοντες γὰρ ἔχουσιν αὐτὴν συνεργοῦσαν, ἐπιτηδείαν ἔχουσαν τὴν θέσιν πρὸς ἁρπαγήν. οὐ γὰρ ἐκπλέουσι πρός τινας, μᾶλλον δὲ τοὺς πλέοντας, ὑπὸ τῆς βίας τῶν πνευμάτων καταίροντας, δέχονται καὶ διαρπάζουσιν, εἶτα δικάζουσιν αὐτούς, ὡς δίκαια δηλαδὴ πεπόνθασι. καίτοιγε οὐ προκάθηνται εἰς τὸ δικάζειν συνθήκῃ, ἤγουν συμφωνίᾳ. τὸ δὲ ὅλον, αὐτοὶ ἀδικηταὶ καὶ κριταί. ἐν τούτῳ γίγνεται αὐτοῖς τὸ ἄσπονδον εὐπρόσωπον καὶ πιθανόν. διὰ τοῦτο γὰρ συμμάχους οὐκ ἔχουσιν, ἵνα καταμόνας αὐτοὶ ἀδικῶσι, καὶ μὴ μεθ' ἑτέρων τὴν ἀδικίαν ἐργάζωνται· ἵνα μὴ μάρτυρας μᾶλλον ὧν ἐργάζωνται ἢ συμμάχους ἔχωσι. 1. Αὐτάρκη θέσιν] περιτροπὴ τὸ σχῆμα. ἡ θέσις τῆς πόλεως αὐτῶν ἁρμόττει αὐτῶν τῇ γνώμῃ, καὶ αὐτάρκης ἐστὶ τῆς προαιρέσεως καὶ κακίας αὐτῶν πρὸς τὸ ληστεύειν. 3. Διὰ τὸ ἥκιστα ἐπὶ τοὺς πέλας] εἰ γὰρ ἐξέπλεον (φησὶν) ἀλλαχοῦ, οἱ ἀδικούμενοι ἂν ἐκράτουν αὐτῶν ὁμήρους. 4. Ἀνάγκη] διὰ πνευμάτων βίαν. 5. Δέχεσθαι] τὸ δὲ δέχεσθαι ληστρικῶς, ὡς τὸ ὑποδέχεσθαι φιλικῶς. Κἂν τούτῳ τὸ εὐπρεπὲς] τὸ ἐξῆς, κἂν τούτῳ τὸ ἄσπονδον εὐπρεπὲς προβέβληται, καὶ τὰ ἑξῆς. 9. Ἀναισχυντῶσιν] ἀρνούμενοι δηλονότι, μὴ κοινωνοῦντος αὐτοῖς τινὸς εἰς τὴν τῶν λαφύρων διανομήν. 10. Ἀληπτότεροι] ἀκατηγορητότεροι. οἱ γὰρ εὐέλωτοι φόβῳ τῶν

λοῦντος b. παρακαλοῦντας margo i. cum Tusano.

2. τινα A.B.C.F.G.H.N.a.c.h. vulgo τινας.

4. μάλιστα δὲ τοὺς g.h.

5. καὶ τοῦτο C.I.L.O.Q.c.

Τὸ εὐπρεπὲς ἄσπονδον] Camerarius post adnotatam varietatem scripturæ addit: Explicator legisse videtur, ἄσπονδον, οὐχ ἵνα μὴ ξυναδικῶσιν ἑτέροις, προβέβληται. Dukr.

ἄσπονδοι G.

6. ξυναδικήσωσιν A.B.F.H.L.a. c.f.g. ceteri ξυναδικῶσιν.

ἑτέρους a.

7. Καταμόνας] Lex. Seg. p. 101, 11. Καταμόνας, ἀντὶ τοῦ ἰδίᾳ. Θουκυδίδης α'. Ξενοφῶν ἀπομνημονεύματων γ'. (3, 7.) Gottl.

κρατηθῶσι C.F.G.I.L.O.c.

8. βιάζονται B.F.H.

ἔχουσιν B.F.H.

9. προλάβωσιν C.G.

ἀναισχυντοῦσιν B.C.F.H.h.

10. ὅσῳ a.

" λας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν, δι-
" δοῦσι καὶ δεχομένοις τὰ δίκαια, δεικνύναι. * ἀλλ' 38.
" οὔτε πρὸς τοὺς ἄλλους οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσὶν, ἄποι-
" κοι δὲ ὄντες ἀφεστᾶσί τε διὰ παντὸς καὶ νῦν πολε-
" μοῦσι, λέγοντες ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκ-
" πεμφθείησαν. ἡμεῖς δὲ οὐδ' αὐτοί φαμεν ἐπὶ τῷ ὑπὸ
" τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες
" τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι. αἱ γοῦν ἄλλαι
" ἀποικίαι τιμῶσιν ἡμᾶς, καὶ μάλιστα ὑπὸ ἀποίκων
" στεργόμεθα· καὶ δῆλον ὅτι εἰ τοῖς πλέοσιν ἀρέσκοντές
" ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν, οὐδ'
" ἐπιστρατεύομεν ἐκπρεπῶς, μὴ καὶ διαφερόντως τι ἀδι-
" κούμενοι. καλὸν δ' ἦν, εἰ καὶ ἡμαρτάνομεν, τοῖσδε μὲν
" εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ, ἡμῖν δὲ αἰσχρὸν βιάσασθαι τὴν
" τούτων μετριότητα· ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου
" πολλὰ ἐς ἡμᾶς ἄλλα τε ἡμαρτήκασι, καὶ Ἐπίδαμνον
" ἡμετέραν οὖσαν κακουμένην μὲν οὐ προσεποιοῦντο, ἐλ-
" θόντων δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ ἑλόντες βίᾳ ἔχουσι. * καὶ 39.
" φασὶ δὴ δίκῃ πρότερον ἐθελῆσαι κρίνεσθαι, ἤν γε οὐ

πέλας κολακεύειν ἀναγκάζονται τοὺς ἀδικοῦντας. 1. Τὴν ἀρετὴν] φιλίαν, δύναμιν, συμμαχίαν. Διδοῦσι καὶ δεχομένοις] τὸ ἐξῆς, φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν δεικνύναι διδοῦσι καὶ δεχομένοις τὰ δίκαια. 4. Διαπαντὸς] τὸ διαπαντὸς, ἵνα μή τις εἴπῃ ὅτι νῦν ἀδικηθέντες. 5. Ἐκπεμφθείησαν] ὑφ' ἡμῶν δηλονότι. 12. Διαφερόντως] ἐξαιρέτως. 13. Εἰ καὶ ἡμαρτάνομεν] εἰ γὰρ μὴ ἠδικούμεθα περιφανῶς, οὐκ ἂν προδήλως ἐστρατεύομεν. ὅμως εἰ καὶ ἡμαρτάνομεν, ἐπαινετὸν ἦν ἐνδοῦναι ἡμῖν ὀργιζομένοις. 15. Μετριότητα] ἀνεξικακίαν, ἐπιείκειαν. 19. Πρότερον] πρὸ τοῦ λαβεῖν αὐτήν. Ἦν

1. τοσοῦτον a.
2. δεχομένοις] λαμβάνουσι f.
τὰ δίκαια] om. a.
3. πρὸς] om. d.
ἐς] πρὸς a.e. om. L.O.
5. ἐπὶ τὸ i.
7. κατοικῆσαι C.
10. ὅτι] om. a.
τοῖς] om. d.
πλείοσιν a.d. πλέουσιν c.
12. ἐπιστρατεύομεν A.B.C.F.H. I.c.e.f.g.h. vulgo ἐπιστρατεύοιμεν.
ἐκπρεπῶς A.B.C.F.G.H.N.P.Q. a.d.e.f.g.h.i. vulgo εὐπρεπῶς quod om. Schneiderus Lex. in v.
διαφερόντως] ἐκπρεπῶς Schneid.
13 δ' αὖ ἦν a.c.
16. ἄλλα] post τε ponit a.

" τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον
" λέγειν τι δοκεῖν δεῖ, ἀλλὰ τὸν ἐς ἴσον τά τε ἔργα
" ὁμοίως καὶ τοὺς λόγους, πρὶν διαγωνίζεσθαι, καθι-
" στάντα. οὗτοι δ' οὐ πρὶν πολιορκεῖν τὸ χωρίον, ἀλλ'
" ἐπειδὴ ἡγήσαντο ἡμᾶς οὐ περιόψεσθαι, τότε καὶ τὸ
" εὐπρεπὲς τῆς δίκης παρέσχοντο. καὶ δεῦρο ἥκουσιν οὐ
" τἀκεῖ μόνον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν
" ἀξιοῦντες οὐ ξυμμαχεῖν ἀλλὰ ξυναδικεῖν καὶ διαφό-
" ρους ὄντας ἡμῖν δέχεσθαι σφᾶς. οὓς χρῆν, ὅτε ἀσφα-
" λέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν
" ἠδικήμεθα, οὗτοι δὲ κινδυνεύουσι, μηδ' ἐν ᾧ ὑμεῖς τῆς
" τε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες τῆς ὠφελίας
" νῦν μεταδώσετε, καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι

γε οὐ] λείπει ἡ εἰς, εἰς ἦν. ὁ νοῦς οὕτως· οὐ δεῖ τὸν ἐν ἀσφαλείᾳ ὄντα καὶ προβαλλόμενον δίκην δοκεῖν λέγειν τι. Μετέθηκε τὸν χρόνον ὁ Κορίνθιος. μετὰ γὰρ τὸ λαβεῖν, φησὶ, τὸ χωρίον, καὶ κατασχεῖν, ἠξίουν δικάζεσθαι οἱ Κερκυραῖοι. καὶ οὐ δεῖ, φησὶ, προσέχειν τὸν ἐκ τοῦ ἀσφαλοῦς καὶ ἰσχυροῦ προκαλούμενον εἰς κρίσιν, οὐδὲ δοκεῖν ὅτι λέγει τι, ἀλλὰ καταίφρονεῖν. 4. Ἀλλ' ἐπειδὴ] ἀλλὰ μετὰ τὴν τῶν νεῶν ἔκπεμψιν. 5. Τὸ εὐπρεπὲς τῆς δίκης] τὴν δόκησιν τῆς δίκης, οὐχὶ τὴν ἀλήθειαν· ἠδίκουν γὰρ κατὰ ἀλήθειαν τὰ ἐν Ἐπιδάμνῳ. 6. Οὐ τἀκεῖ μόνον αὐτοὶ ἁμαρτόντες] οὐκ ἀδικήσαντες αὐτοὶ μόνον εἰς τὰ κατὰ τὴν Ἐπίδαμνον. 10. Ἐν ᾧ] λείπει τὸ ἐν ἐκείνῳ τῷ καιρῷ. 11. Μηδ' ἐν ᾧ ὑμεῖς] τὸ ἑξῆς, μήτε μεταδώσετε αὐτοῖς τῆς ὠφελείας ὑμεῖς, τότε τῆς δυνάμεως αὐτῶν οὐ μεταλαβόντες. λέγει τὸν κατὰ

2. τι] τὸ L.O.P.
δεῖ] om. C. ante δοκεῖν ponunt Q.f.
Post δεῖ quod vulgo legitur τηρεῖν, omittunt A.B.F.H.N.a.f. g. et pr. C. habet ex ultima illius δοκεῖν littera effectum recens C.
τε] recepi ex A.B.F.H.M.N. f.g.h.
3. διαγωνίσασθαι d.
7. ἁμαρτάνοντες I.
ἡμᾶς c.
9. ἐχρῆν K.N. χρὴ d.
10. ἡμεῖς μὲν] μὲν ἡμεῖς d.
12. ὠφελίας A. ceteri ὠφελείας. Sic ὠφελία 2, 65. A.B. 3, 95. A. E.F.H. 6, 93. c.g. 7, 69. D.g. ὠφελίας 2, 61. A.B. 3, 82. A.B. E.h. 6, 80. A.E.F.H.K.c.h. 6, 92. c. ὠφελίᾳ 5, 38. et 5, 90. K. 6, 17. A.E.F.H.h. ὠφελίαν 2, 7. A. 2, 43. A. B. 3, 13. E. 3, 43. A.B.E.O.h. 6, 16. E.F. 6, 73. A.B.E.F.H.K.c. 6, 80. A.B.E. c.h. 6, 88. B.E.F.H.K.c.h. 7, 5. D.g.
13. ἄπο γενόμενοι H.L.M.

" τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον ἔξετε, πάλαι δὲ κοινώ-
" σαντας τὴν δύναμιν κοινὰ καὶ τὰ ἀποβαίνοντα ἔχειν.
" * ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων ἐγκλημάτων 40.
" ἐρχόμεθα, καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσὶ, δεδή-
" λωται· ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε, μαθεῖν
" χρή. εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ'
" ὁποτέρους τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν,
" οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστὶν, ἀλλ'
" ὅστις μὴ ἄλλου αὐτὸν ἀποστερῶν ἀσφαλείας δεῖται,
" καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον
" ἀντ' εἰρήνης ποιήσει· ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν
" πάθοιτε ἄν. οὐ γὰρ τοῖσδε μόνον ἐπίκουροι ἂν γένοισθε,
" ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων πολέμιοι· ἀνάγκη γὰρ,
" εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τού-
" τους. καίτοι δίκαιοί γ' ἐστὲ μάλιστα μὲν ἐκποδὼν
" στῆναι ἀμφοτέροις, εἰ δὲ μή, τοὐναντίον ἐπὶ τούτους
" μεθ' ἡμῶν ἴεναι (Κορινθίοις μέν γε ἔνσπονδοί ἐστε,

Σαμίων καὶ Αἰγινητῶν πόλεμον. 1. Τὸ ἴσον] τῶν τῆς Ἐπιδάμνου. κατὰ κοινοῦ τὸ ἐν ᾧ. αἰτιασόμεθα γάρ, φησὶ, τοὺς συμμαχήσαντας τοῖς Κερκυραίοις ὡς ἐχθρούς. καὶ ὑμεῖς δὲ τὸ ἴσον αὐτοῖς ἔξετε αἴτιον, καὶ πολέμιοι κληθήσεσθε. 14. Μὴ ἄνευ ὑμῶν τούτους] τοὺς Κερκυραίους. τουτέστι κολα-

1. τῆς τε ἀφ' a.
κοινωνήσαντας A.B.K.a.g. cum Tusano.
2. ὑποβαίνοντα G.
Post ἔχειν quæ vulgo leguntur, ἐγκλημάτων δὲ μόνων (μόνον M.O.) ἀμετόχους (ἀμετόχως K.M.O.b.c. d.e.i.) οὕτω τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν, omisi cum A. B.F.H.N.a.f.g.h. et, qui ἐγκλημάτων servat, C.
3. μετὰ τῶν προσηκόντων c.
ἐγκλημάτων A.B.F.H.N.c.f.g. om. C. τοῦ δικαίου κεφαλαίων ἐς ὑμᾶς G.K.L.O.P.f.g.i. vulgo τῶν τοῦ δ. κ. ἐς (πρὸς I.P.a.e) ὑμᾶς.
5. χρὴ μαθεῖν I.H.a.
7. τίς βούλεται τῶν ἀ. π. ἰ. C. G.I.K.L.O.P.Q.d.e. ipsum βούλεται om. a.
9. ἄλλου A.B.F.H.N.a. ἄλλους Q. ἄλλου vel ἄλλους, non enim liquet, C. vulgo ἄλλων.
αὐτὸν ἀποστ. A.B.f.g.h. ἀποστ. ἑαυτὸν F.H.a. ἑαυτὸν ἀποστ. ceteri.
11. μὴ] om. a.
12. πάθητε A.
14. εἰ ἴτε] εἴητε P. εἴτε B.
15. γ'] om.C.K.L.O.P.d.e.g.i.
ἐκποδὼν A.
17. γε] γὰρ a.

" Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτ' ἐγένεσθε),
" καὶ τὸν νόμον μὴ καθιστάναι ὥστε τοὺς ἑτέρων ἀφι-
" σταμένους δέχεσθαι. οὐδὲ γὰρ ἡμεῖς Σαμίων ἀπο-
" στάντων ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων
" Πελοποννησίων δίχα ἐψηφισμένων, εἰ χρὴ αὐτοῖς ἀμύ- 5
" νειν· φανερῶς δὲ ἀντείπομεν τοὺς προσήκοντας ξυμ-
" μάχους αὐτόν τινα κολάζειν. εἰ γὰρ τοὺς κακόν τι
" δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν
" ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ'
" ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε. 10

σθήσεσθε καὶ ὑμεῖς μετ' αὐτῶν. 1. Δι' ἀνακωχῆς] ἀνακωχή ἐστιν εἰρήνη πρόσκαιρος, πόλεμον ὠδίνουσα, οἷον ἡ μικρὰ τοῦ πολέμου ἀνάβλησις, παρὰ τὸ ἄνω ἔχειν τὰς ἀκωκὰς τῶν δοράτων. 2. Καὶ τὸν νόμον] ἀπὸ κοινοῦ, δίκαιοί ἐστε. τὸ δὲ τὸν ἄρθρον περισσόν. πολλοί, φησὶν, εἰσὶ φόρου ὑποτελεῖς παρ' ὑμῖν, οἵτινες πολλάκις μελετῶσιν ἀποστασιν· καὶ εἰ δέξεσθε Κερκυραίους τούσδε, καὶ κοινὸν τοῦτον ποιήσετε νόμον, ὁρᾶτε μὴ ἑαυτοὺς λανθάνητε βλάπτοντες. φοβεῖ δὲ αὐτοὺς, τὸ δέξασθαι νόμον καλῶν. 5. Δίχα ἐψηφισμένων] διισταζόντων, φησὶν, αὐτῶν ἡμεῖς φανερῶς ἀντείπομεν. Ἀμύνειν] ἀμύνειν βοηθεῖν, ἀμύνεσθαι δὲ κολάζειν. 7. Εἰ γὰρ] τὸ γὰρ ἀντὶ τοῦ δέ. 8. Φανεῖται] ἀντὶ τοῦ μέλλει φανῆναι. 9. Οὐκ ἐλάσσω ἡμῖν] αἰνίττεται Ποτίδαιαν. 10. Ἐφ' ὑμῖν] ἀντὶ τοῦ καθ' ὑμῶν.

1. Δι' ἀνακωχῆς] Ἀνακωχὴ vox glossematica et obscura, cujus ob usum Thucydidem reprehendit Dionys. Halicarn. in libello περὶ τῶν τοῦ Θουκυδίδου ἰδιωμάτων. Hudson. Locus est pag. 133. Sed fortassis hic quoque, ut alibi, quemadmodum adnotarunt Viri docti, κριτικώτερος, quam par erat, fuit Dionysius. Nam quomodo ætate Thucydidis obsoletum et obscurum potuit esse nomen ἀνακωχὴ, quum Herodotus, paullo ante eum, et non multo post, Sophocles, usi fuerint verbo ἀνακωχεύειν? Quin et ipse Dionysius suo se gladio jugulat, Antiq. 3, 16. scribens ἀνακωχὰς δεχημέρους ποιησαμένος. Posset quidem videri non adeo sui oblitus fuisse, ut voce a se damnata uti voluerit, atque ideo hic præferendum, quod est in Cod. Vatic. ἀνοχάς. Sed hoc firmius esset, nisi etiam alibi usurpasset, quæ in Thucydide reprehendit, quorum nonnulla observarunt Sylburgius ad l. d. περὶ τῶν τοῦ Θουκ. ἰδιωμ. et H. Steph. Annotat. in Dionys. Halicarn. c. 16. Scholiastæ interpretationem descripsit Suidas in ἀνακωχή. Add. Ammon. h. v. ubi pro ἀνοχὴ μακρὰ πολέμου, e Schol. Thuc. Th. Mag. et Suida, scribendum est μικρά. Duk.

πω] om. K.d.i.

3. ἀπος. ὑμῶν ψ. a.

4. ἄλλων δὲ πελ. d.

5. Ἀμύνειν] Hic quoque Scholiasten descripsit Suidas in ἀμύνασθαι. Duk.

8. φανεῖτε I.

*" Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν ἱκανὰ 41.
" κατὰ τοὺς Ἑλλήνων νόμους, παραίνεσιν δὲ καὶ ἀξίω-
" σιν χάριτος τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες, ὥστε βλά-
" πτειν, οὐδ' αὖ φίλοι, ὥστ' ἐπιχρῆσθαι, ἀντιδοθῆναι
" ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι. νεῶν γὰρ μακρῶν
" σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδι-
" κὰ πόλεμον παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ
" ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς
" Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν
" Αἰγινητῶν μὲν ἐπικράτησιν, Σαμίων δὲ κόλασιν, καὶ
" ἐν καιροῖς τοιούτοις ἐγένετο οἷς μάλιστα ἄνθρωποι ἐπ'
" ἐχθροὺς τοὺς σφετέρους ἴοντες τῶν πάντων ἀπερίοπτοί
" εἰσι παρὰ τὸ νικᾶν. φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουρ-
" γοῦντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀν-
" τιστάντα, ἢν καὶ τύχῃ φίλος ὢν, ἐπεὶ καὶ τὰ οἰκεῖα
" χεῖρον τίθενται φιλονεικίας ἕνεκα τῆς αὐτίκα. * ὧν 42.
" ἐνθυμηθέντες, καὶ νεώτερός τις παρὰ πρεσβυτέρου αὐτὰ

2. Παραίνεσιν δὲ καὶ ἀξίωσιν] τὸ παραινεῖν καὶ ἀξιοῦν, ῥήματα ὄντα, ὑποπτικῶς προήνεγκεν. 3. Ἣν] ἣν χάριν ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι. Οὐκ ἐχθροὶ ὄντες] οἱ γὰρ τοῖς ἐχθροῖς συγκρατοῦντες βλάπτονται μᾶλλον. 4. Ἐπιχρῆσθαι] τὸ πολλάκις χρῆσθαι. 6. Τὸν Αἰγινητῶν—πόλεμον] τὸν περὶ τῶν ἀγαλμάτων. 12. Τῶν ἀπάντων] τῶν προλαβόντων ἁπάντων πρὸς ἔχθραν ἢ φιλίαν μεσολαβημάτων. Ἀπερίοπτοι] ἀπροόρατοι, ἢ ἀπρονόητοι, ἢ ἀνεπίστροφοι. 13. Παρὰ τὸ νικᾶν] ἥγουν διὰ τὴν νίκην. 15. Ἐπεὶ καὶ τὰ οἰκεῖα] ἀντὶ τοῦ, καὶ γὰρ τὰ οἰκεῖα. 16. Ὧν] τῶν προειρημένων εὐεργεσιῶν.

1. ἱκανὰ] om. Dionysius de Thucyd. p. 795.
2. τοὺς τῶν ἑλλ. N.
6. περὶ C.
τὸν] τῶν A.C.e.
8. ἢ] om. P.
12. πάντων A.B.F.H.N.f.g.h. vulgo ἁπάντων.
Ἀπερίοπτοι e Thucyd. laudat Poll. II. 58. Imitatus est hunc locum Thucydidis Dion. Halic. 2, 11. Καὶ οὐδενὸς τῶν ἀνηκέστων ἀνεχόμενοι παρὰ τὸ νικᾶν. Vid. Henr. Steph. ad Dionys. cap. 16. et in Annot. ad illum locum p. 10. DUK.
13. περὶ i.
14. ᾖ] ἦν c.e.
15. τύχοι c.
16. τίθεται g.
17. αὐτὰ παρὰ πρεσβ. L.O.P.

" μαθὼν, ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι, καὶ μὴ
" νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι, ξύμφορα δὲ, εἰ πο-
" λεμήσει, ἄλλα εἶναι. τό τε γὰρ ξυμφέρον, ἐν ᾧ ἄν τις
" ἐλάχιστα ἁμαρτάνῃ, μάλιστα ἔπεται· καὶ τὸ μέλλον
" τοῦ πολέμου, ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι κελεύουσιν
" ἀδικεῖν, ἐν ἀφανεῖ ἔτι κεῖται, καὶ οὐκ ἄξιον ἐπαρθέν-
" τας αὐτῷ φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν πρὸς
" Κορινθίους κτήσασθαι, τῆς δὲ ὑπαρχούσης πρότερον διὰ
" Μεγαρέας ὑποψίας σῶφρον ὠφελεῖν μᾶλλον· ἡ γὰρ
" τελευταία χάρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύνα-
" ται μεῖζον ἔγκλημα λῦσαι. μηδ' ὅτι ναυτικοῦ ξυμ-
" μαχίαν μεγάλην διδόασι, τούτῳ ἐφέλκεσθε· τὸ γὰρ
" μὴ ἀδικεῖν τοὺς ὁμοίους ἐχυρωτέρα δύναμις, ἢ τῷ αὐ-
" τίκα φανερῷ ἐπαρθέντας διὰ κινδύνων τὸ πλέον ἔχειν.
43. " * ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν τῇ Λακεδαίμονι αὐ-

1. Ἀμύνεσθαι] ἀντὶ τοῦ ἀμύνειν καὶ βοηθεῖν· ἀντὶ γὰρ τοῦ ἐνεργητικοῦ τὸ ἀμύνεσθαι παρείληπται. Ἀμύνεσθαι ἀντὶ τοῦ ἀμείβεσθαι. μόνων δὲ Θουκυδίδης ἐνταῦθα κέχρηται τῇ ἐναλλαγῇ τῆς λέξεως, ὡς καί τινας ἐναλλάττειν τὴν γραφὴν, καὶ γράφειν ἀμείβεσθαι. οὐκ ἔστι δέ. 4. Τὸ μέλλον τοῦ πολέμου] ἀντὶ τοῦ ὁ μέλλων πόλεμος. 5. Κελεύουσιν] τὸ κελεύω οὐκ ἐπὶ μειζόνων μόνον λέγεται. 9. Ὑποψίας] ὑποψίαν εἶπε τὴν μάχην, εὐφήμως. ἐρεῖ δὲ ταύτην ἐν τῇ πεντηκονταετηρίδι. Ἡ γὰρ τελευταία] ἡ μετὰ τὴν ἔχθραν φιλία εὐκαίρως γενομένη, καὶ τὰ ἑξῆς. 13. Τῷ αὐτίκα] τῷ πρὸς ὀλίγον. Τῷ αὐτίκα φανερῷ] τῇ δυνάμει τῶν Κερκυραίων. ἡ γὰρ ἐκ θεῶν βοήθεια κρυπτὴ καὶ ἀφανής. 15. Ἡμεῖς δὲ] οἱ ἐπίλογοι ἐντεῦθεν. Περι-

1. ἀμύνασθαι b. ἀμείβεσθαι L. O.P.Q.f.
Ἀμύνεσθαι] Ita legit Eustath. II. 546. c. et ἀμείβεσθαι reddit, κολάζειν vero Suidas in ἀμύνασθαι. Wass. Suidæ interpretatio est e Scholiaste ad vers. 5. pag. 66. nec ad hunc locum refertur. Potius huc pertinet, quod est in princ. ejusdem articuli apud Suidam: Ἀμύνασθαι. Θουκυδίδης μὲν ἀντὶ τοῦ ἀμείβεσθαι. Vid. hic Schol. qui recte censet, ἀμείβεσθαι, quod nonnulli MSS. habent, ex interpretatione esse. Duk.
2. νομίσοι c.
ταῦτα g.
3. τὸ αὐτὸ παρ' ὑμ. c.
4. ἁμαρτάνῃ A.C.F.H.I.K.N. e.i. B. hocne habeat an vulgatum ἁμαρτάνοι, non liquet.
5. οἱ κερκ. K.
13. Ἰσχυροτέρα G.
τὸ I.
14. φανερῶς P.Q.
15. τῇ] om. L.O.

" τοὶ προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα
" κολάζειν, ὧν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι,
" καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας τῇ ὑμετέρᾳ
" ἡμᾶς βλάψαι. τὸ δ' ἴσον ἀνταπόδοτε, γνόντες τοῦτον
" ἐκεῖνον εἶναι τὸν καιρὸν, ἐν ᾧ ὅ τε ὑπουργῶν φίλος μά-
" λιστα, καὶ ὁ ἀντιστὰς ἐχθρός. καὶ Κερκυραίους τούσδε
" μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν, μήτε ἀμύνετε αὐ-
" τοῖς ἀδικοῦσι. καὶ τάδε ποιοῦντες τὰ προσήκοντά τε
" δράσετε, καὶ τὰ ἄριστα βουλεύσεσθε ὑμῖν αὐτοῖς."
Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

44. Athenienses prima eccclesia Corinthiis obtemperant, altera Cor-

* Ἀθηναῖοι δὲ ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δὶς ἐκκλησίας, τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν Κορινθίων ἀπεδέξαντο τοὺς λόγους, ἐν δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι, ὥστε τοὺς

πεπτωκότες] ἐκ τύχης τινός. φοβεῖ δε διὰ τούτου τοὺς Ἀθηναίους, ὅτι τὸ τῆς τύχης ἄδηλον, καὶ ὅτι μὴ καὶ αὐτοὶ πεφεύξεσθε. Οἷς ἐν τῇ Λακεδαίμονι] οἷα ἐν τῇ Λακεδαίμονι εἴπομεν. ποῖα εἴπομεν; τὸ τοὺς σφετέρους ξυμμάχους, καὶ τὰ ἑξῆς. τοῦτο καὶ παρ' ὑμῶν ἀξιοῦμεν. 6. Τούσδε] ἐμφαντικὸν τὸ τούσδε, οἷον τοὺς ἀδικοῦντας. 11. Ἀκούσαντες ἀμφοτέρων] Μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. 13. Μετέγνωσαν] μετεβουλεύσαντο.

1. αὐτῶν F.
τινα κολ.] κολ. τινα C.G.K.L. O.P.Q.d.e.
3. μὴ] om. H.
4. τοῦτον εἶναι τὸν καιρὸν ἐκεῖνον f. τοῦτον ἐκεῖνον εἶναι καιρὸν h.
6. καὶ] om. Q.e.
τε post κερκ. omisi cum A.B. e.f.g.h. δὲ F.H.K.Q.
τούτους g.
7. δέχεσθε A.B.C.F.H. δέχοισθε e. vulgo δέχησθε.
ἀμύνετε A.C.F. ἀμύνοιτε e. vulgo ἀμύνητε.
8. τε om. g.
9. βουλεύσεσθε B.
ἐν ὑμῖν I.K.L.M.O.b.
13. ὑστέρᾳ f.
μετέγνωσαν μὲν κερκ. Q.
14. συμμαχίαν μὲν F. μὲν ξυμμαχίαν P.
μὴ] om. e.g.h.
Ξυμμαχίαν] Ammonius in συμμαχεῖν· συμμαχίαν μὲν οὐ ποιήσασθαι, quod rotundius; sed aliter libri. Wass. Ostendit ibi Ammonius discrimen inter συμμαχεῖν et ἐπιμαχεῖν· sed corruptum est, quod editur, ἐπ' αὐτοῖς ἐπίοιεν πολέμιοι, εἶθ' ἕτεροι ἐπιστρατεύοιεν. Forte, εἶθ' ἑτέροις ἐπιστρατεύοιεν αὐτοί. Suidas in συμμαχία Scholiasten exscripsit; sed prò μόνον perperam habet μόνῳ. Duk. Andr.

cyreis ita opem decernunt, si quis Corcyram aggrediatur.

αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν (εἰ γὰρ ἐπὶ Κόρινθον ἐκέλευον σφίσιν οἱ Κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς Πελοποννησίους σπονδαί), ἐπιμαχίαν δὲ ἐποιήσαντο, τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ Κέρκυραν ἴῃ ἢ Ἀθήνας ἢ τοὺς τούτων ξυμμάχους. ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος καὶ ὡς ἔσεσθαι αὐτοῖς, καὶ τὴν Κέρκυραν ἐβούλοντο μὴ προέσθαι Κορινθίοις ναυτικὸν ἔχουσαν τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἢν τι δέῃ, Κορινθίοις τε καὶ τοῖς ἄλλοις ναυτικὸν ἔχουσιν ἐς πόλεμον καθιστῶνται. ἅμα δὲ τῆς τε Ἰταλίας καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι. * τοιαύτῃ μὲν γνώμῃ οἱ Ἀθηναῖοι τοὺς Κερκυραίους προσεδέξαντο, καὶ τῶν Κορινθίων ἀπελθόντων οὐ πολὺ ὕστερον δέκα ναῦς αὐτοῖς

45. Itaque navibus decem Corcyram missis man-

τὸ ἐξῆς, συμμαχίαν μὲν μὴ ποιήσασθαι μετέγνωσαν, ἐπιμαχίαν δ' ἐποιήσαντο. διαφέρει δὲ συμμαχία ἐπιμαχίας· ἐπιμαχία μέν, ὅταν ἀλλήλοις παρέχωσι δυνάμεις ἑκάτεροι, συμμαχία δ', ὅταν μόνοι Ἀθηναῖοι δῶσι Κερκυραίοις βοήθειαν. 1. Εἰ γάρ] αἰτία δὲ ἦν ξυμμαχίαν οὐκ ἐποιήσαν. 3. Ἐπιμαχίαν δὲ ἐποιήσαντο] αὐτὸς δηλοῖ, τί ἐστι συμμαχία καὶ ἐπιμαχία. ἔστι δὲ συμμαχία, ὅταν τις τὸν αὐτὸν ἔχῃ τῷ συμμαχουμένῳ ἐχθρὸν καὶ φίλον· ἐπιμαχία δὲ, ὅταν τὸν μόνον τῷ συμμαχουμένῳ ἀδικουμένῳ βοηθῇ, οὐ μέντοι καὶ ἀδικοῦντι συμπράττῃ. ἐπιμαχίαν οὖν νῦν βούλονται ποιῆσαι οἱ Ἀθηναῖοι. 5. Τοὺς τούτων ξυμμάχους] Εἶχον γὰρ οἱ Κερκυραῖοι ξυμμάχους τοὺς Ἐπιδαμνίους καὶ Ζακυνθίους. 10. Τοῖς ἄλλοις] Πελοποννησίοις δηλονότι. 12. Ἐν παράπλῳ κεῖσθαι] τοῖς παραπλέ-

Dounæus (Præl. ad Demosthen. Or. de Pace p. 135.) sede duarum vocum immutata legendum censet Κερκυραίοις ἐπιμαχίαν μὲν μὴ ποιήσασθαι—συμμαχίαν δ' ἐποιήσαντο. Quæso te, rationes expende: nam me profecto pene perpulerunt, ut ad istam sententiam accederem. Hemsterhus.

4. τῇ] τῷ G.

Τῇ ἀλλήλων] Deest χώρᾳ, γῇ, vel simile quiddam: nam mox dicit ἐπὶ Κέρκυραν, ἢ Ἀθήνας. Dionys. Halic. III. 34. ἐμβαλόντες εἰς τὴν ἀλλήλων γῆν. Thucyd. infr. c. 50. δείσαντες, μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἐσβαίνειν. Scriptor anonymus apud Suidam in ἐπιμαχεῖν· φιλίαν σφίσιν ἕνεκα ποιεῖν εἶναι, ἐπὶ τῷ τῇ ἀλλήλων ἐπιμαχεῖν. Dukr.

7. τοῖς ante Κορ. omisi cum A. B.F.H.N.c.e.g.b.

9. δέοι K.

10. τοῖς ἄλλοις] Malim iterato articulo τοῖς ἄλλοις τοῖς.

ἀπέστειλαν βοηθούς· ἐστρατήγει δὲ αὐτῶν Λακεδαιμόνιός τε ὁ Κίμωνος καὶ Δίοτιμος ὁ Στρομβίχου καὶ Πρωτέας ὁ Ἐπικλέους. προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι καὶ μέλλωσιν ἀποβαίνειν, ἢ ἐς τῶν ἐκείνων τι χωρίων· οὕτω δὲ κωλύειν κατὰ δύναμιν. προεῖπον δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς. αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν.

dant, ne Corinthios invadant, nisi impetum in Corcyram facientes.

* Οἱ δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν ναυσὶ πεντήκοντα καὶ ἑκατόν. ἦσαν δὲ Ἠλείων μὲν δέκα, Μεγαρέων δὲ δώδεκα καὶ Λευκαδίων δέκα, Ἀμπρακιωτῶν δὲ ἑπτὰ καὶ εἴκοσι καὶ Ἀνακτορίων μία, αὐτῶν δὲ Κορινθίων ἐνενήκοντα· στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, Κορινθίων δὲ Ξενοκλείδης ὁ Εὐθυκλέους πέμπτος αὐτός. ἐπειδὴ δὲ προσέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ ἀπὸ Λευκάδος πλέοντες, ὁρμίζονται ἐς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. ἔστι δὲ λιμὴν, καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἀπὸ θαλάσσης,

46. Corinthii naves CL. emittunt, XC. suas, ceteras sociorum. Eæ ad Chimerium, Thesprotidis promontorium, appellunt.

ουσιν Ἰταλίαν καὶ Σικελίαν, ἔχειν τὴν Κέρκυραν. 1. Βοηθούς] οὐκ εἶπε συμμάχους. Λακεδαιμόνιος] ὄνομα κύριον. 5. Ἐκείνων τι χωρίων] αἰνίττεται Ἐπίδαμνον. 8. Παρεσκεύαστο] τὰ τῆς μάχης. 14. Πέμπτος αὐτός] ἀντὶ τοῦ μετ' ἄλλων τεσσάρων. αὐτὸς δὲ ἀντὶ τοῦ πρῶτος· ὡς γὰρ τῶν ἄλλων μὴ ὄντων ἐπισήμων τῇ τοῦ ἑνὸς ἠρκέσθη ὀνομασίᾳ. ἢ ὅτι αὐτῷ ἠκολούθουν οἱ ἄλλοι, ὡς

2. κίμωνος A.C.F.H.K.L.N. O.f.g: vulgo κίμμωνος.
στρομμίχου g.h: στρομβίλου c.
4. μέλλουσιν A.B.h.
5. χωρίων A.B.C.F.H.f.g.h: vulgo χωρίων.
6. λύειν] κωλύειν L.
7. τὴν om. K.
9. δὲ] μὲν d.i.
10. δὲ] om. B.
11. ἀνακτόριον K.d.
12. ἐνενήκοντα A.B.C.F.H.f.g. h. et infra 8, 44. A.B.F.H.d.e.g. i. vulgo ἐννενήκοντα. Sic ἐνακοσίων 5, 12 H.K; ἐνενηκοστῷ 3, 68. A.B.E.H.c.g.h.i; ἔνατον 4, 133 A.F.H (ἔνατον B.) et 4, 135 A.F.H.h. (cum aspero iterum B); ἐνάτῳ 1, 117 A.B.F.H.h.i; ἐναταῖοι 2, 49 A.C.F.H.K.L.O. b.c.i.
13. καὶ] om. h. i.
14. ἐπεὶ L.O.
συνέμιξαν g.
16. Ἐς Χειμέριον] Totum h. l. ante oculos habuit Strabo, 7, 499. qui ἄκραν Χειμέριον vocat, ut Noster. GOTTL.
17. ὑπὲρ] ἐπ' L.O.P.Q.
αὐτῶν c.

ἐν τῇ Ἐλαιάτιδι τῆς Θεσπρωτίδος, Ἐφύρη. ἔχεισι δὲ παρ' αὐτὴν Ἀχερουσία λίμνη ἐς θάλασσαν· διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτήν, ἀφ'

μειζόν τι καὶ σοφώτερον βουλεύεσθαι δυναμένῳ. 1. Θεσπρωτίδος Ἐφύρη] ἔστι γὰρ καὶ ἄλλη Ἐφύρη, ἡ Κόρινθος. ὡς εἶναι τὴν Ἐλαιᾶτιν μέρος χώρας

1. ἐλεάτιδι c.f: ἐλαιάτιδι d.i: ἐλειάτιδι K.

Ἐν τῇ Ἐλαιάτιδι] Aut pars agri Thesprotici Ἐλαιάτις vocabatur [forsan, ut conjicit Palmerius, a portu Ἔλαιας, quem memorat Ptolemæus] cujus tamen rei nullum auctorem habeo: aut Ἐλειάτιδι scribendum, et significabit Ephyram in palustri loco sitam, ut distinguatur a cæteris, quæ eodem nomine vocabantur. *F. Port.* Ἐλαιούντιδι pro Ἐλαιάτιδι rescribendum censeo; ita enim illa regio appellabatur, ob Elæunte oppido, quod in confiniis Thesprotiæ situm erat. *Berkelius.* Vide Palmerii Græc. Antiq. p. 281. etc. et p. 292. Huds.

Ἐφύρη] Deinde, ut Strabo VII. Κίχυρος, pro Ἐλαιάτιδι rescribit Berkelius Ἐλαιούντιδι. V. Holsten. Wass. Holstenius ad Stephan v. Ἐλαία retinet scripturam vulgatam. Ea si recte habet, nihil probabilius est sententia Palmerii, quam etiam sequitur Cellar. Geogr. Ant. 213. p. 1038. ubi vitio operarum puto scribi, in Græcis exemplaribus Thucydidis esse Ἐλεάτιδι. Nam ita legisse Vallam, ut qui verterit, *in palustribus Thesprotibus sita*, suspicatur Portus. H. Stephanus in marg. Edit. secundæ remittit Lectorem ad Annotata sua; nec tamen in his quidquam de hac voce habet. Ἐφύρη cur casu tertio scribi debeat, non video, et utique cum Interpretibus Thucydidis et Palmerio cum πόλις jungendum puto. Nec adsentior Cellario, aliam esse πόλιν, quam memorat Thucydides, aliam Ἐφύρην putanti, ut ex eo patet, quod χειμέριον *portum juxta promontorium esse* scribit; *urbis autem nomen quodnam fuerit, dubitari.* Nam si Ἐφύρη, quod editur, et Cellarius probare videtur, relinquitur, non alius esse potest horum verborum sensus, quam πόλιν illam in Ephyre, urbem scilicet in urbe, sitam esse: quod intelligi non potest. Strabo Lib. VII. p. 327. de Ephyre ita scribit: ὑπέρκειται δὲ τούτου μὲν τοῦ κόλπου Κίχυρος, ἡ πρότερον Ἔφυρα, πόλις Θεσπρωτῶν· quæ a Thucydide sumta esse apertum est, et monuit Palmerius. In Cass. quoque et Græv. est Ἐφύρη· in quo tamen non multum præsidii foret, nisi sententia alteri scripturæ repugnaret. Nam in his ι, quod subscriptum vocant Grammatici, plerumque omittitur. De Acherusio lacu et Acheronte fluvio Palmer. II. Græc. Ant. 5. et 8. Dur.

ἐξίησι C.L.O.P.b.e.

2. Articulum ante θάλασσαν omisi cum A.B.C.F.G.H.N.c.e.f. g.h.

3. ἐς] om. d.

τὴν αὐτὴν b.

οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει. ῥεῖ δὲ καὶ Θύαμις ποταμὸς, ὁρίζων τὴν Θεσπρωτίδα καὶ Κεστρίνην· ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπείρου ἐνταῦθα ὁρμίζονταί τε καὶ στρατόπεδον ἐποιήσαντο. * οἱ δὲ Κερκυραῖοι ὡς ἤσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ ἑκατὸν ναῦς, ὧν ἦρχε Μεικιάδης καὶ Αἰσιμίδης καὶ Εὐρύβατος, ἐστρατοπεδεύσαντο ἐν μιᾷ τῶν νήσων αἳ καλοῦνται Σύβοτα· καὶ αἱ Ἀττικαὶ δέκα παρῆσαν. ἐπὶ δὲ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν, καὶ Ζακυνθίων χίλιοι ὁπλῖται βεβοηθηκότες. ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες· οἱ γὰρ ταύτῃ ἠπειρῶται ἀεί ποτε αὐτοῖς φίλοι εἰσίν. * ἐπειδὴ δὲ παρεσκεύαστο τοῖς Κορινθίοις, λαβόντες τριῶν ἡμερῶν σιτία ἀνήγοντο ὡς ἐπὶ ναυμαχίαν ἀπὸ τοῦ Χειμερίου νυκτὸς, καὶ ἅμα ἕῳ πλέοντες

47. Corcyræorum apparatus bellici.

48. Utriusque classis acies instructa.

ἐπὶ μείζονα χώραν. 2. Ἐντὸς] πρὸς θάλασσαν, ὡς εἶναι ἰσθμόν. 3. Ἀνέχει] ἀνατείνεται. 4. στρατόπεδον] δύο σημαίνει τὸ στρατόπεδον, τὸν λαὸν τοῦ στρατοῦ, καὶ τὸν τόπον ἐν ᾧ ὁ λαός. ἐτυμώτερον δέ ἐστιν ἐπὶ τοῦ τόπου λέγεσθαι, οἷον τοῦ στρατοῦ πέδον. 5. Προσπλέοντας] ἀπὸ τῆς Λευκίμμης εἰς τὸ Χειμέριον δηλονότι. 8. Σύβοτα] τρεῖς εἰσὶν αὗται αἱ νῆσοι, μικραὶ, σῦς ἔχουσαι πολλάς. 9. Τῇ Λευκίμμῃ] ἀκρωτήριον Κερκύρας ἡ Λευ-

1. Θυάμις] Vid. Strabon. VII. p. 324. Cic. Attic. VII. 11. Athenæum III. 1. Pausan. I. 11. et Ptolemæum. Plinio et Athenæo flumen est Thesprotiæ. Hodie juxta Theuenotum Calama. Est et ejusdem nominis pagus in Gedrosia. De Thuamia agri Phliasii adi Xenophont. Hist. VII. p. 624. Noster Θυάμου ὄρους meminit p. 209. 4. Wass. De Thyami fluv. et Cestrine etiam Palmer. II. Græc. Ant. 4. et 5. Λευκίμμη, de qua Cap. seq. supra quoque Cap. 30. in quibusdam MSS. est Λευκίμμη. Vid. Casaub. ad Strab. VII. 324. Duk.

2. ἡ ἄκρα] om. L.

6. μικιάδης H : μηκιάδης c.

8. Articulum ante ἀττικαὶ om. c.

9. λευκίμμῃ B.F.c.f.g.h.

10. βεβοηκότες b.

11. ἐν τῇ ἠπείρῳ] om. L.O.P.

12. αὐτοῖς φίλοι A.B.F.H.c.f. g.h : vulgo φίλοι αὐτοῖς.

13. δὲ] καὶ P.

14. ὡς] om. N.

ναυμαχίαν A.B.F.H.Q.c.f.g.h : ceteri ναυμαχίᾳ.

15. ἕῳ] ἕσω F.O.P.

καθορῶσι τὰς τῶν Κερκυραίων ναῦς μετεώρους τε καὶ ἐπὶ σφᾶς πλεούσας. ὡς δὲ κατεῖδον ἀλλήλους, ἀντιπαρετάσσοντο, ἐπὶ μὲν τὸ δεξιὸν κέρας Κερκυραίων αἱ Ἀττικαὶ νῆες, τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον, τρία τέλη ποιήσαντες τῶν νεῶν, ὧν ἦρχε τριῶν στρατηγῶν ἑκάστου εἷς. οὕτω μὲν Κερκυραῖοι ἐτάξαντο, Κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας αἱ Μεγαρίδες νῆες εἶχον καὶ αἱ Ἀμπρακιώτιδες, κατὰ δὲ τὸ μέσον οἱ ἄλλοι ξύμμαχοι ὡς ἕκαστοι· εὐώνυμον δὲ κέρας αὐτοὶ οἱ Κορίνθιοι, ταῖς ἄριστα τῶν νεῶν πλεούσαις, κατὰ τοὺς Ἀθηναίους καὶ τὸ δεξιὸν τῶν Κερ-

49. Descriptio naumachiæ, quæ atrox quidem, sed magis pedestri, quam navali proelio similis erat. Dextrum

κυραίων εἶχον. * ξυμμίξαντες δὲ, ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυμάχουν, πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν καταστρωμάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιστὰς, τῷ παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. ἦν τε ἡ ναυμαχία καρτερὰ, τῇ μὲν τέχνῃ οὐχ ὁμοίως, πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς

κίμενη. 1. Μετεώρους] ἀντὶ τοῦ πελαγίους καὶ μὴ ἐπ' ἀγκυρῶν ἱσταμένας, ἀλλ' ἀπεχούσας τῆς γῆς, ὡς ἀπὸ μεταφορᾶς τῶν ἀπεχόντων τῆς γῆς καὶ ἐν ὄρει ὄντων. ἢ παρὰ τὸ ἀφεῖναι τὴν γῆν, καὶ περὶ τὸν ἀέρα λοιπὸν εἶναι. 3. Ἐπὶ μὲν τὸ δεξιόν] τὸ σχῆμα ἔκφρασις. 10. Τοὺς Ἀθηναίους] ἐνόμιζον γὰρ καὶ τοὺς Ἀθηναίους πολεμεῖν. 11. Τὰ σημεῖα] σύμβολά τινα εἶχον περὶ τῶν καιρῶν τῆς μάχης δεικνύμενα. καὶ ὅτε μὲν ἀνετείνετο τὰ σύμβολα, ἤρχοντο τῆς μάχης· ὅτε δὲ κατεσπῶντο, ἐπαίοντο. 13. Καταστρωμάτων] σανιδωμάτων. 14. Τῷ παλαιῷ] τῷ κατὰ τὰ μυθικά. 16. Οὐχ ὁμοίως] τὸ

1. τῶν] om. C.K.L.O.P.Q. d.e.

Νῆας] habebant Suidæ exemplaria, quomodo semper Herodotus, forma Ionica. Noster ναῦς, hic et alibi, atque ita D. Halicarn. p. 242. 20. Thucyd. laudans. Wass.

μετεώρους rec. g.

τε] om. g.

2. ἀντεπαρετάσσοντο C.

6. κορίνθιοι d.

7. alterum αἱ om. C.K.L.O. P.d.e.

10. καὶ] κατὰ I.K.e.i: καὶ κατὰ d.

11. Ἑκατέροις ἤρθη] Laudat Suidas in σημεῖα. Wass. Vid. Lips. 4. de Milit. Rom. Dial. ult. Kusterus ad Suidam non recte adnotat, locum illum e cap. 63. hujus libri esse. Duk.

12. ἔχ. ἀμφ.] ἀμφ. ἔχ. c.

14. τε] om. K.L.O.P.

15. κατεσκευασμένοι L.O: κατασκευασμένοι P.

Κορινθίων, τούς τε ἄλλους τοὺς ἐπὶ Θράκης ξυναποστήσωσι ξυμμάχους. * ταῦτα δὲ πρὸς τοὺς Ποτιδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν· οἵ τε γὰρ Κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν, Περδίκκας τε ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεὺς, ἐπεπολέμωτο, ξύμμαχος πρότερον καὶ φίλος ὤν. ἐπολεμώθη δὲ ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ ἀδελφῷ καὶ Δέρδᾳ, κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις, οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο. δεδιώς τε ἔπρασσεν ἔς τε τὴν Λακεδαίμονα πέμπων, ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιεῖτο τῆς Ποτιδαίας ἕνεκα ἀποστάσεως· προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θράκης Χαλκιδεῦσι καὶ Βοττιαίοις ξυναποστῆναι, νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλεμον μετ' αὐτῶν ποιεῖσθαι. ὧν οἱ Ἀθηναῖοι αἰσθόμε-

57. Eodem tempore etiam Perdiccas, Macedoniæ rex, hostis Atheniensium ex socio factus, ut bellum illis cum Lacedæmoniis conflaret, horum societatem petiit.

ρττὴν εἶναι λέγει. ἐπιδημιουργοὶ ἄρχοντες πεμπόμενοι, φυλάρχων τάξιν ἔχοντες. ἐπιδημιουργοὺς τοὺς ἐπιμελητὰς τῆς ἀνακτίσεως τῶν τειχῶν. ὄνομα ἀρχῆς ὁ ἐπιδημιουργὸς παρὰ Κορινθίοις· ἄλλοι γὰρ ἄλλως τοὺς ἄρχοντας καλοῦσιν. Ἰστέον δὲ ὅτι τούτους ἀπέστελλον οἱ Κορίνθιοι κατὰ ἔτος ἄρχοντας Ποτιδαιάτας, ὡς ἀποίκους. 5. Ἀλεξάνδρου] τοῦ φιλέλληνος καλουμένου, ὃς ἐν τοῖς Μηδικοῖς ἤκμαζεν. 7. Δέρδᾳ] Δέρδας, Ἀριδαίου παῖς, ἀνεψιὸς Περδίκκα καὶ Φιλίππου. 10. Αὐτοῖς] τοῖς Ἀθηναίοις. 12. Τοῖς ἐπὶ Θράκης Χαλκιδεῦσιν] εἰσὶ γὰρ καὶ ἐν Εὐβοίᾳ Χαλκιδεῖς, οἵτινες ἀπῴκησαν εἰς Θράκην. 14. Ὅμορα] καὶ Μακεδονίᾳ καὶ ἀλλήλοις. 15. Πόλεμον] τὸν κατὰ Φιλίππου

1. τοὺς] om. A.B.F.H.N.g.h.
ξυναποστήσωσι A.B.H.
2. συμμάχους F.
πρὸς] περὶ C.F.H.I.c.e.f.g.h.
3. παρεσκευάζοντο c.
4. ἤδη sumpsi ex A.B.F.H.N. f.g.
5. περδίκας b.c.g.
τε ὁ τοῦ φιλέλληνος καλουμένου ὃς ἐν τοῖς μηδικοῖς ἤκμαζεν ἀλεξ I.
Ὁ Ἀλεξάνδρου] Vid. de eo et Perdicca Spanhem. d. Lib. Diss. VII. p. 372. seqq. Ad Alexandrum hunc in Cass. referuntur, quæ Schol. infr. hoc cap. adnotat ad Ἀρχεστράτου Λικομήδους. Recte. vid. Herodot. IX. 43, 44. Dux.
6. πρότερος B.
9. ἔπραττεν f.
10. αὐτοῖς καὶ πελοποννησίοις πρὸς ἀθηναίους f.
12. δὲ καὶ λόγους K.
13. βοτιαίοις B.g. ποτιδαιάταις e.
συναποστῆναι g.
14. ἔχῃ K. ἔχει P.
τὰ] om. A.B.F.H.g.h.
15. οἱ] om. L.O.

διώξαντες σποράδας ἐς τὴν ἤπειρον, μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν καὶ ἐπεκβάντες ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους καὶ τὰ χρήματα διήρπασαν. ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντό τε καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν· ἦ δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐωνύμῳ, πολὺ ἐνίκων, τοῖς Κερκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν. οἱ δ' Ἀθηναῖοι ὁρῶντες τοὺς Κερκυραίους πιεζομένους, μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν, τὸ μὲν πρῶτον ἀπεχόμενοι ὥστε μὴ ἐμβάλλειν τινί, ἐπεὶ δὲ ἡ τροπὴ ἐγένετο λαμπρῶς καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε δὴ ἔργου πᾶς εἶχετο ἤδη καὶ διεκέκριτο οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσεν ἐς ταὐτὸ ἀνάγκης ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους. * τῆς δὲ τροπῆς γενομένης οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἵλκον ἀναδούμενοι τῶν νεῶν ἃς

50. Corinthii jam vic-

στρατηγῶν δεδιότων τὴν πρόρρησιν. 7. Ἀπὸ ἐλάσσονος πλήθους] ἐπειδὴ γὰρ ἐξ ἀρχῆς τὸ πλῆθος τῶν Κερκυραϊκῶν νεῶν ἔλασσον ἦν τῶν Κορινθιακῶν, δῆλον ὅτι, τῶν εἴκοσι ἀναχωρησασῶν ἐκ τοῦ πολέμου, πολὺ ἐλάττονες ἐγένοντο οἱ Κερκυραῖοι, κἂν τὰς τοῦ δεξιοῦ κέρως νῆας τῶν Κορινθίων ἀφείλωντο. 9. Ἀπροφασίστως] ἀνενδοιάστως, ἀνεγκλήτως. 12. Ξυνέπεσε] ἤγουν τὰ πράγματα. 13. Ἐπιχειρῆσαι] σχετλιάζων ταῦτα λέγει, ὅτι οἱ ἐνστονδοι οὕτως ἦλθον εἰς χεῖρας. 15. Σκάφη] σκάφη καλεῖ τὰ κοιλώματα τῶν νεῶν, ἃ ἡμεῖς γάστρας καλοῦμεν. Ἃς καταδύσειαν] Ἀττικῶς. ἂν κατέδυον.

1. ἐς τὴν σποράδας ἤπ. L.O.
ante μέχρι omisi καὶ cum A. B.F.H.g.h.
2. ἀπεκβάντες H : ἐκβάντες d.
3. Ταύτῃ] Huc spectat Libanius Parentatione in Julianum Imp. p. 252. Wass.
4. οὖν] om. C.K.L.O.e.
κορίνθιοι] om. d.
10. ἐπεὶ A.B.F.H.c.d.g.h : vulgo ἐπειδή.
ἐγένετο A.B.F.H.c.d.g.h : ceteri ἐγίγνετο.
12. ξυνέπεσεν A.C.F.H.I.b.c.g.h : vulgo ξυνέπεσον.
15. Ἀναδούμενοι] Vid. Kuhnium ad Pollucem I. 125. Æschylus Pers. 418. ὑπτιοῦτο δὲ ΣΚΑΦΗ ΝΕΩΝ. Wass. Kuhnius ita distinguit : τὰ σκάφη μὲν οὐχ εἵλκον ἀναδούμενοι τῶν νεῶν, ἃς καταδύσειαν πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο, etc. Ut Thucydides dicat, Corinthios non pro more traxisse religatas a suis puppibus scaphas hostium, sed potius ad cædem hominum, demersis navibus, se contulisse. Ita σκάφη

καταδύσειαν, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν διεκπλέοντες μᾶλλον ἢ ζωγρεῖν· τούς τε αὐτῶν φίλους, οὐκ αἰσθόμενοι ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρα, ἀγνοοῦντες ἔκτεινον. πολλῶν γὰρ νεῶν οὐσῶν ἀμφοτέρων καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ξυνέμιξαν ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο· ναυμαχία γὰρ αὕτη Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ ἑαυτῆς γεγένηται. ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτρά-

tores insequuntur Corcyræos, sed cum in eo esset, ut prœlium iteraretur, adventu viginti navium Atticarum, quas Athenienses, id quod factum erat providentes, in subsidium miserant, se recipiunt,

1. Φονεύειν] τὸ ὠμὸν τῶν Κορινθίων δηλοῖ. 2. Τούς τε αὐτῶν φίλους] Μεγαρέας καὶ Ἀμπρακιώτας φησί. τὸ ἑξῆς, τοὺς ἑαυτῶν φίλους ἀγνοοῦντες ἔκτεινον, νομίζοντες Κερκυραίους εἶναι. 7. Ἕλλησι πρὸς Ἕλληνας] διὰ τὴν ἐν Σικελίᾳ. 8. Τῶν πρὸ αὐτῆς] διὰ τὴν ἐν Σαλαμῖνι. 10. Ναυάγια] ναυάγια μὲν οὐδετέρως λέγεται, ὅταν τι τῆς νεὼς ἀποκλασθῇ, οἷον πηδάλιον ἤ τι τοιοῦτον· ναυαγία δὲ θηλυκῶς ἡ πᾶσα τῆς νεὼς ἀπώλεια λέγεται. τὰ δὲ

νεῶν per periphrasin erunt νεῦς, ut apud Æschylum quoque exponit Scholiastes. Idque etiam suspicabatur H. Stephanus in Thes. prolato loco Euripidis, in quo σκάφος νεὼς pro navi dicitur: quod verum puto. Nam si hic σκάφη pro alveis navium accipias cum Scholiaste, non facile dictu est, quomodo alvei navium submersarum a puppibus victricium religari potuerint. Scribit ille quidem ad cap. 54. et ex eo Suidas in καταδύσαντες, καταδῦναι hic non esse *deprimere* naves, sed *lacerare*. Verum hæc expositio, ut ibi adnotat Stephanus, merito in dubium vocari potest, nec facile ullius probati Scriptoris testimonio confirmari poterit. Illa autem, quæ sequuntur, ἃς καταδύσειαν, per ellipsin erunt exponenda, hunc in modum, ut mihi videtur: conversi ad cædem hominum, *qui fuerant in navibus*, quas submerserant, quique, malis, antennis, tabulisve arreptis, per mare ferebantur. Sed tota structura orationis valde intricata est. Morem religandi puppibus naves captivas sæpe memorant Thucydides et omnes alii. Vid. Xenoph. I. Græc. p. 445. Liv. XXX. 10. 24. Duk.

1. καταδήσειαν I.
φονεύσειν C.
2. τε] δὲ i.
3. αἰσθόμενοι A.B.F.N.d.g.h.i: ἐσθόμενοι H: ἠσθημένοι ceteri.
ἥσσηντο P: ἧττοντο d.
τῷ] om. B.
4. οὐσῶν νεῶν P.Q.
καὶ] om. d.
6. ἐκράτουν ἢ] om. I.L.O.P. Q.e.
8. ἑαυτῆς A.B.F.H.K.N.b.c. d.e.g: ceteri αὐτῆς.

ποντο, καὶ τῶν πλείστων ἐκράτησαν ὥστε προσκομίσαι πρὸς τὰ Σύβοτα, οἷ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει· ἔστι δὲ τὰ Σύβοτα τῆς Θεσπρωτίδος λιμὴν ἔρημος. τοῦτο δὲ ποιήσαντες, αὖθις ἀθροισθέντες ἐπέπλεον τοῖς Κερκυραίοις. οἱ δὲ ταῖς πλείμοις καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν καὶ αὐτοὶ ἀντέπλεον, δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν. ἤδη δὲ ἦν ὀψὲ καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν, καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο κατι-

νῶν οὐδετέρους εἴρηκε. 1. Πλείστων] δηλονότι σωμάτων. τινὰ γὰρ ὁ ἄνεμος τῇ Κερκύρᾳ προσέβριψε. Προσκομίσαι] ἐφρόντιζον γὰρ τῆς ταφῆς τῶν ἐν τῷ πολέμῳ πεπτώντων. 2. Πρὸς τὰ Σύβοτα] Σύβοτα ἄλλα ἐν τῇ ἠπείρῳ, ὁμωνύμους ταῖς πρὸ μικροῦ λεχθείσαις νήσοις πρὸ τῆς Κερκύρας. 5. Ταῖς πλοΐμοις] ταῖς πληγείσαις μὲν, δυναμέναις δὲ πλεῖν. 6. Λοιπαί] ὑγιεῖς, ἀβλαβεῖς. Ἀντεπέπλεον] ἐπὶ τὸ κωλῦσαι δηλονότι. 8. Ὀψὲ] οὐ λέγει ὅτι ἦν ἑσπέρα, ἀλλ' ὡς ἐνάτη ἢ δεκάτη ὥρα· τὸ γὰρ ἐπὶ τῆς ἑσπέρας ἅπαξ κεῖται ἐν τῇ τρίτῃ. Καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐπίπλουν] δύο παιᾶνας ᾖδον οἱ Ἕλληνες, πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι. τὸ δὲ ὡς ἐπίπλουν λέγει ἀντὶ τοῦ ὡς πρὸς τὸ ἄρξαι τοῦ πολέμου· ὅπερ δέον πρὸ τῆς ναυμαχίας εἰπεῖν, ὕστερον λέγει. Ὡς ἐπίπλουν] ὡς ἐπιπλέοντες κατὰ τῶν Κορινθίων. 9. Πρύμναν ἐκρούοντο] πρύμ-

1. κομίσαι I.L.O.P.Q.e.
2. οἷ C.G.K.L.O.P.d.i.
δ] om. d.
γῆς c.
6. ἀντέπλεον A.B.F.H.N.P.c. h.i: ceteri ἀντεπέπλεον.
8. ἐπαιώνιστο F. H: ἐπεπαιάνιστο f.

Etsi Græci non παιᾶνα, sed παιᾶνα ᾄδειν dicunt, tamen promiscue παιωνίζω et παιανίζω usurpant. Stanl. ad Æschyl. Sept. cont. Theb. v. 274. cui adsentior. Ita Æsch. l. d. Aristoph. Equit. 1315. et Pac. 554. Lucian. Zeux. p. 583. Thucydid. IV. 96. et sæpe alibi. Vid. Ind. sed tamen apud eum omnibus locis scriptura variat. Duk. V. Wessel. ad Diod. 13. 16. p. 554. Gottl.

ἐς addidi ex A.B.C.G.Q.e.f. g.h.
ἐπίπλουν] ἐπὶ πλοῦν H.
Ὡς ἐπίπλουν] Suidam, qui hæc corrupte citaverat in Παιᾶνας, emendat Kusterus. conf. I. 50. et Spanheim. ad Juliani Orat. I. p. 233. Wass. Ubi multis agit de pæane, et rursus ad Callim. Hymn. Apoll. v. 98. Add. Luisin. II. Parerg. 12. Lips. IV. de Milit. Rom. 11. et Camerar. ad Xenoph. Cyrip. pag. 356. Duk.

9. Πρύμναν ἐκρούοντο] De hac phrasi vide Schefferum de Militia Navali, l. 3. c. 4. et Gronovii Observat. l. 4. c. 26. Huds. Poll. I. 125. Suid. in πρύμναν. Salmas. Epist. 113. et seq. Duk.

δόντες εἴκοσι ναῦς Ἀθηναίων προσπλεούσας· ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι, δείσαντες ὅπερ ἐγένετο, μὴ νικηθῶσιν οἱ Κερκυραῖοι καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι. * ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι, καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι οὐχ ὅσας ἑώρων ἀλλὰ πλείους ὑπανεχώρουν. τοῖς δὲ Κερκυραίοις (ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς) οὐχ ἑωρῶντο, καὶ ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους, πρίν τινες ἰδόντες εἶπον ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσι· τότε δὲ καὶ αὐτοὶ ἀνεχώρουν· ξυνεσκόταζε γὰρ ἤδη, καὶ οἱ Κορίνθιοι ἀποστραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. τοῖς Κερκυραίοις δὲ στρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμμῃ αἱ εἴκοσι νῆες αἱ ἀπὸ τῶν Ἀθηνῶν αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάγρου καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ

51. et pugna dirimitur, nocte ingruente.

ναυ κρούεσθαι ἐστὶ τὸ κατ' ὀλίγον ἀναχωρεῖν μὴ στρέψαντα τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν, ἵνα μὴ δέξωσι φανερῶς φεύγειν, οὕτω κατ' ὀλίγον ὑπακιόντες· ἢ ἵνα μὴ τὰ νῶτα τοῖς πολεμίοις δόντες ῥᾷον τιτρώσκωνται. 4. Προϊδόντες] πρὸ τῶν Κερκυραίων. 5. Καὶ ὑποτοπήσαντες] ἀντὶ τοῦ ὑποπτεύσαντες· οὕτω γὰρ οἱ Ἀθηναῖοι ἀναλύουσι τὴν λέξιν. 7. Ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς] αἱ εἴκοσι νῆες τῶν Ἀθηναίων· κατὰ νότου γὰρ αὐτῶν ἦσαν. 8. Θαυμάζων τοὺς Κορινθίους] θαυμάζω σου, ἐπὶ μέμψεως· θαυμάζω σε, ἐπὶ ἐπαίνου καὶ πολλάκις ἐκπλήξεως. Πρύμναν κρουομένους] ἐπαναχωροῦντας. 12. Ἀπαλλαγὴ ἐγένετο ἀλλήλων] διελύθησαν ἀπ' ἀλλήλων. 13. Στρατοπεδευομένοις] σκηνουμένοις. 15. Ἀνδοκίδης] ὁ εἷς τῶν δέκα ῥητόρων, ὥς φησιν Ἀκουσίλαος. Διὰ τῶν νεκρῶν καὶ ναυαγίων] τῶν Κερκυραϊκῶν δηλονότι.

2. οἱ] om. f.
3. κινηθῶσιν H.
4. ὀλίγαι ἀμύνειν] naves pauciores, quam ut vim propulsare possint. Hanc loquendi formam illustrat Wyttenb. ad Julian. Orat. p. 217. ed. Schäf.
5. ἀθηναίων P.Q.
6. ὑπανεχώρουν A.B.C.F.H.I.K. P.b.c.f.g: vulgo ἐπανεχώρουν.
9. δὲ] A.B.F.H.g.h: vulgo δή.
10. καὶ οἱ αὐτοὶ B.
συνεσκόταζε c.
11. ἀποτρεπόμενοι A.F.H.N.c.g.
13. κερκυραίοις δὲ A.B.F.H.c.f. g.h: δὲ κερκ. ceteri.
καταστρατοπεδευομένοις P.g.h.
14. λευκίμμῃ B.F.c.f.g.h.
alterum αἱ om. A.B.F.H.K. N.g.h.
ἀπὸ A.B.F.H.N.f.g.h: vulgo ἐκ.
τῶν] om. f.g.
15. ἀνδροκίδης g.
λεογόρου K.N.Q.
Λεωγόρου] Sic Andocides Orat.

τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι κατέπλεον ἐς τὸ στρατόπεδον, οὐ πολλῷ ὕστερον ἢ ὥφθησαν. οἱ δὲ Κερκυραῖοι (ἦν γὰρ νὺξ) ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν, καὶ ὡρμίσαντο.

52. Postridie Atticæ naves Corinthiis pugnæ occasionem præbent. Sed illi de reditu cogitant, veriti, ne domo intercludantur.

* Τῇ δὲ ὑστεραίᾳ ἀναγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες καὶ τῶν Κερκυραίων ὅσαι πλοῖμοι ἦσαν, ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, βουλόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν. οἱ δὲ τὰς μὲν ναῦς ἄραντες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἐκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν Ἀθηνῶν ἀκραιφνεῖς καὶ σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε περὶ φυλακῆς, οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν ἐν χωρίῳ ἐρήμῳ. τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν ὅπῃ κομισθήσονται,

4. Ἔγνωσαν] τοὺς Ἀθηναίους οἱ Κερκυραῖοι. 7. Ἐν τοῖς Συβότοις] τοῖς τῆς ἠπείρου. 12. Ἀκραιφνεῖς] ἀβλαβεῖς, ἀκεραιοφανεῖς. 13. Αἰχμαλώτων τε περὶ φυλακῆς] ἠπόρουν, πῶς αὐτοὺς φυλάξουσι. 14. Καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν] μὴ δυνάμενοι τὰς βλαβείσας τῶν νεῶν ἐπισκεύασαι.

I. pag. 246. non Λεωγόρου. Wass. Λεωγόρας etiam Aristoph. Nubib. v. 109. et ibi apud Schol. Plato Comicus, Athenæus IX. 9. et Plutarch. Vit. X. Rhetor. Item alius apud Lucian. Phalar. 2. p. 737. Est hic Andocides Rhetor, cujus supersunt Orationes quædam. Plut. l. d. De Leogora Schol. Aristoph. ad Nub. et ex eo Suidas in *φασιανοί*. Duk.

1. ναυαγιῶν A.C.

3. πολέμιοι unus Parisinus.

5. ἀναγαγόμεναι C.I.c: ἀναγκαζόμεναι h.

7. οἱ] om. F.

9. Ἀπὸ τῆς γῆς] Cl. ἀπὸ γῆς. Mallem ναῦς etiam omisisset, ut Act. 27, 13. et Noster non uno in loco. Wass. Τὰς ναῦς ἄραντες mihi non magis suspectum est, quam ἄραντες ἀπὸ τῆς γῆς· nam hoc quoque infrequentius est, quam ἄραντες solum. Schol. ad II. 23. quum dicitur ἄραντες, supplet τὰς ναῦς· alii τὰς ἀγκύρας. Thucydides alibi dicit ἄραντες ταῖς ναυσὶ, supr. c. 29. et IV. 129. Ἀπὸ γῆς non minus recte dici arbitror, quam ἐν γῇ, et ἐκ γῆς, de quibus Salmas. Ep. III. Duk.

τῆς] om. N.

11. προγεγενημένας K.

ἀθηνῶν A.B.F.H.c.f: ceteri ἀθηναίων.

12. καὶ] τὰ f.

13. φυλακῆς] d.i.

15. ὅπου c: ὅπου i.

ἀδεδιότες μὴ οἱ Ἀθηναῖοι, νομίσαντες λελύσθαι τὰς σπονδὰς διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς ἀποπλεῖν. * ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας ἄνευ κηρυκείου προσπέμψαι τοῖς Ἀθηναίοις, καὶ πεῖραν ποιήσασθαι. πέμψαντές τε ἔλεγον τοιάδε "ἀδικεῖτε, ὦ "ἄνδρες Ἀθηναῖοι, πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες· "ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέρους τιμωρουμένοις ἐμπο- "δὼν ἵστασθε ὅπλα ἀνταιρόμενοι. εἰ δ' ὑμῖν γνώμη ἐστὶ "κωλύειν τε ἡμᾶς ἐπὶ Κέρκυραν ἢ ἄλλοσε εἴ ποι βουλό- "μεθα, πλεῖν, καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τούσδε λα- "βόντες πρῶτον χρήσασθε ὡς πολεμίοις." οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κερκυραίων τὸ μὲν στρατόπεδον ὅσον ἐπήκουσεν, ἀνεβόησεν εὐθὺς λαβεῖν τε αὐτοὺς καὶ ἀποκ-

53. Statuunt igitur, viros quosdam absque caduceo ad Atheniensis mittere. Illis objurgantibus, quod pacem ruperint, Atheniensis respondent, se non pacem violare, sed Corcyraeis, sociis suis, opem ferre. Si aliquo

3. Κελήτιον] μικρὰν πλοιάριον, ὑπὸ ἑνὸς ἐρεττόμενον, ἀπὸ μεταφορᾶς τοῦ πέλητος ἵππου, ᾧ εἷς ἀνὴρ ἐπικάθηται. 4. Ἄνευ κηρυκίου] κηρύκιόν ἐστι ξύλον ὀρθὸν, ἔχον ἑκατέρωθεν δύο ὄφεις περιπεπλεγμένους καὶ ἀντιπροσώπους πρὸς ἀλλήλους κειμένους, ὅπερ εἰώθασιν φέρειν οἱ κήρυκες μετ' αὐτῶν. καὶ οὐκ ἐξῆν αὐτοὺς ἀδικεῖν παρ' οὓς ἀπέρχονται. σύμβολον δὲ ἦν τὸ μὲν ὀρθὸν ξύλον τοῦ ὀρθοῦ λόγου, τὸ δὲ παρ' ἑκάτερον εἶδος τῶν ὄφεων, τὰ ἀντιτασσόμενα στρατόπεδα· ὁ γὰρ ὀρθὸς λόγος δι' ἀμφοτέρων χωρεῖ. 12. Τῶν δὲ Κερκυραίων] τῶν δὲ, τουτέστι τῶν τοῦ ἄλλου μέρους. οὕτω Φαβάμμων φησίν. ἵν' ᾖ, τῶν

1. οἱ] om. K.b.e.

3. ἐς] ὡς i.

κελήτιον c.i.

ἐσβιβάσαντας F.H. ἐμβιβάσαντες B.g.

4. κηρυκείου A.B.g.h. vulgo κηρυκίου.

Κηρυκείου] hic etiam legit Suidas, et simul Scholiasten. decripsit. Κηρύκειον etiam sæpe apud alios legas. In Pollucis exemplaribus 8, 138, varia est scriptura. Dux.

προσπέμψαι A.B.F.H.N.f.g.h. vulgo προπέμψαι.

4. Supra cap. 29. προπέμψαντες κήρυκα πρότερον. Homer. Il. α'. 442. πρό μ' ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων. Ubi est pro simplici *mittere*. In superiore loco Thucydidis pro *prius mittere*: quam significationem quum non omnino requirat hic locus, non plane damnandum videtur προσπέμψαι. Nam et alibi προσπέμπειν κήρυκα dixit Thucydides. vid. Steph. Thes. Aristoph. Equit. 471. προσπέμπων φίλους. Dux.

5. τοιαῦτα g.

ὦ ἄνδρες ὦ ἀθ. K.

9. τε] om. e.

εἶπεν C.F.G.I.K.d.e.i.

10. λαβόντες πρῶτον A.B.H.N. c.f.g.h: vulgo πρῶτους λαβόντες.

13. ἐπήκουσεν A.B.C.F.H.c. g.h: ἤκουσεν d. ceteri ὑπήκουσεν.

vellent cursum dirigere, se non impedire; sin Corcyram, non esse passuros.

τεῖναι, οἱ δὲ Ἀθηναῖοι τοιάδε ἀπεκρίναντο "οὔτε ἄρχομεν "πολέμου, ὦ ἄνδρες Πελοποννήσιοι, οὔτε τὰς σπονδὰς λύο- "μεν, Κερκυραίοις δὲ τοῖσδε ξυμμάχοις οὖσι βοηθοὶ ἥλθο- "μεν. εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν· "εἰ δὲ ἐπὶ Κέρκυραν πλευσεῖσθε ἢ ἐς τῶν ἐκείνων τι χωρίων,

54. Posito ab utraque parte tropaeo, quod utraque victoriam sibi vindicabat,

"οὐ περιοψόμεθα κατὰ τὸ δυνατόν." * τοιαῦτα τῶν Ἀθη- ναίων ἀποκριναμένων οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ' οἴκου παρεσκευάζοντο, καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις. οἱ δὲ Κερκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ καὶ ἀνέμου, ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ, καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις ὡς νενικηκότες. γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο. Κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτός, ὥστε καὶ ναυάγια πλεῖστα καὶ νεκροὺς προσκομίσασθαι, καὶ ἄνδρας ἔχοντες αἰχμαλώ- τους οὐκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ

δὲ τὸ μὲν στρατόπεδον τῶν Κερκυραίων,—οἱ δὲ Ἀθηναῖοι. 1. Οὔτε ἄρχομεν] ἀπόκρισις Ἀθηναίων πρὸς Πελοποννησίους πρώτη, τῇ τάξει δὲ τετάρτη. 3. Τοῖσδε ξυμμάχοις οὖσι] τὴν ἐπιμαχίαν ξυμμαχίαν λέγει. μᾶλλον δὲ κατὰ τὰ προλαβόντα καὶ ἐνταῦθα φησίν. οἷς γὰρ αὐτοὶ ἐπιμαχίαν στείλαν- τες ἐβοήθουν, ἐκείνους ἑαυτῶν συμμάχους ἄρτι καλεῖ, εἰκότως, ὡς μόλις καὶ διὰ ξυμμαχίαν, ἣν προέφημεν ἀναδοχὴν τοῦ ὅλου πολέμου εἶναι καὶ τῆς τῶν ξυμμάχων πρὸς τοὺς πολεμίους ἔχθρας οἰκείωσιν, τὴν ἐκ πολὺ μείζονος σταλεῖ- σαν πόλεως καὶ ἐπιμαχίαν ἀντισηκώσαντας. 9. Τά τε ναυάγια] γράφε- ται, τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο, τὰ κατὰ σφᾶς, ἐξενεχθέντων ὑπό τε τοῦ ῥοῦ καὶ ἀνέμου. 11. Γενόμενος] λείπει ἡ διά, ἵν' ᾖ διαγενόμενος. 14. Προσεποιήσαντο] ἰδιοποιήσαντο. 17. Καταδύσαντες] ἀντὶ τοῦ τρώσαν-

1. τοιαῦτα N.
3. βοηθεῖν e.
4. πη e.
βουλεύεσθε L.
5. χωρίων A.B.H.c.h. vulgo χωρίων.
7. ἀποκρινομένων c.
τὸν ante ἐπ' om. e.
10. ἐξενεχθέντων C.G.
τε] om. B.F.H.N.g.h.
11. καὶ τοῦ ἀνέμου K.g.h.
12. πανταχοῦ g.
ἀνέστησαν A.B.H.N.c.g.h.
13. τοιῷδε ἑκάτεροι C.G.K.L. O.P.d.e. ἑκάτερος τοιῷδε B.
14. προσεποιήσατο b.
15. ναυμαχία d.
17. Καταδύσαντες] Agn. Suidas h. v. et Schol. exscribit. Wass.

ἑβδομήκοντα, ἔστησαν τροπαῖον· Κερκυραῖοι δὲ τριάκοντα ναῦς μάλιστα διαφθείραντες, καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ κατὰ σφᾶς αὐτοὺς ναυάγια καὶ νεκροὺς, καὶ ὅτι αὐτοῖς τῇ τε προτεραίᾳ πρύμναν κρουόμενοι ὑπε-
5 χώρησαν οἱ Κορίνθιοι, ἰδόντες τὰς Ἀττικὰς ναῦς, καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι, οὐκ ἀντέπλεον ἐκ τῶν Συβότων, διὰ ταῦτα τροπαῖον ἔστησαν. οὕτω μὲν ἑκάτεροι νικᾶν ἠξίουν. * οἱ δὲ Κορίνθιοι ἀποπλέοντες ἐπ' οἴκου Ἀνακτό-
* ριον, ὅ ἐστιν ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου,
10 εἶλον ἀπάτῃ (ἦν δὲ κοινὸν Κερκυραίων καὶ ἐκείνων,) καὶ καταστήσαντες ἐν αὐτῷ Κορινθίους οἰκήτορας ἀνεχώρησαν ἐπ' οἴκου, καὶ τῶν Κερκυραίων ὀκτακοσίους μὲν, οἳ ἦσαν δοῦλοι, ἀπέδοντο, πεντήκοντα δὲ καὶ διακοσίους δήσαντες ἐφύλασσον καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ, ὅπως αὐτοῖς
15 τὴν Κέρκυραν ἀναχωρήσαντες προσποιήσειαν· ἐτύγχανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς πόλεως. Ἡ μὲν οὖν Κέρκυρα οὕτω περιγίγνεται τῷ πολέμῳ τῶν Κορινθίων, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀνεχώρησαν ἐξ αὐτῆς. αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοῦ πολέμου τοῖς Κο-

55. Corinthii, domum proficiscentes, in itinere Anactorium dolo capiunt, captosque Corcyræos in vinculis custodiunt, quorum opera (erant enim nobilissimi) Corcyram sibi conciliatum iri sperant.

τες· οὐ γὰρ λέγει ἐπὶ τοῦ βαπτίσαντες. τοιοῦτο δέ ἐστι καὶ τὸ ἐς καταδύσειαν. 2. Μάλιστα] τὸ μάλιστα ἢ πρὸς τὸν ἀριθμὸν, ὅτι οὐχὶ εἴκοσι ἐντέα, ἢ πρὸς τὸ διαφθείραντες, ὅτι οὐ μόνον ἔτρωσαν, ἀλλὰ μάλιστα ἔφθειραν αὐτάς· ἐκεῖνοι δὲ μόνον κατέδυσαν. 8. Ἀποπλέοντες] ἀπὸ τῶν Συβότων πλέοντες. 10. Εἶλον ἀπάτῃ] ὡς φίλοι γὰρ οὐχ ὑπωπτεύοντο. 13. Ἀπέδοντο] διὰ τὰ ἐν τῷ πολέμῳ ἀναλώματα, καὶ οὐκ ἀπέκτειναν. διὰ δὲ τοῦτο καὶ τὸ ἥμερον τοῦ Ἑλληνικοῦ τρόπου δηλοῖ, καὶ ὡς ἀπηνὲς μετὰ μά-

1. ναῦς τριακ. C.
2. ἀθηναῖοι ἦλθον] ἦλθον οἱ ἀθηναῖοι c. ἦλθον ἀθηναῖοι f. ἀθηναῖοι e.
6. ἦλθον οἱ ἀθηναῖοι A.B.C.F.G.H.I.L.O.P.c.e.g.h. ἦλθον ἀθηναῖοι N. vulgo ἦλθον nude ponunt.
οὐκ ἀντέπλεον C.G: οὐ κατέπλεον A.B.F.N.g.h.
7. διὰ ταῦτα] om. b.
8. ἀναπλέοντες f. De Anactorio Palmer. Græc. antiq. 3, 3. Dun.
12. μὲν] om. P.
14. ἐφύλασσον C.K.L.O.d.e.i. vulgo ἐφύλαττον.
16. ὄντες] om. d.
17. τῷ] om. c.
19. ἐγένετο πρώτη f.
τοῖς] om. f.

ρινθίοις ἐς τοὺς Ἀθηναίους, ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ Κερκυραίων ἐναυμάχουν.

56. Præter hanc belli Atheniensium cum Peloponnesiis causam et aliæ intercedebant. Nam Potidæatis, Corinthiorum colonis, Atheniensium autem sociis, ne ab illis ad defectionem perducerentur, hi imperarunt, ut murum, Pallenen spectantem, diruerent, obsidesque darent, et Corinthiorum præfectos dimitterent.

* Μετὰ ταῦτα δ' εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι Ἀθηναίοις καὶ Πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν. τῶν γὰρ Κορινθίων πρασσόντων ὅπως τιμωρήσονται αὐτοὺς, ὑποστησάντες τὴν ἔχθραν αὐτῶν οἱ Ἀθηναῖοι Ποτιδαιάτας, οἳ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης, Κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους φόρου ὑποτελεῖς, ἐκέλευον τὸ ἐς Παλλήνην τεῖχος καθελεῖν καὶ ὁμήρους δοῦναι, τούς τε ἐπιδημιουργοὺς ἐκπέμπειν καὶ τὸ λοιπὸν μὴ δέχεσθαι, οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον, δείσαντες μὴ ἀποστῶσιν ὑπό τε Περδίκκου πειθόμενοι καὶ

χην τοὺς ἐαλωκότας θανατοῦν, ἄλλως τε καὶ δούλους τοὺς μὴ κατὰ γνώμην οἰκείαν πολεμοῦντας. 5. Αὐτοὺς] τοὺς Ἀθηναίους. 9. Τὸ ἐς Παλλήνην τεῖχος] ἀντὶ τοῦ, τὸ μέρος τοῦ τείχους τὸ ἀφορῶν εἰς τὴν Παλλήνην. Ὁμήρους] τοὺς ἕνεκα εἰρήνης διδομένους εἰς ἐνέχυρα. Ἵνα, ἐὰν ἀποστῶσιν, εὐάλωτοι γένωνται. 10. Ἐπιδημιουργοὺς] ὁ Ἀσκληπιάδης τὴν ἐπιπρόθεσιν πε-

1. *ἀθηναίοις ἐς τοὺς κορινθίους* c.

3. *ταῦτα δ'*] *δὲ ταῦτα* Q. *δὲ ταῦτα δ'* d.

4. Ante *ἀθηναίοις* omisi articulum cum A.B.F.H.g.h.

5. *τιμωρήσονται* B.C.K.g.h. *τιμωρηθήσωνται* c. *τιμωρήσεται* G. *τιμωρήσωνται* vulgo.

7. *Ἐπὶ τῷ ἰσθμῷ*] Vid. Steph. de Urb. in *Παλλήνη* et *Ποτίδαια*, et quæ ibi adnotantur. Add. Thucyd. IV. 120. Duk.

παλλήνης F.H. post hoc vocabulum omisi *ὄντας* cum A.B.F. H.N.g.h.

κορ.] *κορ. μὲν* L.P.

9. *παλλήνην* H.N.

10. *Ἐπιδημιουργοὺς*] Apud Dorienses, inquit Hesychius, qui publica negotia resque civitatis administrant, Demiurgi vocantur, qui similes sunt iis, qui ab Atheniensibus Demarchi vocantur, id est, Tribuni. Peloponnesii autem Dorici sunt generis: quo factum est, ut Achæorum magistratus Demiurgos Dorice Livius diceret. l. 38. c. 30. Eosdem *ἐπιδημιουργοὺς* appellat Thucyd. Vide Turnebi Adversar. l. 14. c. 11. Huds. Suidas in *δημιουργός*. *Καὶ μηκέτι δέχεσθαι τοὺς κατ' ἔτος ἐκπεμπομένους Κορινθίων Ἐπιδημιουργοὺς κελεύοντες*, nescio an huc spectans? Wass. Idem, quod Hesychius, de Doriensibus scribit Eustath. ad Od. ρ'. 1825. et de Argivis ac Thessalis Etym. M. De more magistratuum a Metropolibus in colonias mittendorum Spanhem. Dissertat. IX. p. 581. de Usu et Præstant. Numism. Duk.

12. *περδίκκου* c.

Κορινθίων, τούς τε ἄλλους τοὺς ἐπὶ Θράκης ξυναποστήσωσι ξυμμάχους. * ταῦτα δὲ πρὸς τοὺς Ποτιδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν· οἵ τε γὰρ Κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν, Περδίκκας τε ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεὺς, ἐπεπολέμωτο, ξύμμαχος πρότερον καὶ φίλος ὤν. ἐπολεμώθη δὲ ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ ἀδελφῷ καὶ Δέρδᾳ, κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις, οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο. δεδιώς τε ἔπρασσεν ἔς τε τὴν Λακεδαίμονα πέμπων, ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιεῖτο τῆς Ποτιδαίας ἕνεκα ἀποστάσεως· προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θράκης Χαλκιδεῦσι καὶ Βοττιαίοις ξυναποστῆναι, νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλεμον μετ' αὐτῶν ποιεῖσθαι. ὧν οἱ Ἀθηναῖοι αἰσθόμε-

57. Eodem tempore etiam Perdiccas, Macedoniæ rex, hostis Atheniensium ex socio factus, ut bellum illis cum Lacedæmoniis conflaret, horum societatem petiit.

μεττὴν εἶναι λέγει. ἐπιδημιουργοὶ ἄρχοντες πεμπόμενοι, φυλάρχων τάξιν ἔχοντες. ἐπιδημιουργοὺς τοὺς ἐπιμελητὰς τῆς ἀνακτίσεως τῶν τειχῶν. ὄνομα ἀρχῆς ὁ ἐπιδημιουργὸς παρὰ Κορινθίοις· ἄλλοι γὰρ ἄλλους τοὺς ἄρχοντας καλοῦσιν. Ἱστέον δὲ ὅτι τούτους ἀπέστελλον οἱ Κορίνθιοι κατὰ ἔτος ἄρχοντας Ποτιδαιάτας, ὡς ἀποίκους. 5. Ἀλεξάνδρου] τοῦ φιλέλληνος καλουμένου, ὃς ἐν τοῖς Μηδικοῖς ἤκμαζεν. 7. Δέρδᾳ] Δέρδας, Ἀρίδαιου παῖς, ἀνεψιὸς Περδίκκα καὶ Φιλίππου. 10. Αὐτοῖς] τοῖς Ἀθηναίοις. 12. Τοῖς ἐπὶ Θράκης Χαλκιδεῦσιν] εἰσὶ γὰρ καὶ ἐν Εὐβοίᾳ Χαλκιδεῖς, οἵτινες ἀπῴκησαν εἰς Θρᾴκην. 14. Ὅμορα] καὶ Μακεδονίᾳ καὶ ἀλλήλοις. 15. Πόλεμον] τὸν κατὰ Φιλίππου

1. τοὺς] om. A.B.F.H.N.g.h.
ξυναποστήσωσι A.B.H.
2. συμμάχους F.
πρὸς] περὶ C.F.H.I.c.e.f.g.h.
3. παρεσκευάζοντο c.
4. ἤδη sumpsi ex A.B.F.H.N. f.g.
5. περδίκας b.c.g.
τε ὁ τοῦ φιλέλληνος καλουμένου ὃς ἐν τοῖς μηδικοῖς ἤκμαζεν ἀλεξ I.
Ὁ Ἀλεξάνδρου] Vid. de eo et Perdicca Spanhem. d. Lib. Diss. VII. p. 372. seqq. Ad Alexandrum hunc in Cass. referuntur, quæ Schol. infr. hoc cap. adnotat ad Ἀρχεστράτου Λικομήδους. Recte. vid. Herodot. IX. 43, 44. Dux.
6. πρότερος B.
9. ἔπραττεν f.
10. αὐτοῖς καὶ πελοποννησίοις πρὸς ἀθηναίους f.
12. δὲ καὶ λόγους K.
13. βοτιαίοις B.g. ποτιδαιάταις c.
συναποστῆναι g.
14. ἔχῃ K. ἔχει P.
τὰ] om. A.B.F.H.g.h.
15. οἱ] om. L.O.

νοι, καὶ βουλόμενοι προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις, (ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποστέλλοντες καὶ χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ, Ἀρχεστράτου τοῦ Λυκομήδους μετ' ἄλλων δέκα στρατηγοῦντος) ἐπιστέλλουσι τοῖς ἄρχουσι τῶν νεῶν Ποτιδαιατῶν τε ὁμήρους λαβεῖν καὶ τὸ τεῖχος καθελεῖν, τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν, ὅπως μὴ ἀποστήσονται.

58. Interim Potidæatæ simul cum Atheniensibus et Lacedæmoniis agunt. Quoniam ab illis nil impetrant, ab his autem auxilium ita promittitur, si Athenienses Potidæam

* Ποτιδαιᾶται δὲ πέμψαντες μὲν καὶ παρ' Ἀθηναίους πρέσβεις, εἴ πως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδέν, ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων, [ἔπρασσον] ὅπως ἑτοιμάσαιντο τιμωρίαν, ἢν δέῃ, ἐπειδὴ ἔκ τε Ἀθηναίων ἐκ πολλοῦ πράσσοντες οὐδὲν ἤῤῥοντο ἐπιτήδειον, ἀλλ' αἱ νῆες αἱ ἐπὶ Μακεδονίαν καὶ ἐπὶ σφᾶς ὁμοίως ἔπλεον, καὶ τὰ τέλη τῶν Λακεδαιμονίων

καὶ τῶν Ἀθηναίων. 1. Βουλόμενοι προκαταλαμβάνειν] βουλόμενοι κατέχειν καὶ κωλύειν τὰς πόλεις, ἵνα μὴ ἀποστῶσι. 3. Ἐπὶ τὴν γῆν αὐτοῦ] τοῦ Περδίκκα, διὰ τὴν τοῦ Φιλίππου βοήθειαν. 5. Ἐπιστέλλουσι] ἐπιστέλλουσιν, ἐντέλλονται· οὕτω γὰρ ἦσαν ἀποδημήσαντες. 9. Νεωτεριζειν] νεώτερα ποιεῖν. 14. Τὰ τέλη] ἤτοι οἱ προάρχοντες τῶν Λακεδαιμονίων. οἱ γὰρ Λακεδαιμόνιοι τοὺς ἄρ-

4. τοῦ] om. g.

5. ἐπιστέλλουσι om. H, inter versus habet F.

6. τὸ] om. C.

7. ἀποστήσωνται C.K.g. vulgo ἀποστήσωνται.

8. μὲν] om. C.e.

πρὸς g.

11. Verbum ἔπρασσον melius abesse vidit Poppo.

δέοι e.

12. ἀθηνῶν C.

ῆῤῥοντο A.B.F.H.g.h. εὗρον τὸ I. ceteri εὕροντο.

13. αἱ] om. A.B.g.h.

14. Τὰ τέλη τῶν Λακεδαιμ.] Ad ea, quæ adnotat Schol. add. Meurs. Miscell. Laconicor. II. 4. et III. 7. Sed non Lacedæmoniorum solum, verum etiam aliorum Magistratus τέλη dicuntur. Xenoph. VI. Hist. Græc. 5. princ. τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλει. Est enim nomen generale. Schol. parv. Hom. ad Il. κ'. 56. τέλος significat καὶ τὰς ἀρχὰς, καὶ τὰ ἀξιώματα, ὡς ἔνεστιν εὑρεῖν παρά τε Θουκυδίδῃ καὶ Ξενοφῶντι. Et Eustath. ibid. p. 789. Ulpian. ad Demosth. Leptin. p. 282. Ed. Paris. τέλος καὶ τὴν τῶν ἀρχόντων τιμὴν ὀνομάζουσιν, ὥστερ καὶ Θουκυδίδης λέγει, Λακεδαιμονίων τὰ τέλη, τοὺς ἄρχοντας ὀνομάζων αὐτῶν. Ita οἱ ἐν τέλει pro his, qui in Magistratu sunt. vid. Leopard. l. Emend. 5. Æschyl. Sept. contr. Theb. 1032. etiam in singulari dicit: Τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει. Ubi Schol. β'. recte interpretatur ἐξουσίᾳ· nam v. 1014.

ὑπέσχετο αὐτοῖς, ἢν ἐπὶ Ποτίδαιαν ἴωσιν Ἀθηναῖοι, ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίστανται μετὰ Χαλκιδέων καὶ Βοττιαίων κοινῇ ξυνομόσαντες. καὶ Περδίκκας πείθει Χαλκιδέας τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας καὶ καταβαλόντας ἀνοικίσασθαι ἐς Ὄλυνθον, μίαν τε πόλιν ταύτην ἰσχυρὰν ποιήσασθαι· τοῖς τε ἐκλιποῦσι τούτοις τῆς ἑαυτοῦ γῆς τῆς Μυγδονίας περὶ τὴν Βόλβην λίμνην ἔδωκε νέμεσθαι, ἕως ἂν ὁ πρὸς Ἀθηναίους πόλεμος ᾖ. καὶ οἱ μὲν ἀνῳκίζοντό τε καθαιροῦντες τὰς πόλεις, καὶ ἐς πόλεμον παρεσκευάζοντο. * αἱ δὲ τριάκοντα νῆες τῶν Ἀθηναίων ἀφικνοῦνται ἐς τὰ ἐπὶ Θράκης, καὶ καταλαμβάνουσι τὴν Ποτίδαιαν καὶ τἆλλα ἀφεστηκότα. νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν τῇ παρούσῃ δυνάμει καὶ τὰ ξυναφεστῶτα

irent, Potidæatæ deficiunt cum Bottiæis et Chalcidensibus, qui Chalcidenses, suadente Perdicca, urbes suas prope mare sitas destruunt, et Olynthum et in Mygdoniam migrant.

59. Itaque Athenienſium naves advectæ, cum Potidæam aliasque urbes Thraciæ jam defecisse cognovissent, quia simul cum Thracia et Perdicca contendere non poterant, in Macedoniam se converterant, et una cum Philippo et Derda, desuper inva-

χοντας τέλη ἐκάλουν, διὰ τὸ αὐτοὺς τὰ τέλη τοῖς πράγμασι τιθέναι. 2. Τότε δὴ] τὸ ἐξῆς, ἐπειδὴ οὐδὲν εὗρον ἐπιτήδειον, τότε δὲ, καὶ τὰ ἐξῆς. 4. Καὶ Περδίκκας πείθει] ἐφοβοῦντο γὰρ τοὺς θαλασσοκράτορας Ἀθηναίους, ὄντες παραθαλάσσιοι. 5. Ἀνοικίσασθαι ἐς Ὄλυνθον] τὴν οἴκησιν ἀναγαγεῖν εἰς τὴν Ὄλυνθον.

eosdem vocat δήμου προβούλους, et v. 1033. Καδμείων προστάτας. Schol. α' perperam, τῷ τάγματι πάντων τῶν Θηβαίων καὶ πλήθει. Duk.

1. ὑπέσχετο A.B.C.F.H.N.h. vulgo ὑπέσχοντο.

2. ἐμβαλεῖν d.i. προσβαλεῖν c.

4. περδίκας c.

τοὺς correctus K.

5. καταβάλλοντας K. καταλαβόντας A.B.i.

ἐς] om. F.

6. ἰσχυρὰν ταύτην f.

7. ἐκλιποῦσι A.B.C.F.G.K.N. b.c.f.g.i. ἐκλειποῦσι H. vulgo ἐκλείπουσι.

ἑαυτοῦ] τε αὐτοῦ K.

Post τῆς omisi τε cum A.B. F.G.H.K.L.O.P.d.g.h.i.

8. βίλβην A.B.F.H.K. vulgo βολβήν.

Βολβὴν] Etiam in Scylace p. 63. Ed. Gron. Βολβὴ, ἐξυτόνως. At Thucyd. IV. 103. Æschyl. Pers. v. 494. Aristot. Hist. Anim. II. 17. et Steph. in Βολβαὶ, Βόλβη, ut hic quidam libri. Qui in Cod. Reg. emendavit Βοιβὴν, fortassis ante oculos habuit ea, quæ leguntur ap. Steph. in Βοίβη. Sed Stephanum in vitiosos Codices incidisse, non sine ratione suspicatur Vossius ad Scylacem. Duk.

9. ᾖ c.

11. τῶν ἀθ.] om. K.i.

12. Post τὴν omisi τε cum A.B.F.H.g.h.

13. ἀδύνατοι e. ἀδύνατα εἶναι post πολεμεῖν ponit f.

τε] om. L.P.

14. ἀφεστῶτα I.

dentibus, adversus Perdiccam bellum gerebant.

χωρία, τρέπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ' ἅπερ καὶ τὸ πρότερον ἐξεπέμποντο, καὶ καταστάντες ἐπολέμουν μετὰ Φιλίππου καὶ τῶν Δέρδου ἀδελφῶν, ἄνωθεν στρατιᾷ ἐσβεβληκότων. * Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι, τῆς Ποτιδαίας ἀφεστηκυίας καὶ τῶν Ἀττικῶν νεῶν περὶ Μακεδονίαν οὐσῶν, δεδιότες περὶ τῷ χωρίῳ καὶ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι, πέμπουσιν ἑαυτῶν τε ἐθελοντὰς καὶ τῶν ἄλλων Πελοποννησίων μισθῷ πείσαντες, ἑξακοσίους καὶ χιλίους τοὺς πάντας ὁπλίτας καὶ ψιλοὺς τετρακοσίους. ἐστρατήγει δὲ αὐτῶν Ἀριστεὺς ὁ Ἀδειμάντου, κατὰ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖστοι ἐκ Κορίνθου στρατιῶται ἐθελονταὶ ξυνέσποντο· ἦν γὰρ τοῖς Ποτιδαιάταις ἀεί ποτε ἐπιτήδειος. καὶ ἀφικνοῦνται τεσσαρακοστῇ ἡμέρᾳ ὕστερον ἐπὶ Θράκης, ἣ Ποτίδαια ἀπέστη. * ἦλθε δὲ καὶ τοῖς Ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν πόλεων, ὅτι ἀφεστᾶσι· καὶ πέμπουσιν, ὡς ἤσθοντο καὶ τοὺς μετὰ Ἀριστέως ἐπιπαρόντας, δισχιλίους ἑαυτῶν ὁπλίτας καὶ τεσσαράκοντα ναῦς πρὸς τὰ ἀφεστῶτα, καὶ Καλλίαν τὸν Καλλιάδου πέμπτον αὐτὸν στρατηγόν. οἱ ἀφικόμενοι ἐς Μακεδονίαν πρῶτον καταλαμβάνουσι τοὺς πρότερους

60. Interim Corinthii præsidium mittunt Potidææ, duce Aristeo.

61. Item Athenienses XL naves et duo millia militum gravis armaturæ, duce Callia, subsidio mittunt eodem. Qui cum in Pydnæ op-

4. Ἐσβεβληκότων] ἔστε τὸν Περδίκκαν μεταξὺ ἀποληφθῆναι. 5. Ἀφεστηκυίας] ἀπ' Ἀθηναίων πρὸς Περδίκκαν. 9. Ψιλοὺς τετρακοσίους] ψιλοὶ καλοῦνται οἱ μὴ καθωπλισμένοι μέν, ἐν καιρῷ δὲ τῆς μάχης τῷ παρατυχόντι ἢ λίθῳ ἢ ξύλῳ ἢ ἄλλῳ τινὶ ὀργάνῳ χρώμενοι. ἢ τοξόται, παρὰ τὸ ψιλῇ σκευῇ χρῆσθαι. 10. Ἀδειμάντου] τοῦτον ἴσμεν ἐν τοῖς Μηδικοῖς πρὸς τὸν Θεμιστοκλέα στασιάζοντα. 13. Τεσσαρακοστῇ ἡμέρᾳ] ἀντὶ τοῦ μετὰ τεσσαράκοντα ἡμέρας ἀφ' οὗ ἡ Ποτίδαια ἀπέστη. 14. ᾗ Ποτίδαια ἀπέστη] ἀντὶ τοῦ ἐν ᾗ ἡμέρᾳ, ἢ ἀντὶ τοῦ ἀφ' οὗ. 20. Τοὺς πρότερους χιλίους] τοὺς ἐν ταῖς λ' ναυσὶ τῶν

1. τὸ πρῶτον C.G.I.L.O.Q.f.g.
3. δέρδα H. et correctus F.
Δέρδου] Δέρδα secundo casu in Cass. ut Πυθαγόρα, Ἀρχύτα et alia, quæ etiam communiter per ω et α efferuntur. Duk.
4. ἐσβεβληκότα C. ἐμβεβληκότων L.
5. μακεδωνίας c.
6. τῶν χωρίων c.h.
11. τε] δὲ c.
12. ξυνέσποντο N.g.
13. ποτε] om. N.
14. ἡμέρᾳ] om. K.d.
ἢ correctus F.
19. αὐτῶν K.b.d.e.
20. πρῶτον] om. B.

χιλίους Θέρμην ἄρτι ἡρηκότας καὶ Πύδναν πολιορκοῦντας. προσκαθεζόμενοι δὲ καὶ αὐτοὶ τὴν Πύδναν ἐπολιόρκησάν μὲν, ἔπειτα δὲ ξύμβασιν ποιησάμενοι καὶ ξυμμαχίαν ἀναγκαίαν πρὸς τὸν Περδίκκαν, ὡς αὐτοὺς κατήπειγεν ἡ Ποτίδαια καὶ ὁ Ἀριστεὺς παρελθὼν, ἀπανίστανται ἐκ τῆς Μακεδονίας, καὶ ἀφικόμενοι ἐς Βέροιαν, κἀκεῖθεν

pugnatione a Potidæatis et Aristeo premarentur, cum Perdicca societatem necessario ineuntes, Beroeam conten-

Ἀθφαίων. 1. Θέρμην ἄρτι] σημείωσαι ὅτι ἡ νῦν Θεσσαλονίκη πόλις πάλαι Θέρμη ἐκαλεῖτο· ἔστι δὲ Μακεδονίας. ὅτι καὶ ἡ Πύδνα πόλις Μακεδο-

1. Θέρμην] Ita libri: Θέρμα Siciliæ, Θέρμος Ætoliæ oppidum. vid. ad Steph. Berkelium et Holsten. At Polyb. p. 57. Θέρμην vocat illud in Sicilia πολίχνιον. Θέρμη ἡ Θεσσαλονίκη, καὶ Ἡμαθία. Schedæ MS. Angeli Aprotii. Urbs Thessalonica a Cassandro ædificata, nomen habet uxoris, quæ Philippi Amyntæ filia erat. Wass.

2. καὶ προσκαθ. c.

3. δὲ post ἔπειτα om. e.

4. ὡς δὲ αὐτοὺς c.

ἡ ποτίδαια] om. d.i.

6. βέροιαν A.C.F.G.H. vulgo βέρροιαν.

Βέροιαν] Tria omnino hujusce nominis oppida memorantur; prima in Emathia Maced. Irenopolis ab Irene dicta de qua alicubi Anna Comnena. Secunda Syriæ, inter Hierapolim et Antiochiam, conditorem agnoscit Seleucum circa annum Mundi 3713. ante Christum 291. Hanc Appianus, Josephi Codices, uno Henriciano excepto, Galenus de Aliment. Facult. II. 30. Nicephorus Call. Cinnamus, Nicetas Choniates cum duplici ρ scribunt; Annæ Comnenæ exemplaria variant. Numi Trajani et Antonini Pii aliorumque Βέροια servant. Beroam et Βερὼν Itinerar. et Notitia Episcopat. Veriam Sophianus et Ruffinus MS. penes me, in Josephi Antiq. XII. p. 547. vocant. Tertia civitas Scylacis tempore maxima, et unde cæteris nomen profluxit; ad radices montis Bermii ponit Strabo. Inter eam et Thessalonicam medius fluit Astræus, inquit Hist. Anim. XV. I. Ælianus. Verum ibi opinor legendum Axius, quem Anna, eadem fere repetens, Nicephorus aliique Bardarium dixere. A Pherone, ut videtur, conditore Βέροια audit, φ enim in β apud hanc gentem haud raro migrat, uti docent Grammatici veteres, et in Quæst. Gr. Plutarchus. Exemplaria Thucydidis ρ geminant: D. Lucas Act. XVII. 10. Stephani Abbreviator, Nonnus Dionys. Lucianus in Asino, Antipater Sidonius Anthol. III. p. 600. Etymologus, Pliniani Codices, et Strabo cum numis Vet. faciunt. Apud Lucam visitur Βέρροια, sed in MSS. tantum recentioribus, quibuscum consentiunt Ptolemæus, Scylax, Philostorgius IX. 8. et inclinantis imperii Scriptores Latini. Dicitur etiam Βερόη· cujus scripturæ vestigia etiamnum servant Itin. et Notitiæ Episc. Gentilia Βεροιεῦς apud Polybium et

dunt, indeque terra versus Potidæam iter dirigentes, castra ponunt ad Gigonum.

ἐπιστρέψαντες, καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες, ἐπορεύοντο κατὰ γῆν πρὸς τὴν Ποτίδαιαν, τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν, χωρὶς δὲ τῶν ξυμμάχων πολλοῖς, ἱππεῦσι δὲ ἑξακοσίοις Μακεδόνων τοῖς μετὰ Φιλίππου καὶ Παυσανίου· ἅμα δὲ νῆες παρέπλεον ἑβδομήκοντα. κατ' ὀλίγον δὲ προϊόντες τριταῖοι ἀφίκοντο

62. Utriusque partis consilia. Perdiccas statim ab Atheniensibus ad Potidæatas transit. Prope Po-

ἐς Γίγωνον, καὶ ἐστρατοπεδεύσαντο. * Ποτιδαιᾶται δὲ καὶ οἱ μετὰ Ἀριστέως Πελοποννήσιοι προσδεχόμενοι τοὺς Ἀθηναίους ἐστρατοπεδεύοντο πρὸς Ὀλύνθῳ ἐν τῷ ἰσθμῷ, καὶ ἀγορὰν ἔξω τῆς πόλεως ἐπεποίηντο. στρατηγὸν μὲν τοῦ πεζοῦ παντὸς οἱ ξύμμαχοι ᾑροῦντο Ἀριστέα, τῆς δὲ ἵππου Περδίκκαν· ἀπέστη γὰρ εὐθὺς πάλιν τῶν Ἀθη-

νικῆ. ὅτι καὶ ἡ Βέρροια πόλις Μακεδονική. 1. Τοῦ χωρίου] τῆς Βερροίας. 5. Παυσανίου] οὗτος ὁ Παυσανίας κατὰ μέν τινας υἱὸς τοῦ Δέρδου, κατὰ δὲ ἄλλους ἀδελφός. 7. Γίγωνον] Γίγωνος χωρίον ἐστὶ μεταξὺ Μακεδονίας καὶ Θρᾴκης, οὐ

Steph. et, quomodo numi veteres, Simmias Antholog. IV. 22, 24. Motraii Numus ΒΕΡΟΙΑΙΩΝ, et Procopius, Βεροαῖος. In Thucydide tamen, nisi aliquo Codice præeunte, nihil immutandum censemus. Wass.

1. τὸ χωρίον L.

Τοῦ χωρίου] Sic Thom. Mag. in πειρῶ, et Moeris v. πειράσαντες. Duk. Conf. Moer. p. 319. Eustath. ad Il. 4. p. 445. Gottl.

7. γίγνον f.

Γίγωνον] Γεργωνίδα appellat Artemidorus Ephesius: χωρίον Schol. Auctor Etymol. Γίγωνις Ἄκρα μεταξὺ Μακεδονίας καὶ Πελλήνης, inde Γιγὼν ὁ Διώνυσος inquit. pro navium tutela apud Phœnices Hesychius v. accipit. Æthiopum regem fuisse ait Steph. Gigonem. Indigitamenta Orphei in Baccho hunc titulum minime agnoscunt. Ibi pro Πρωτογόν' ἤρικε παιὲ, ubi merito hæret Scaliger, fortasse legendum Εὑρεσιπαιέ· supra dixerat πολυάργιον, εὕρηκε Παιάν. vel potius εὕρετο. Meminit Γιγωνίας πέτρας, sed juxta oceanum, Apollodor. III. 3. vid. Herodot. VII. 123. Wass.

8. πελοπ.] om. f.

9. ἐστρατοπεδεύσαντο c.

πρὸ ὀλύνθου H.I.K.L.O.P.Q.d. πρὸς ὀλύνθου C.

Πρὸς Ὀλύνθῳ] Non πρὸς Ὀλύνθῳ, sed πρὸ Ὀλύνθου, legit Valla. Steph.

10. μὲν] δὲ c.f.

11. Ante τοῦ omisi οὖν cum A. B.C.F.H.c.g.h.

Post τοῦ omisi δὴ cum A.B.F. H.L.c.g.h.i. pro quo δὲ habet C, μὲν c.f.

11. ᾖρηνται G.

ναίων, καὶ ξυνεμάχει τοῖς Ποτιδαιάταις, Ἰόλαον ἀνθ' αὐ- tidæam pugna committitur; Corinthii Potidæam refugiunt.
τοῦ καταστήσας ἄρχοντα. ἦν δὲ ἡ γνώμη τοῦ Ἀριστέως τὸ μὲν μεθ' ἑαυτοῦ στρατόπεδον ἔχοντι ἐν τῷ ἰσθμῷ ἐπιτηρεῖν τοὺς Ἀθηναίους, ἢν ἐπίωσι, Χαλκιδέας δὲ καὶ τοὺς ἔξω ἰσθμοῦ ξυμμάχους καὶ τὴν παρὰ Περδίκκου διακοσίαν ἵππον ἐν Ὀλύνθῳ μένειν, καὶ ὅταν Ἀθηναῖοι ἐπὶ σφᾶς χωρῶσι, κατὰ νώτου βοηθοῦντας ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. Καλλίας δ' αὖ ὁ τῶν Ἀθηναίων στρατηγὸς καὶ οἱ ξυνάρχοντες τοὺς μὲν Μακεδόνας ἱππέας καὶ τῶν ξυμμάχων ὀλίγους ἐπὶ Ὀλύνθου ἀποπέμπουσιν, ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν, αὐτοὶ δ' ἀναστήσαντες τὸ στρατόπεδον ἐχώρουν ἐπὶ τὴν Ποτίδαιαν. καὶ ἐπειδὴ πρὸς τῷ ἰσθμῷ ἐγένοντο καὶ εἶδον τοὺς ἐναντίους παρασκευαζομένους ὡς ἐς μάχην, ἀντικαθίσταντο καὶ αὐτοὶ, καὶ οὐ πολὺ ὕστερον ξυνέμισγον. καὶ αὐτὸ μὲν τὸ τοῦ Ἀριστέως κέρας, καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν Κορινθίων τε καὶ τῶν ἄλλων λογάδες, ἔτρεψαν τὸ καθ' ἑαυτοὺς καὶ ἐπεξῆλθον διώκοντες ἐπὶ πολύ· τὸ δὲ ἄλλο στρατόπεδον τῶν τε Ποτιδαιατῶν καὶ τῶν Πελοπον-

πολὺ ἀπέχων Ποτιδαίας. 6. Ἐπὶ σφᾶς] ἐπὶ τὴν Ποτίδαιαν. 8. Τοὺς πολεμίους] τοὺς Ἀθηναίους. 9. Τοὺς—ἱππέας] τοὺς μετὰ Φιλίππου. 12. Ἀναστήσαντες τὸ στρατόπεδον] νῦν ἀντὶ τοῦ ἐγείραντες κεῖται ἡ λέξις, οὐκ

1. συνεμάχει f.
τοῖς] om. g.
3. μεθ'] θ' i.
ἔχοντι A.B.C.F.H.f.g.h. ἔχοντες c. vulgo ἔχοντα.
5. παρὰ] om. i.
7. νώτου I.
βοηθοῦντες F.
8. αὖ] om. d.i.
9. μακεδόνων F.H.f.
10. ὄλυνθον K.c.f.
15. ὕστερον] ὕστερον καὶ K.
συνέμισγον B. ξυνέσμισγον C.i. συνέσμισγον d.h.
16. ἐκείνου Q.
17. ἦσαν om. d.
τε om. f.
ἔτρεψαν G.H.K. vulgo ἐτρέψαντο.
τὸ] om. A.B.C.F.N.c.
19. ἄλλων i.
τῶν τε ποτιδ. A.B.F.c.f.g. τῶν ποτιδ. H.N.g. vulgo ποτιδαιατῶν.
τῶν πελοπ. A.B.F.H.N.c.f.g.h. vulgo πελοπ.

νησίων ἠσσᾶτο ὑπὸ τῶν Ἀθηναίων καὶ ἐς τὸ τεῖχος κατέ-
63. Ægre Aristeus Potidæam regreditur. Qui Olynthum tenebant, eruptionemque in Athenienses facere jussi erant, intellecta horum victoria, se recipiunt. Athenienses tropæum erigunt. Numerus occisorum.
φυγεν. * ἐπαναχωρῶν δὲ ὁ Ἀριστεὺς ἀπὸ τῆς διώξεως, ὡς ὁρᾷ τὸ ἄλλο στράτευμα ἡσσημένον, ἠπόρησε μὲν ὁποτέρωσε διακινδυνεύσῃ χωρήσας, ἢ ἐπὶ τῆς Ὀλύνθου ἢ ἐς τὴν Ποτίδαιαν, ἔδοξε δ' οὖν ξυναγαγόντι τοὺς μεθ' ἑαυτοῦ ὡς ἐς ἐλάχιστον χωρίον δρόμῳ βιάσασθαι ἐς τὴν Ποτίδαιαν· καὶ παρῆλθε παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης βαλλόμενός τε καὶ χαλεπῶς, ὀλίγους μέν τινας ἀποβαλών, τοὺς δὲ πλείους σώσας. οἱ δ' ἀπὸ τῆς Ὀλύνθου τοῖς Ποτιδαιάταις βοηθοὶ (ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους, καὶ ἔστι καταφανὲς) ὡς ἡ μάχη ἐγίγνετο καὶ τὰ σημεῖα ἤρθη, βραχὺ μέν τι προῆλθον ὡς βοηθήσοντες, καὶ οἱ Μακεδόνες ἱππῆς ἀντιπαρετάξαντο ὡς κωλύσοντες·

ἀντὶ τοῦ ἐκβαλόντες. 2. Ἐπαναχωρῶν] τῆς Ποτιδαίας. 3. Ἠπόρησε] ἐν ἀμηχανίᾳ ἐγένετο, εἰς ὁπότερον μέρος ἐλεύσεται, δηλονότι διὰ κινδύνου. 6. Ὡς ἐλάχιστον] ἢ ἐλάχιστον χωρίον λέγει, ὅτι συνῆξεν αὐτοὺς, ὡς γενέσθαι ἐν ὀλίγῳ χωρίῳ· ἢ μᾶλλον τὸ διάστημα λέγει τῆς Ποτιδαίας· ἐγγὺς γὰρ ἦν, ἥπερ ἡ Ὄλυνθος. τὸ γοῦν ὡς ἐλάχιστον τοῖς ἑξῆς συναπτέον. 7. Τὴν χηλὴν] χηλὴ καλεῖται οἱ ἔμπροσθεν τοῦ πρὸς θάλασσαν τείχους προβεβλημένοι λίθοι, διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο. εἴρηται δὲ παρὰ τὸ ἐοικέναι χηλῇ βοός. 10. Βοηθοὶ] οἱ Μακεδόνες. Ἀπέχει] ἤγουν διίστανται Ὄλυνθος τῆς Ποτιδαίας. 11. Καὶ ἔστι καταφανὲς] ὑψηλὸν γὰρ τὸ χωρίον ἡ Ὄλυνθος. 13. Ἱππῆς] οἱ Φιλίππου.

1. ἡττᾶτο d.
κατέφευγεν f.
2. ἀριστεὺς τῆς ποτιδαίας ἀπὸ A.F.g.
3. ὁρᾷ A.B.C.F.H.g.h. vulgo ἑώρα.
ἡττημένον d.i.
4. διακινδυνεύσῃ A.C. διακινδυνεύσαι B.h. vulgo διακινδυνεύσει.
5. τὴν] om. K.
ἔδοξε—ποτίδαιαν] om. G.
ῥοῦν K.d.i. ceteri γοῦν. Correxit Poppo (Observ. crit. in Thucyd. p. 222.)
συναγαγόντι e.
αὐτοῦ C.
6. ἐς] om. A.B.C.F.P.e.g.h.
χωρίου P.
7. De voce χηλὴ vid. Kuhn. ad Poll. I. 99. Suidas in χηλαὶ descripsit Scholiasten. Duk.
10. ἀπεῖχε A.B.F.H.N.g.h.
11. ἐγίγνετο A.B.F.H.c.f.g. vulgo ἐγένετο.
Καὶ τὰ σημεῖα] Vid. Lipsium de Militia Rom. l. 4. Huds. Suidas in σημεῖα ἀρθῆναι nescio an huc referri debeat. Confer Platonem 462. Wass. Vid. supra ad cap. 49. Duk.
12. τι] τοι b.i. om. d.
13. ἀντεπαρατάξαντο F.H. ἀν-

ἐπειδὴ δὲ διὰ τάχους ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος καὶ οἱ Μακεδόνες παρὰ τοὺς Ἀθηναίους· ἱππῆς δ' οὐδετέροις παρεγένοντο. μετὰ δὲ τὴν μάχην τροπαῖον ἔστησαν οἱ Ἀθηναῖοι, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις. ἀπέθανον δὲ Ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων ὀλίγῳ ἐλάσσους τριακοσίων, Ἀθηναίων δὲ αὐτῶν πεντήκοντα καὶ ἑκατὸν καὶ Καλλίας ὁ στρατηγός. * τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος ᾗδυς οἱ Ἀθηναῖοι ἀποτειχίσαντες ἐφρούρουν. τὸ δ' ἐς τὴν Παλλήνην ἀτείχιστον ἦν· οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν καὶ ἐς τὴν Παλλήνην διαβάντες τειχίζειν, δεδιότες μὴ σφίσιν οἱ Ποτιδαιᾶται καὶ οἱ ξύμμαχοι γιγνο- 64. Athenienses Potidaeam ab isthmo intercludunt; deinde Athenis submissi alii

2. Ἐς τὸ τεῖχος] τῆς Ὀλύνθου. 3. Ἱππεῖς δ' οὐδετέροις] ἐν τῇ μάχῃ δηλονότι. οὔτε τοῖς Ἀθηναίοις Ἀθηναῖοι, οὔτε τοῖς Ποτιδαιάταις Ποτιδαιᾶται. 5. Ὑποσπόνδους] ἐπειδάν τι μέρος ἡττηθῇ τῶν μαχομένων, μὴ δυνάμενον τοὺς νεκροὺς αὐτοῦ λαβεῖν, αἰτεῖ γενέσθαι σπονδάς, ἕως οὗ λαβὸν θάψῃ, καὶ τότε πάλιν μάχονται. ἔστι δὲ πολλάκις ὅτε καὶ ἀσπόνδους αὐτοὺς ἐκομίζοντο, δηλονότι κατὰ τὸ ἴσον ἔχοντες ἑκάτεροι, καὶ τῆς μάχης ἰσορρόπου γενομένης. 10. Ἀποτειχίσαντες] τὸ πρὸς Ὄλυνθον ὁρῶν τεῖχος περιοικοδομήσαντες, ἵνα μή τις ὑπεκφύγῃ τῶν ἔνδον. Τὸ δ' ἐς τὴν Παλλήνην] τὸ πρὸς τὴν Παλλήνην.

τεταρετάξαντο C.

1. ἐπειδὴ A.B.F.H.L.N.c.f.g.h. vulgo ἐπεὶ.

5. οἱ] om. N.

Καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν] Vid. Turneb. V. Advers. 7. Herald. I. Advers. 9. et, qui Heraldo quædam debet, Kirchmann. de Funerib. Append. cap. 4. Add. quæ adnotantur ad Ælian. XII. Var. Hist. 27. Liv. 31, 38. *Caduceatore ad Consulem misso, qui inducias ad sepeliendos equites peteret.* Et 33, 11. Idem 23, 46. tacitas inducias ejus rei causa memorat: *posterum diem induciis tacitis, sepeliendo utrimque cæsos in acie, consumserunt.* Duk.

10. Ἀποτειχίσαντες] Harpocrat. in ἀποτειχίσαι, et ex eo Suidas: qui etiam ἀποτείχισιν exponit τὴν τῶν τειχῶν ἀφαίρεσιν, sed alia est significatio hujus vocis cap. 65. Duk.

ἀτείχιστος g.

12. De Pallene peninsula, Dionys. R. A. I. p. 124. Reisk. et Steph. Byz. h. v. p. 620. de urbe hujus nominis in hac peninsula sita, Cell. G. A. p. 1048. Gottl.

13. γενομένους K.L.O.P.Q.

milites etiam ab altera parte urbem circumvallant.

μένοις δίχα ἐπιθῶνται. καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τὴν Παλλήνην ἀτείχιστον οὖσαν, χρόνῳ ὕστερον πέμπουσιν ἑξακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν καὶ Φορμίωνα τὸν Ἀσωπίου στρατηγόν· ὃς ἀφικόμενος ἐς τὴν Παλλήνην καὶ ἐξ Ἀφύτιος ὁρμώμενος προσήγαγε τῇ Ποτιδαίᾳ τὸν στρατὸν, κατὰ βραχὺ προϊὼν καὶ κείρων ἅμα τὴν γῆν, ὡς δὲ οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς Παλλήνης τεῖχος. καὶ οὕτως ἤδη κατὰ κράτος ἡ Ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο, καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις.

65. Quo facto Aristeus clam Potidæa excedit, et cum Peloponnesiis de auxilio mittendo agit, interim permanens apud Chalcidenses.

* Ἀριστεὺς δὲ ἀποτειχισθείσης αὐτῆς, καὶ ἐλπίδα οὐδεμίαν ἔχων σωτηρίας, ἢν μή τι ἀπὸ Πελοποννήσου ἢ ἄλλο παράλογον γίγνηται, ξυνεβούλευε μὲν πλὴν πεντακοσίων ἄνευ ὅπλων τηρήσασι τοῖς ἄλλοις ἐκπλεῦσαι, ὅπως ἐπὶ πλέον ὁ σῖτος ἀντισχῇ, καὶ αὐτὸς ἤθελε τῶν μενόντων εἶναι· ὡς δ' οὐκ ἔπειθε, βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν, καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα, ἔκπλουν ποιεῖται λαθὼν τὴν φυλακὴν τῶν Ἀθηναίων. καὶ πέραμένων ἐν Χαλκιδεῦσι τά τε ἄλλα

5. Ἐξ Ἀφύτιος] ἡ γὰρ ὁδὸς ἐκεῖθέν ἐστιν ἀπὸ Θρᾴκης. μία δὲ πόλις τῶν ἐν Παλλήνῃ ἡ Ἄφυτις. Ἰωνικῶς δὲ εἶπεν Ἀφύτιος· ἔδει γὰρ διὰ τοῦ ō. 11. Σωτηρίας] οὐ περὶ ἑαυτοῦ, ἀλλὰ περὶ τῆς Ποτιδαίας. 12. Ἢ ἄλλο παράλογον] οἷον σεισμός· εἰώθεσαν γὰρ οἱ Ἕλληνες ἀναχωρεῖν τοιούτου τινὸς γινομένου, οἰωνιζόμενοι τὸ ἐκ τούτου κακόν. 15. Ὡς δ' οὐκ ἔπειθεν] ἔπαινος Ἀριστέως. τὸ ἐξῇς, ὡς δὲ βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν, οὐκ ἔπεισθεν. 18. Τά τε ἄλλα ἐπολέμει] τὰ μὴ ἀποστάντα τῶν Ἀθηναίων δηλονότι

1. ἐπιθῶνται C.F.K. vulgo ἐπίθωνται.

5. Ἀφύτιος agn. Steph. Strabonis Ep. 330. Scylax 26. Herodot. VII. 123. oppugnasse Lysandrum, ait Pausanias III. pag. 253. Rem narrat Plutarchus Lysand. 444. ubi legendum Ἀφυταίων. Vid. Aristot. Pol. 173. 8. An huc pertineat ἡ Ἀφυτεῖος ἄμπελος apud Theophrast. Caus. Pl. III. 20. nescio. Wass.

7. τὴν μάχην G.K.L.O.P.Q. e.i.

11. καὶ] om. c.

12. γίγνεται C. γίγνοιτο c. ξυνεβούλευσε N.

14. ὁ σῖτος] post ἀντισχῇ ponit f.

ἀντισχῇ C. ἀντίσχοι Tusanus. vulgo ἀντίσχῃ.

16. ἕξῃ d.i.

ξυνεπολέμει, καὶ Ἑρμυλίων λοχήσας πρὸς τῇ πόλει πολλοὺς διέφθειρεν, ἔς τε τὴν Πελοπόννησον ἔπρασσεν ὅπῃ ὠφέλειά τις γενήσεται. μετὰ δὲ τῆς Ποτιδαίας τὴν ἀποτείχισιν Φορμίων μὲν ἔχων τοὺς ἑξακοσίους καὶ χιλίους τὴν Χαλκιδικὴν καὶ Βοττικὴν ἐδῄου, καὶ ἔστιν ἃ καὶ πολίσματα εἷλε.

66. Consummatio belli causarum, ex hac de Potidæa contentione tum Corinthiis, tum

Τοῖς δ' Ἀθηναίοις καὶ Πελοποννησίοις αἰτίαι μὲν αὗται προσγεγένηντο ἐς ἀλλήλους, τοῖς μὲν Κορινθίοις, ὅτι τὴν Ποτίδαιαν ἑαυτῶν οὖσαν ἀποικίαν καὶ ἄνδρας Κορινθίων τε καὶ Πελοποννησίων ἐν αὐτῇ ὄντας ἐπολιόρκουν, τοῖς δ' Ἀθηναίοις ἐς τοὺς Πελοποννησίους, ὅτι ἑαυτῶν τε

ἐπολέμει τοῖς Χαλκιδεῦσι. 1. Καὶ Σερμυλίων] τὸ ἐξῆς οὕτω, καὶ πολλοὺς τῶν Σερμυλίων διέφθειρε, λοχήσας αὐτοὺς πρὸς τῇ ἑαυτῶν πόλει. ἔστι δὲ ἡ Σερμυλὶς Χαλκιδικὴ πόλις, τὰ τῶν Ἀθηναίων φρονοῦσα. 4. Φορμίων] ἄπορον, πῶς ὁ Φορμίων τὸ πρὸς τῇ Παλλήνῃ τεῖχος φυλάσσων, τὴν Χαλκιδικὴν καὶ Βοττικὴν γῆν ἔδῃου, καὶ οὐχὶ μᾶλλον τὸ ἕτερον μέρος τῆς φυλακῆς, ὅπερ εἶχεν ὁ Καλλίας πρὶν ἢ τελευτῆσαι. καὶ φαμὲν ὅτι τὸ πρὸς τῇ Παλλήνῃ μέρος φίλιον ἦν τοῖς Ἀθηναίοις, τὸ δὲ πρὸς Ὀλύνθῳ ἐχθρόν. εἰκότως οὖν ἠμέλητο τὸ τοῦ

1. ξυνεπολέμει A.B.F.H.N.c.f. g.h. vulgo ἐπολέμει.

ἑρμυλίων A.B.F.H.g. vulgo σερμυλίων.

Σερμυλίων] Quod in Reg. et Cass. est Ἑρμυλίων, id eo pertinere puto, quod Casaub. ad Strab. l. p. 50. adnotat, multorum nominum initiis modo Σ, modo adspirationem præponi. Add. Holsten. ad Steph. v. Ἡρακλεία, et Reland. I. Dissert. 4. §. 5. Schol. Reg. hic, Ἑρμυλίων ἢ Σερμυλίων, Ἑρμυλὶς ἡ Σερμυλίς. Urbem Stephanus vocat Σερμυλίαν. ubi vid. Holsten. Duk.

2. ὅπῃ] ὅπως Tusanus.

4. μὲν] om. e.

5. καὶ βοττικὴν] om. d.

Βοττικὴν] Regio est inter Axii et Ludiæ ostia. Vid. Herodotum VII. 123. 127. qui Βοττιαῖδα. Livium XXVI. 25. Plin. IV. 11. trans Strymonem perperam locat. MSS. et Auctores universi τ geminant, ut a Botyæo vel Botyeio Phrygiæ distinguatur. Vid. et Dionys. Halicarn. p. 196. Immani errore Diodorus XII. p. 311. εἰς Πακτωλὸν τῆς Βοττικῆς exhibet: ubi meo periculo legas Σπαρτωλὸν, ut ipse alicubi Thucydides, et Suidas. De *gentis* origine Aristoteles apud Plutarchum in Theseo, p. 7. et Quæst. Rom. p. 298. ubi μηθὲν ex MS. P. legendum. In hac regione civitas Castoria; auctor Cantacuzenus 275. illam denique et totam provinciam a Barbaris excisam narrat p. 303. Adi Suidam v. Νίκαια. Wass.

8. προγεγένητο c. προσγεγένητο i.

10. τε] μὲν C.e. om. c.

11. δ'] om. d.

ἐς] αἰτία ἐς K.

Atheniensibus natarum.

πόλιν ξυμμαχίδα καὶ φόρου ὑποτελῆ ἀπέστησαν, καὶ ἐλθόντες σφίσιν ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο μετὰ Ποτιδαιατῶν. οὐ μέντοι ὅ γε πόλεμός πω ξυνερρώγει, ἀλλ' ἔτι ἀνακωχὴ ἦν· ἰδίᾳ γὰρ ταῦτα οἱ Κορίνθιοι ἔπραξαν.

67. Instigantibus Corinthiis Spartam vocatur concilium Peloponnesiorum, ac potestate accusandi Athenienses omnibus facta, prodeunt singuli, post omnes autem Corinthii Lacedæmonios incitare conantur.

* πολιορκουμένης δὲ τῆς Ποτιδαίας οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων, καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες· παρεκάλουν τε εὐθὺς ἐς τὴν Λακεδαίμονα τοὺς ξυμμάχους, καὶ κατεβόων ἐλθόντες τῶν Ἀθηναίων, ὅτι σπονδάς τε λελυκότες εἶεν καὶ ἀδικοῖεν τὴν Πελοπόννησον. Αἰγινῆταί τε φανερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον, λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς. οἱ δὲ Λακεδαιμόνιοι, προσπαρακαλέσαντες τῶν ξυμμάχων τε καὶ εἴ τίς τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ Ἀθηναίων, ξύλλογον σφῶν αὐτῶν ποιήσαντες τὸν εἰωθότα λέγειν ἐκέλευον. καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι καὶ Μεγαρῆς, δηλοῦντες μὲν καὶ

Φορμίωνος μέρος, ὡς ἱκανῶν ὄντων τῶν Παλληνέων τὸ καθ' ἑαυτοὺς μέρος φυλάσσειν. 2. Σφίσιν] ἀπὸ κοινοῦ τὸ, ὅτι οἱ Κορίνθιοι. 3. Ὅγε πόλεμος] ὁ Πελοποννησιακὸς, φησὶ, πόλεμος οὔπω συνεκροτήθη. Ξυνερρώγει] συνεστέτακει. 5. Οὐχ ἡσύχαζον] οἱ Κορίνθιοι. 12. Αὐτόνομοι] αἱ γὰρ σπονδαὶ εἶχον τὰς ἀγράφους τῶν πόλεων αὐτονόμους εἶναι. Αἰγινήτας δὲ, μὴ ἐγγεγραμμένους ταῖς σπονδαῖς, ὑφ' ἑαυτοὺς εἶχον οἱ Ἀθηναῖοι. Κατὰ τὰς σπονδάς] κατὰ τὴν συμφωνίαν τῶν σπονδῶν. 15. Ξύλλογον σφῶν] τὸν εἰωθότα λέγει ξύλ-

3. τω] γε d.
ξυνερρώγη e.
4. ἀνακοχὴ g.
10. τε A.B.C.F.H.L.O.c.e. g.h.
12. τὰς] om. N.
13. προσκαλέσαντες g.
14. τε om. F.H.f.g.h.
ἔφη ἄλλο f. ἄλλος ἔφη Tusanus.
ὑπὸ τῶν ἀθ. d.i.
16. ἄλλα τε C.G.I.K.c.d.e. ἄλλοτε B.
παρόντες L.P.
17. Μεγαρεῖς] Semel de diversa scriptura horum nominum, quale hic unum habes, te monebo, eam in meo veteri exemplari esse potius per η ut hic in Marg. habes Μεγαρῆς, quum in textu (ut vulgo vocant) sit Μεγαρεῖς. Sic Πλαταιεῖς et Πλαταιῆς (ut alia pleraque hujusmodi omittam) legitur. Sed hoc Ἀττικώτερον sicut et ἱκνῆς, quod apud Aristophanem quoque invenies. Steph.

ἕτερα οὐκ ὀλίγα διάφορα, μάλιστα δὲ λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ Ἀθηναίων ἀρχῇ καὶ τῆς Ἀττικῆς ἀγορᾶς παρὰ τὰς σπονδάς. παρελθόντες δὲ τελευταῖοι Κορίνθιοι, καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παροξῦναι τοὺς Λακεδαιμονίους, ἐπεῖπον τοιάδε.

Eorum oratio 68—71. Primum accusant Lacedæmonios securitatis et negligentiæ, eoque nomine eos cum Athe-

* "ΤΟ ΠΙΣΤΟΝ ὑμᾶς, ὦ Λακεδαιμόνιοι, τῆς καθ' "ὑμᾶς αὐτοὺς πολιτείας καὶ ὁμιλίας ἀπιστοτέρους ἐς "τοὺς ἄλλους, ἤν τι λέγωμεν, καθίστησι· καὶ ἀπ' αὐ"τοῦ σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ πλέονι πρὸς τὰ "ἔξω πράγματα χρῆσθε. πολλάκις γὰρ προαγορεύον"των ἡμῶν ἃ ἐμέλλομεν ὑπὸ Ἀθηναίων βλάπτεσθαι,

λογον, ὅτι ἐν πανσελήνῳ ἐγίγνετο ἀεί. 1. Μάλιστα δὲ λιμένων τε εἴργεσθαι] φασὶν ὅτι Περικλῆς, μέλλων λόγον δοῦναι τῶν χρημάτων τοῦ ἀγάλματος, ὃ κατεσκεύασεν ὁ Φειδίας, ἠθύμει. ἰδὼν οὖν αὐτὸν ὁ Ἀλκιβιάδης παῖς ὤν, ἤρετο ὅ τι ἀθυμεῖ. τοῦ δὲ φήσαντος ὅτι διὰ τοῦτο ἀθυμῶ, ὅπως δώσω λόγον τῶν χρημάτων, ἐκεῖνος φθάσας εἶπε, μᾶλλον σκόπει ὅπως μὴ δώσεις. ὁ δὲ ὑπολαβὼν τὸν λόγον, εἰσάγει ψῆφον εἰς τὴν πόλιν κατὰ Μεγαρέων, ἀξιῶν αὐτοὺς εἴργεσθαι λιμένων καὶ ἀγορᾶς. καὶ τῶν Ἀθηναίων θορυβηθέντων αὐτὸς ἐκφεύγει. οἱ δὲ φασὶν ὅτι διὰ τοῦτο τὴν ψῆφον εἰσήγαγε, διότι οἱ Μεγαρεῖς Ἀσπασίαν τὴν διδάσκαλον Περικλέους ὕβρισαν, πόρνην αὐτὴν ἀποκαλέσαντες. 6. Τὸ Πιστὸν ὑμᾶς] τὸ πιστὸν, ὦ Λακεδαιμόνιοι, τῆς καθ' ὑμᾶς αὐτοὺς πολιτείας καὶ ὁμιλίας, ἀπιστοτέρους ὑμᾶς ἐς τοὺς ἄλλους Ἕλληνας, ἤν τι λέγωμεν, καθίστησι. 7. Ἀπιστοτέρους] ὑμᾶς ἀπίστους, μὴ πειθομένους. 9. Πρὸς τὰ ἔξω πράγματα] πρὸς τὰ τῶν συμμάχων.

Etiam Hudsonus verbo monet, scripturam hujusmodi nominum in Codicibus vetustis, tam per εις, quam ης esse. Inane est discrimen, quod inter propria et appellativa e Chœrobosco adfertur in Etymol. M. v. ἱππῆς. Ὡς ἕκαστοι sæpe dicit Thucyd. Vid. Indic. In qua formula περισσῶς poni τὸ ὡς adnotatum est in Reg. et Cass. ad cap. 15. Vid. Gronov. ad Lucian. I. Var. Hist. p. 648. τὸ μέσον δὲ οἱ σύμμαχοι, ὡς ἕκαστοι. Ubi imitatus est Thucydidem I. 48. Duk.

1. Εἴργεσθαι] De hoc Periclis decreto vid. Aristoph. B. 1337. A. 531. et Tzetzen Chil. XI. 955. versum 961. ex MS. ita suppleas, τὴν Ἀσπασίας οὖσαν γὰρ Μεγαρικὴν ἑταίραν, et legendum συνευνέτιν. Wass.

2. τῶν] om. K.

3. τελευταῖον L.O.P.Q.

οἱ κορ. c.d.g.h.i.

6. ὑμῶν G.

9. πλέονι A.B.C.F.H.K.N.O. P.Q.c.d.e.f.g.h.i. vulgo πλείονι.

11. μέλλομεν e.

ἀπὸ K. om. cum ipso ἀθηναίων g.

niensibus comparant. Deinde tarditatem quandam consilii Lacedæmoniis exprobrant, qua minime pares sint Atheniensibus, summa ingenii agilitate conspicuis, cum Spartani a veteribus institutis numquam recedere velint. Denique minantur defectionem, nisi fortiter socios suos Lacedæmonii defendant.

" οὐ περὶ ὧν ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖ-
" σθε, ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε ὡς ἔνεκεν
" τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσι· καὶ δι' αὐτὸ οὐ
" πρὶν πάσχειν, ἀλλ' ἐπειδὴ ἐν τῷ ἔργῳ ἐσμὲν, τοὺς
" ξυμμάχους τούσδε παρεκαλέσατε, ἐν οἷς προσήκει
" ἡμᾶς οὐχ ἥκιστα εἰπεῖν, ὅσῳ καὶ μέγιστα ἐγκλήματα
" ἔχομεν, ὑπὸ μὲν Ἀθηναίων ὑβριζόμενοι, ὑπὸ δὲ ὑμῶν
" ἀμελούμενοι. καὶ εἰ μὲν ἀφανεῖς που ὄντες ἠδίκουν
" τὴν Ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ εἰδόσι προσεδεῖ·
" νῦν δὲ τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους
" ὁρᾶτε, τοῖς δ' ἐπιβουλεύοντας αὐτοὺς, καὶ οὐχ ἥκιστα
" τοῖς ἡμετέροις ξυμμάχοις, καὶ ἐκ πολλοῦ προπαρε-
" σκευασμένους, εἴ ποτε πολεμήσονται; οὐ γὰρ ἂν Κέρ-
" κυράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον καὶ Ποτίδαιαν

5. Παρεκαλέσατε] κυρίως παρακαλεῖν ἐστὶν ἢ τὸ καλεῖν, ἢ τὸ προτρέπεσθαι· ἄκυρον γὰρ τὸ δέεσθαι. Ἐν οἷς προσήκει] ἐντεῦθεν οἱ ἀγῶνες καὶ τὸ δίκαιον. 6. Ἐγκλήματα ἔχ.] κατὰ τῶν Ἀθηναίων καὶ ὑμῶν δηλονότι. 8. Ἀφανεῖς που ὄντες] ἤγουν λεληθότως. 9. Προσέδει] ὑμῖν τοῖς Λακεδαιμονίοις] 10. Τοὺς μὲν δεδουλωμένους] τοὺς Αἰγινήτας. 11. Τοῖς δ' ἐπιβουλεύοντας] Ποτιδαιάταις καὶ Μεγαρεῦσι. 12. Ἐκ πολλοῦ προπαρεσκευασμένους] ὡς συνειδότας τὰς ἑαυτῶν ἁμαρτίας, καὶ γιγνώσκοντας ὡς πάντως οὐκ ἀνεξόμεθα, ἀλλὰ πολεμήσομεν. Προπαρασκευασμένους] ἀπὸ κοινοῦ τὸ ὁρᾶτε. 13. Ἄρα] ἐν ἄλλῳ οὐ κεῖται τὸ ἄρα.

2. ὑπονοεῖτε b.
ἕνεκεν A.B.C.F.H.f.g.
5. παρεκελεύσατε P.
6. ἡμᾶς] om. L.
7. ἀθηναίων μὲν A.
9. ὡς] om. K.P.
11. τοὺς δ' O.c.h.
12. ὑμετέροις f.
13. post ποτε omisi ἄρα cum A.B.C.F.G.N.c.e.f.g.h.
14. τε] om. K.d.

Thom. Mag. in ὑπάγω h. l. adferens τε omittit. In Cass. est interpretatio δεξάμενοι. Eodem modo ὑπολαβόντες exponit Scholiastes vulgatus VIII. 105. et I. 121. ὑπολαβεῖν, δέξασθαι. Stephanus putat præpositione ὑπὸ hic indicari Athenienses Corcyram clam et per insidias partibus suis adjunxisse, non aperto Marte occupasse: nam et eamdem vim habere in hoc verbo VI. 58. τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν. Habet omnino significationem occultæ et clandestinæ molitionis. I. 143. Εἴ τε μισθῷ μείζονι πειρῶντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν· id est, ut Scholiastes, ὑποκλέπτειν. Duk.

" ἐπολιόρκουν, ὧν τὸ μὲν ἐπικαιρότατον χωρίον πρὸς τὰ
" ἐπὶ Θράκης ἀποχρῆσθαι, ἡ δὲ ναυτικὸν ἂν μέγιστον
" παρέσχε Πελοποννησίοις. * καὶ τῶνδε ὑμεῖς αἴτιοι, τό 69.
" τε πρῶτον ἐάσαντες αὐτοὺς τὴν πόλιν μετὰ τὰ Μηδι-
" κὰ κρατῦναι, καὶ ὕστερον τὰ μακρὰ στῆσαι τείχη, ἐς
" τόδε τε ἀεὶ ἀποστεροῦντες οὐ μόνον τοὺς ὑπ' ἐκείνων
" δεδουλωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ὑμετέρους
" ἤδη ξυμμάχους· οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυ-
" νάμενος μὲν παῦσαι περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ,
" εἴπερ καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς ὡς ἐλευθερῶν τὴν

1. Ἐπικαιρότατον] ἁρμοδιώτατον. Ἐπικαιρότατον χωρίον] ἡ Ποτίδαια. 2. Ἐπιχρῆσθαι] ἀποχρῆσθαι, ἐνέργειαν ποιεῖν. Ἡ δὲ ναυτικὸν ἄν] ἡ δὲ ἔδωκεν ἂν συμμαχίαν ναυτικὴν, εἰ πόλεμος γενήσεται δηλονότι. 4. Μετὰ τὰ Μηδικὰ] μετὰ τὸν πόλεμον τὸν Μηδικόν. 5. Κρατῦναι] ἰσχυροποιῆσαι. Ἐς τόδε] μέχρι τοῦδε. 8. Οὐ γὰρ ὁ δουλωσάμενος] τὸ σχῆμα συλλογισμός. 9. Τοῦτο] τὸ δουλοῦν. 10. Εἴπερ] ἐπεί. Τὴν ἀξίωσιν τῆς ἀρετῆς φέρεται] τὸ σεμνο-

2. ἀποχρῆσθαι A.B.C.F.G.H. K.L.N.O.b.c.d.e.g.h.i. χρῆσθαι f. vulgo ἐπιχρῆσθαι.

Ἐπιχρῆσθαι] Ἀποχρῆσθαι est ex interpretatione. Wass. Stephanus in Thes. scribit, in vulg. Lexicis citari ἀποχρῆσθαι τὰ ἐπὶ Θράκης, pro *obtinere Thraciam*: sed sine nomine auctoris, cujus si non auctoritas, at certe fides exemplarium desiderari possit. Apparet, auctores Lexicorum ante oculos habuisse hæc verba Thucydidis; sed iidem perperam omiserunt præpositionem πρὸς, qua addita plane alia est syntaxis. Utrum autem legendum sit ἐπιχρῆσθαι, an ἀποχρῆσθαι, non definio. Hoc plurium MSS. et Edd. auctoritate nititur, quam ἐπιχρῆσθαι, et videtur illi hic accommodari posse ea significatio, quam in Plutarchi et Luciani locis apud Stephanum habet. Scholiastes Cass. non habet scholion illud, quod est in edito. Suidas dicit, ἐπιχρῆσθαι apud Thucyd. esse τὸ πολλάκις κεχρῆσθαι. Duk.

3. τοῖς πελ. B.C.L.N.O.Q.e. g.h.

Τῶνδε ὑμεῖς αἴτιοι — κρατῦναι] Inter exempla σφοδρότητος in oratione refert Aristid. Rhetor. in Lib. de Dict. civ. cap. 5. item quod mox sequitur, ἠσυχάζετε γὰρ μόνοι Ἑλλήνων, pro quo habet ἡσ. δὲ μόνοι τῶν Ἑλλ. Pro κρατῆσαι τὴν πόλιν ibi recte emendatum est κρατῦναι. Duk.

5. τείχη στῆσαι C.G.c.e.f.

6. ἀπορροῦντες e.

ἐκείνῳ A.

8. Οὐ γὰρ ὁ δουλ.—δρᾷ] Stobæus p. 311. et Hermogenes Aldi, qui minus recte ὁ μὲν δουλ. Wass. Δεδουλωμένος e Thucydide laudat Pollux III. 75. Duk.

10. Ἀξίωσιν—φέρεται] Cit. Th. Mag. in ἀξιῶ. Si μάλις cum MSS.

" Ἑλλάδα φέρεται. μόλις δὲ νῦν τε ξυνήλθομεν, καὶ
" οὐδὲ νῦν ἐπὶ φανεροῖς. χρῆν γὰρ οὐκ εἰ ἀδικούμεθα ἔτι
" σκοπεῖν, ἀλλὰ καθ' ὅτι ἀμυνούμεθα. οἱ γὰρ δρῶντες
" βεβουλευμένοι πρὸς οὐ διεγνωκότας ᾖδη καὶ οὐ μέλ-
" λοντες ἐπέρχονται. καὶ ἐπιστάμεθα οἷα ὀδῷ οἱ Ἀθη-
" ναῖοι καὶ ὅτι κατ' ὀλίγον χωροῦσιν ἐπὶ τοὺς πέλας.
" καὶ λανθάνειν μὲν οἰόμενοι διὰ τὸ ἀναίσθητον ὑμῶν ἧσ-
" σον θαῤῥοῦσι, γνόντες δὲ εἰδότας περιορᾶν ἰσχυρῶς ἐγ-
" κείσονται. ἡσυχάζετε γὰρ μόνοι Ἑλλήνων, ὦ Λακε-
" δαιμόνιοι, οὐ τῇ δυνάμει τινὰ ἀλλὰ τῇ μελλήσει
" ἀμυνόμενοι καὶ μόνοι οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν
" ἐχθρῶν διπλασιουμένην δὲ καταλύοντες. καίτοι ἐλέ-
" γεσθε ἀσφαλεῖς εἶναι, ὧν ἄρα ὁ λόγος τοῦ ἔργου ἐκρά-
" τει. τόν τε γὰρ Μῆδον αὐτοὶ ἴσμεν ἐκ περάτων γῆς

λόγημα, τὸ ἀξίωμα τῆς δικαιοσύνης ἔχει. 2. Οὐδὲ νῦν ἐπὶ φανεροῖς] καὶ νῦν γάρ, φησὶν, ἀμφιβάλλεται, εἰ ἀδικούμεθα. 3. Οἱ γὰρ δρῶντες] οἱ γὰρ Ἀθηναῖοι πρὸς οὐ διεγνεκότας ἡμᾶς. οἱ γὰρ μετὰ σκέψεως εἰς τὴν πρᾶξιν ἐρχόμενοι, οὐκ ἀναβεβλημένως ἔρχονται κατὰ τῶν ἀγνοούντων. 5. Οἷᾳ ὀδῷ] οἷᾳ τρόπῳ. 6. Ἐπὶ τοὺς πέλας] ἐπὶ τοὺς Λακεδαιμονίους. 7. Διὰ τὸ ἀναίσθητον] διὰ τὴν ἄγνοιαν. 8. Ἰσχυρῶς ἐγκείσονται] μετὰ βάρους ἐπιτεθήσονται. 9. Ἡσυχάζετε γὰρ μόνοι] ἐπιπλήττων κολακεύει. 13. Ἀσφαλεῖς εἶναι] πρόσεκτικοι, ἐν οὐδενὶ σφαλλόμενοι. Ὧν ἄρα] γράφεται ἂν ἄρα. Ὁ λόγος τοῦ ἔργου ἐκράτει] τουτέστιν, ὁ λόγος ψευδὴς ἦν τοῦ ὑμᾶς ἀσφα-

intellige βραδέως. Si μόγις, μετὰ βίας, quomodo utrumque Atticis in usu esse ait Th. Magister. At certe apud Homerum confunduntur. Denique μόγος et μόλος idem sonant. Wass.

1. φαίνεται A.B.h.

2. ἔτι σκοπεῖν] ἐπισκοπεῖν F.

4. μέλλοντας e.g.

5. Καὶ ἐπιστάμεθα οἷᾳ ὀδῷ] Ulpian. in Prolegom. ad Demosth. Olynthiacas observat imitationem Demostheneam hujus loci: sed e memoria laudat, καὶ ἴσμεν οἷᾳ ὀδῷ χωροῦσιν οἱ Ἀθηναῖοι ἐπὶ τοὺς πέλας. Duk.

οἱ om. F.

9. ἡσυχ. μὲν γὰρ F.H.N.

11. αὔξησιν] δύναμιν C.I.K.L. O.P.Q.c.d.e.i.

Αὔξησιν] Quidam MSS. δύναμιν, sed ex interprete. Firmat Diodorus, ubi Thucyd. fere exscribit. p. 262. d. 268. et alibi. Wass.

12. δὲ καταλύοντες] καταλύετε I.

λέγεσθε C.c.d.

13. ὄν] ἂν γρ. A.

" πρότερον ἐπὶ τὴν Πελοπόννησον ἐλθόντα, ἢ τὰ παρ'
" ὑμῶν ἀξίως προαπαντῆσαι· καὶ νῦν τοὺς Ἀθηναίους
" οὐχ ἑκὰς, ὥσπερ ἐκεῖνον, ἀλλ' ἐγγὺς ὄντας περιορᾶτε,
" καὶ ἀντὶ τοῦ ἐπελθεῖν αὐτοὶ ἀμύνεσθαι βούλεσθε μᾶλ-
" λον ἐπιόντας, καὶ ἐς τύχας πρὸς πολλῷ δυνατωτέρους
" ἀγωνιζόμενοι καταστῆναι ἐπιστάμενοι καὶ τὸν βάρβα-
" ρον αὐτὸν περὶ αὐτῷ τὰ πλείω σφαλέντα, καὶ πρὸς
" αὐτοὺς τοὺς Ἀθηναίους πολλὰ ἡμᾶς ἤδη τοῖς ἁμαρ-
" τήμασιν αὐτῶν μᾶλλον ἢ τῇ ἀφ' ὑμῶν τιμωρίᾳ περι-
" γεγενημένους, ἐπεὶ αἵ γε ὑμέτεραι ἐλπίδες ἤδη τινάς
" που καὶ ἀπαρασκεύους διὰ τὸ πιστεῦσαι ἔφθειραν.
" καὶ μηδεὶς ὑμῶν ἐπ' ἔχθρᾳ τὸ πλέον ἢ αἰτίᾳ νομίσῃ
" τάδε λέγεσθαι· αἰτία μὲν γὰρ φίλων ἀνδρῶν ἐστὶν
" ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων. * καὶ 70.
" ἅμα, εἴπερ τινὲς καὶ ἄλλοι, ἄξιοι νομίζομεν εἶναι τοῖς
" πέλας ψόγον ἐπενεγκεῖν, ἄλλως τε καὶ μεγάλων τῶν
" διαφερόντων καθεστώτων, περὶ ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν
" γε δοκεῖτε, οὐδ' ἐκλογίσασθαι πώποτε πρὸς οἵους ὑμῖν

λεῖς εἶναι. 1. Ἢ τὰ παρ' ὑμῶν] τὸ ἢ ἀντὶ τοῦ ἤπερ. δηλοῖ δὲ αὐτῶν τὸ ἀκηρών. 2. Ἀξίως] ἀξιομάχως. 5. Καὶ ἐς τύχας] καταστῆναι. ὁ γὰρ πρὸς μείζονα πολεμῶν τύχην καλεῖται συνεργόν. 7. Περὶ αὐτῷ] ἐν τῷ στενῷ τῆς Σαλαμῖνος τολμήσαντα ναυμαχῆσαι, ὅστις ἐγένετο αἴτιος τῆς ἥττης. Πρὸς αὐτοὺς τοὺς Ἀθηναίους] ἀντὶ τοῦ αὐτῶν τῶν Ἀθηναίων. 12. Ἡ αἰτίᾳ] τὸ ἢ ἀντὶ τοῦ ἀλλά. 13. Φίλων ἀνδρῶν] λείπει ἡ κατά. 14. Καὶ ἅμα, εἴπερ τινὲς] ἐπειδὴ ἐπέπληξεν ὁ Κορίνθιος, λέγει τοίνυν ὅτι οὐχ ὁ τυχὼν

1. ἢ τὰ] εἶτα A.I.
2. προσαπαντῆσαι c.
καὶ τοὺς νῦν L.P.Q.
6. καταστῆσαι b.
7. αὐτῷ] αυτὸν K.
10. γε] τε A.F.H.c.f.g.
12. τὸ πλεῖον g.
Αἰτίᾳ] Confer Isocratem Paneg. p. 98, 20. Wass.
13. γενέσθαι pr. K.
15. ἄξιοι νομίζομεν A.B.F.H.c. g.h. vulgo νομίζομεν ἄξιοι.
Ἄξιοι—ἐπενεγκεῖν] Plutarch. de Adul. 71. (Tom. 6. p. 264 R.) ubi pro τοῖς πέλας legit ἑτέροις. Ibi pro ὑπερείδει, lege ὑπερείπει καὶ διεργάζεται τὴν κακίαν. Supra ἐπ' ἔχθρᾳ. Vid. Euripidem Hec. 1237. Wass.
17. καθεστώτων] om. C.e.
18. γε] om. d.e.g.

" Ἀθηναίους ὄντας, καὶ ὅσον ὑμῶν καὶ ὡς πᾶν διαφέ-
" ροντας, ὁ ἀγὼν ἔσται. οἱ μέν γε νεωτεροποιοὶ καὶ ἐπι-
" νοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ ἃ ἂν γνῶσιν· ὑμεῖς
" δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδὲν καὶ
" ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι. αὖθις δὲ οἱ μὲν καὶ
" παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταὶ
" καὶ ἐπὶ τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον τῆς τε
" δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βε-
" βαίοις πιστεῦσαι, τῶν τε δεινῶν μηδέποτε οἴεσθαι ἀπο-
" λυθήσεσθαι. καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς μελλητὰς
" καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους· οἴονται γὰρ οἱ

εἰμι, καὶ μὴ ἀπαξιώσῃς ὑπ' ἐμοῦ ἀνειδιζόμενος. 2. Νεωτεροποιοὶ] οἱ νεωτέρων πραγμάτων ἐφιέμενοι. Καὶ ἐπινοῆσαι ὀξεῖς] πᾶν νόημα καὶ πρᾶξαι. οὐ γὰρ δύναμιν λέγει, ἐπεὶ ἀπότροπὴ τὸ τοιοῦτόν ἐστιν. 3. Ἐπιτελέσαι] ὀξεῖς ἀπὸ κοινοῦ. 5. Οὐδὲ τἀναγκαῖα] οὐδὲ τῶν ἀναγκαίων περιγενέσθαι. τὸ δὲ ἐξικέσθαι ἀντὶ τοῦ ἀρκεῖν. 9. Πιστεῦσαι] θαρρῆσαι. 10. Μελλητὰς] ἀναβεβλημένους. 11. Ἀποδημηταὶ] ὑπερόριοι τῆς οἰκείας πατρίδος. Πρὸς ἐνδημοτάτους] ἤγουν ἀποδημοῦσι τῆς οἰκείας πατρίδος, καὶ ἐπιδημοῦσι δήμοις

2. Νεωτεροποιοὶ] Ita Codices et Scholiastæ in Thucyd. Hermogen. p. 133. Dion. Halic. p. 219. ad ἐξικέσθαι, qui τὰ ἀναγκαῖα non male repræsentat. vide eundem p. 220. 45. Wass.

3. ἔργων c. et omisso ἂν d.

4. τε] om. L.P.Q.c.

5. Αὖθις δὲ οἱ μὲν] Ipse Dionysius elegantiam hujusce loci in Rhetoricis annotat; et in Historia sua p. 355. sic imitatur: δι' ἣν καὶ παρὰ γνώμην τολμηταὶ γίνονταί τινες καὶ παρὰ δύναμιν μαχηταί. Livius etiam l. 45. c. 23. in oratione legatorum Rhodiorum locum hunc Latine est interpretatus. *Atheniensium populum* (inquit) *fama est celerem et supra vires audacem esse ad conandum: Lacedæmonium cunctatorem, et vix in ea, quibus fidit, ingredientem.* Huds. Observarunt hoc etiam H. Steph. ad Dion. Hal. c. XVI. et Casaub. ad eumd. p. 26. Steph. quoque in Dicæarchi Sympract. p. 69. scribit, se de hoc loco Thucydidis egisse in suis Schediasmat. et duo ex eo menda sustulisse: de quo in Schediasm. illius editis nihil invenio. Dux.

7. ἐπὶ A.B.F.H.K.N.d.g.h.i. vulgo ἐν.

10. καὶ ante ἄοκνοι om. L.O. P.d.

11. Ἀποδημηταὶ π. ἐνδ.] Agn. Pollux IX. 9. Vocem ἐνδ. servant Hesiodus, Xenoph. Aristoteles. Lex vetus apud Æschinem in Tim. Μηδὲ ἀρξάτω ἀρχὴν μηδεμίαν, μήτ' ΕΝΔΗΜΟΝ, μήθ' ΥΠΕΡΟΡΙΟΝ. Sic ξεῖνον τῷ ἐνδήμῳ opponit Theognis 792. Dion. Halicarn. Ant. V. 55. αἱ ταῖς γίνονται μηνυταὶ πρὸς τὸν ΕΝΔΗ-

" μὲν τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι, ὑμεῖς δὲ τῷ ἐπελθεῖν
" καὶ τὰ ἑτοῖμα ἂν βλάψαι. κρατοῦντές τε τῶν ἐχθρῶν
" ἐπὶ πλεῖστον ἐξέρχονται, καὶ νικῶμενοι ἐπ' ἐλάχιστον
" ἀναπίπτουσιν. ἔτι δὲ τοῖς μὲν σώμασιν ἀλλοτριωτά-
" τοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ γνώμῃ δὲ οἰκειοτάτῃ
" ἐς τὸ πράσσειν τι ὑπὲρ αὐτῆς. καὶ ἃ μὲν ἂν ἐπινοή-
" σαντες μὴ ἐξέλθωσιν, οἰκεῖα στέρεσθαι ἡγοῦνται, ἃ δ'
" ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα
" τυχεῖν πράξαντες. ἣν δ' ἄρα καί του πείρᾳ σφαλῶ-
" σιν, ἀντελπίσαντες ἄλλα ἐπλήρωσαν τὴν χρείαν· μό-
" νοι γὰρ ἔχουσί τε ὁμοίως καὶ ἐλπίζουσιν ἃ ἂν ἐπινοή-
" σωσι, διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι ὧν ἂν
" γνῶσι. καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι'

ἀλλοτρίοις πρὸς τὸ κτήσασθαι αὐτούς. 1. Τῷ ἐπελθεῖν] οἴεσθε, φησὶν, ὅτι, ἐὰν ἐπέλθητέ τισι, καὶ τὰ ὑπάρχοντα ὑμῖν ἀπόλλυται. 2. Τὰ ἑτοῖμα ἂν] τὰ ὑπάρχοντα, τὰ ἑτοίμην ἀπόλαυσιν ἔχοντα. 3. Ἐπ' ἐλάχιστον] ἀντὶ τοῦ οὐδὲ ἐλάχιστον. 4. Ἀναπίπτουσι] ἢ ἀναπαύονται, ἢ ἀθυμοῦσι. Ἀλλοτριωτάτοις] λείπει τὸ ὡς, ἵν' ᾖ, ὡς ἀλλοτρίοις. 5. Οἰκειοτάτῃ] πρὸς τὴν πατρίδα δηλονότι. 7. Μὴ ἐκπεξέλθωσι] μὴ πράξωσι. 8. Πρὸς τὰ μέλλοντα] ἀπὸ κοινοῦ, ἡγοῦνται. 10. Μόνοι γὰρ ἔχουσι] τὸ δ' ἑξῆς οὕτω· μόνοι γὰρ, φησὶν, ἃ ἂν γνῶσιν, ἐλπίζουσί τε ὁμοίως καὶ ἔχουσι, διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι. πρῶτον γάρ τις ἐπινοεῖ, εἶτα ἐλπίζει, καὶ

ΜΟΝΤΝΤΑ τῶν ὑπάτων· sic etiam ἐκδημῆσαι Clem. Alexand. στρωμ. IV. p. 640. ΈΚΔΗΜΗΝΣΑΙ ἐκ τοῦ σώματος καὶ ΈΝΔΗΜΗΝΣΑΙ πρὸς τὸν Θεόν. Wass. Add. Spanhem. ad Callim. Hymn. in Apoll. v. 13. et Interpretes Pollucis l. d. Dux.

1. ἐπελθεῖν d. cum Tusano.

2. τε] δὲ K. om. g.

3. ἐκπεξέρχονται L.O.P.

4. Ἀναπίπτουσιν] Athenæus lib. I. τὸ ἀναπίπτειν κυρίως ἐπὶ ψυχὴν ἐστιν, οἷον ἀθυμεῖν, ὀλιγωρεῖν. Eadem fere verba occurrunt apud Suidam. Huds. Citat Eustath. p. 1641. 7. et Suidas in ἀναπίπτειν ex Athenæi I. p. 23. Wass.

5. γνώμῃ δὲ A.B.F.H.c.f.g.h. vulgo δὲ γνώμῃ.

οἰκειοτάτῃ—109, 7. ἀδυνάτων] om. e.

7. ἐξέλθωσιν A.B.F.g.h. vulgo ἐκπεξέλθωσιν. Cf. 3, 108.

οἰκεῖα A.B.F.K.d.g.h.i.

9. καίτου A.B.g.h. του καὶ C. F.G.H.K.L.O.b.c.f.i. vulgo του καὶ.

10. ἄλλα] ἅμα O.

11. ὁμοίως καὶ A.B.C.F.H.K.L. M.N.O.b.c.d.f.g.h.i. vulgo καὶ ὁμοίως.

12. ποιεῖσθαι τὴν ἐπιχείρησιν C.

13. πόνου K.

" ὅλου τοῦ αἰῶνος μοχθοῦσι, καὶ ἀπολαύουσιν ἐλάχιστα
" τῶν ὑπαρχόντων, διὰ τὸ ἀεὶ κτᾶσθαι καὶ μήτε ἑορτὴν
" ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι, ξυμφοράν
" τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα ἢ ἀσχολίαν ἐπίπο-
" νον. ὥστε εἴ τις αὐτοὺς ξυνελὼν φαίη πεφυκέναι ἐπὶ
" τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀν-
71. " θρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι. * ταύτης μέντοι τοιαύτης
" ἀντικαθεστηκυίας πόλεως, ὦ Λακεδαιμόνιοι, διαμέλ-
" λετε, καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων
" ἐπὶ πλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια
" πράσσωσι, τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ
" ἐπιτρέψοντες, ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε ἄλλους καὶ
" αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι τὸ ἴσον νέμετε. μό-

εἶθ' οὕτως ἐπιχειραῖ, ὕστερον δὲ καὶ κτᾶται. 2. Καὶ μήτε ἑορτὴν] αἰνίττεται εἰς τοὺς Λάκωνας, οἵτινες ἐν ἑορτῇ οὐκ ἐστράτευον. 4. Ἡ ἀσχολίαν ἐπίπονον] ἀπὸ κοινοῦ τὸ ἡγεῖσθαι. 9. Οὐ τούτοις τῶν ἀνθρώπων] ὁ νοῦς τῶν λεγομένων τοιοῦτος, Νομίζετε οὐ τούτοις τῶν ἀνθρώπων δεῖν παραμένειν τὴν ἡσυχίαν καὶ εἰρήνην, οἳ τῇ μὲν διαγωγῇ καὶ παρασκευῇ εἰρηναίως διάγουσι, τῇ δὲ γνώμῃ φανεροὶ ὦσιν ὡς ἀμυνοῦνται, ἢν ἀδικῶνται. θέλει δὲ εἰπεῖν, ὡς ὑμεῖς αὐτοί, ὦ Λακεδαιμόνιοι, οὐ ποιεῖτε τοῦτο. ταῦτα τινὲς μὲν κατ' ἐρώτησιν, τινὲς δὲ κατὰ ἀπόφασιν ἀνέγνωσαν. 12. Μὴ λυπεῖν τε] οὔτε ἀδικεῖν βούλεσθε, καὶ ἀδικούμενοι ἀμύνεσθε· καὶ διὰ τοῦτο τὸ ἴσον

1. Αἰῶνος] Ex Homero Od. σ'. 202. ἵνα μηκέτ' ἰδυρομένη κατὰ θυμὸν ΑΓΩΝΑ φθονίθω. Wass.

2. ἑορτὴν ἢ ἄλλα K.i.

Ἑορτὴν] Huc spectat Origenes contra Celsum VIII. 392. Δῆλον, ὅτι οἱ τὸ θεῖον ἐξητασμένοις σέβειν θέλοντες ΕΥ'ΑΟΓΟΥ̓Ν τι πράττοιεν, μεταλαμβάνωσι τῶν δημοτελῶν ἑορτῶν· ἑορτὴ γὰρ, ὥς φησί τις καὶ τῶν Ἑλληνικῶν σοφῶν, καλῶς λέγων, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ τὰ δέοντα πράττειν. ubi sententia summi viri μὴ μεταλ. cum MS. flagitat. Sallust. in Orat. Marii. *Sudorem, pulverem, et alia talia relinquant nobis, quibus illa* EPULIS *juncundiora sunt.* D. Joan. IV. 34. ἐμὸν ΒΡΩ'ΜΑ' ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με. Ubi v. 30. θ. οὖν, nam hujusmodi particulas fere negligit. Probant Alex. Cant. et 18. MSS. et Æthiop. Confer Dionem XXXVIII. p. 83. d. Ælian. V. H. XIII. 1. Pindar. Nem. VIII. Ὅλων λόγοι φθονεροῖς. Hesiod. apud Polybium p. 489. Antiphont. apud Stobæum p. 97. Wass.

8. καθεστηκυίας d.

9. οὐ] μὴ L. om. d.

12. Post τε omisi τοὺς cum A. B.F.H.N.f.g.h.

" λις δ' ὧν πόλει ὁμοίᾳ παροικοῦντες ἐτυγχάνετε τού-
" του· νῦν δ', ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα
" ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δ'
" ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν· καὶ ἡσυ-
" χαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς
" πολλὰ δὲ ἀναγκαζομένοις ἴεναι πολλῆς καὶ τῆς ἐπι-
" τεχνήσεως δεῖ. διόπερ καὶ τὰ τῶν Ἀθηναίων ἀπὸ τῆς
" πολυπειρίας ἐπὶ πλέον ὑμῶν κεκαίνωται. μέχρι μὲν
" οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής· νῦν δὲ τοῖς τε ἄλ-
" λοις καὶ Ποτιδαιάταις, ὥσπερ ὑπεδέξασθε, βοηθήσατε
" κατὰ τάχος ἐσβαλόντες ἐς τὴν Ἀττικήν, ἵνα μὴ ἄν-
" δρας τε φίλους καὶ ξυγγενεῖς τοῖς ἐχθίστοις πρόπαθε,
" καὶ ἡμᾶς τοὺς ἄλλους ἀθυμίᾳ πρὸς ἑτέραν τινὰ ξυμ-
" μαχίαν τρέψητε. δρῶμεν δ' ἂν ἄδικον οὐδὲν οὔτε πρὸς

νέμετε. 1. Ὁμοίᾳ] ὁμογνώμονι, τὰ ἴσα ζηλούσῃ. 2. Ἀρχαιότροπα] οἷαν ἁπλᾶ καὶ ἀφελῆ. προεῖπε δὲ τοὺς Ἀθηναίους νεωτεροποιούς. 4. Ὥσπερ τέχνης] παρὰ τὸ Ὁμηρικὸν, Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι, Ἥ τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται (Od. I, 351.) Ἀεὶ τὰ ἐπιγιγνόμενα] τοῦτο πρὸς τὰ ἀρχαιότροπα. οὐκ ἔδει, φησὶν, ὑμᾶς ἀεὶ τοιούτους εἶναι, καὶ ἀρχαῖα ἔθη ζηλοῦν. 6. Ἐπιτεχήσεως] ἐπιτεχνήσεως, ἐξευρέσεως. ἐπιμένει δὲ τῇ παραβολῇ. 8. Κεκαίνωται] κεκαινοτόμηται. 9. Νῦν δὲ] οἱ ἐπίλογοι ἐντεῦθεν. 10. Ὑπεδέξασθε] ὑπέσχοντο γὰρ ἀνωτέρω τοῖς Ποτιδαιάταις. 12. Ξυγγενεῖς] Δωριεῖς γὰρ οἱ Ποτιδαιᾶται. 13. Πρὸς ἑτέραν τινὰ] πρὸς τοὺς Ἀργείους· ἐχθροὶ γὰρ ἦσαν τοῖς Λακεδαιμονίοις. 14. Δρῶμεν δ' ἂν ἄδικον οὐδὲν] ἐπειδὴ εἶπεν ὁ Κορίνθιος πρὸς ἑτέραν συμμαχίαν τραπεῖσθαι, μὴ βοηθούμενος ὑπὸ τῶν Λακεδαιμονίων, νῦν τοῦτο κατασκευάζει, καὶ λέγει ὅτι οὐδὲν ἄδικον δρῶμεν, εἰ πρὸς ἑτέρους τραπῶμεν συμμάχους. αἰνίττεται δὲ τοὺς Ἀργείους, οἵτινες ἐχθρωδῶς διέκειντο πρὸς τοὺς

2. Νῦν δ' ὅπερ—δεῖ Stobæus pag. 244. ubi ἀρχαιότροπα ἡμῶν, pro νόμιμα, μόνιμα, et ἀναγκαζομένους corrupte, at pro δ' rectius utroque loco δὲ exhibet. Wass.

6. ἀναγκαζομένη O. ἀναγκαζομάνης c.

τῆς] om. A.B.F.H.c.g.h.i.

7. ὑπὸ K.

8. κεκαίνωται g. κεκένωται C. ἐπικεκαίνωται i.

Μέχρι μὲν οὖν τοῦδε] Inter exempla βαρύτητος ponit Aristides, de Dictione civ. cap. II. sed habet μέχρις οὖν, et διωρίσθω. Duk.

9. οὖν] om. L.i.

10. καὶ τοῖς ποτιδ. F.H.N.

11. ἐσβάλλοντες O.

14. μηδὲν i.

" θεῶν τῶν ὁρκίων οὔτε πρὸς ἀνθρώπων τῶν αἰσθανομένων·
" λύουσι γὰρ σπονδὰς οὐχ οἱ δι' ἐρημίαν ἄλλοις προσ-
" ιόντες, ἀλλ' οἱ μὴ βοηθοῦντες οἷς ἂν ξυνομόσωσι. Βου-
" λομένων δὲ ὑμῶν προθύμων εἶναι μενοῦμεν· οὔτε γὰρ
" ὅσια ἂν ποιοῖμεν μεταβαλλόμενοι, οὔτε ξυνηθεστέρους
" ἂν ἄλλους εὕροιμεν. πρὸς τάδε βουλεύεσθε εὖ, καὶ τὴν
" Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι ἢ οἱ
" πατέρες ὑμῖν παρέδοσαν."

72. Athenienſium legati, qui tum forte, aliud quidem, agentes, Lacedæmone erant, non alienum ducentes, et ipsos prodire, et, de ſumma re et opibus ſuis verba facientes,

Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον. τῶν δὲ Ἀθηναίων ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα, καὶ ὡς ἤσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων περὶ μηδὲν ἀπολογησομένους, ὧν αἱ πόλεις ἐνεκάλουν, δηλῶσαι δὲ περὶ τοῦ παντὸς ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλείονι σκεπτέον. καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο σημῆναι, ὅση εἴη δύναμιν, καὶ ὑπόμνησιν ποιήσασθαι τοῖς τε πρεσβυτέροις ὧν ἤδεσαν,

Λακεδαιμονίους. 1. Ὁρκίων] τῶν ἐφόρων τῶν ὅρκων. Αἰσθανομένων] ἤτοι τῶν ζώντων, ἢ τῶν φρονίμων, ἢ τῶν ἡρώων. 2. Δι' ἐρημίαν] συμμαχίας δηλονότι. Προσιόντες] καὶ ἐπικαλούμενοι συμμαχεῖν. 4. Μενοῦμεν] ἤγουν ἐν τῇ ὑμετέρᾳ συμμαχίᾳ. 7. Ἐξηγεῖσθαι] ἄρχειν, κρατεῖν, ἢ ἄγειν. 9. Τοιαῦτα μὲν οἱ Κορίνθιοι] ἐμέρισε πρὸς μὲν τὴν κατηγορίαν τῶν Κορινθίων τὴν ἀπολογίαν τῶν Ἀθηναίων, πρὸς δὲ τὴν ἐπίληξιν αὐτῶν τὴν ἀντίθεσιν Ἀρχιδάμου τοῦ Λακεδαιμονίου. Ἔτυχε γὰρ πρεσβεία] ἤγουν, ἔτυχον παρόντες πρέσβεις. 11. Παριτητέα] δίκαιον εἶναι παρίεναι. 13. Μηδὲν ἀπολογησομένους] ὡς μέγα φρονῶν ὁ Ἀθηναῖος οὐδὲ ἀπολογεῖται, ὡς κηδόμενος τῶν Λακεδαιμονίων. Αἱ πόλεις] αἱ σύμμαχοι τῶν Λακεδαιμονίων. 16. Σημῆναι] τὸ σημῆναι Ἰακόν. πλὴν τὸ σημᾶναι πλείονα ἔχει

6. Τὴν Πελοπόννησον] Lectionem margini adscriptam (τῆς πελοποννήσου—ἐλάσσονος) non dubito, quin amplecti oporteat, ut verbum ἐξηγεῖσθαι suum genitivum habeat. Steph. Dion. Halicarn. tamen p. 135. habet τὴν Πελοπόννησον, et ἐξηγεῖσθαι hic pro προάγειν ἔξω τὴν Πελοπόννησον ἡγουμένους αὐτῆς poni scribit. Duk.

7. ἔλαττον Dionysius de Thucyd. p. 803.

11. αὐτοὺς d.

παριτέα h.

15. πλείονι A.B.F.H.c.f.g.h. vulgo πλέονι.

16. δύναμιν εἴη K.

17. ποιήσεσθαι A.B.F.H.c.f.g.

καὶ τοῖς νεωτέροις ἐξήγησιν ὧν ἄπειροι ἦσαν, νομίζοντες μᾶλλον ἂν αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν τραπέσθαι ἢ πρὸς τὸ πολεμεῖν. προσελθόντες οὖν τοῖς Λακεδαιμονίοις ἔφασαν βούλεσθαι καὶ αὐτοὶ ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν, εἴ τι μὴ ἀποκωλύοι. οἱ δ' ἐκέλευόν τε ἐπίεναι, καὶ παρελθόντες οἱ Ἀθηναῖοι ἔλεγον τοιάδε. Lacedæmonios a bello deterrere; copia dicendi impetrata, orationem habent.

* "Ἡ μὲν πρέσβευσις ἡμῶν οὐκ ἐς ἀντιλογίαν τοῖς 73—78.
" ὑμετέροις ξυμμάχοις ἐγένετο, ἀλλὰ περὶ ὧν ἡ πόλις Dissuadent Lacedæmoniis bellum cum Atheniensibus, memorantes primum, quid hi de ipsis meruerint bello Persico, et ostendentes, injustum esse odium Peloponnesio-
" ἔπεμψεν· αἰσθόμενοι δὲ καταβοὴν οὐκ ὀλίγην οὖσαν
" ἡμῶν παρήλθομεν, οὐ τοῖς ἐγκλήμασι τῶν πόλεων ἀν-
" τεροῦντες (οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν οὔτε ἡμῶν οὔτε
" τούτων οἱ λόγοι ἂν γίγνοιντο) ἀλλ' ὅπως μὴ ῥᾳδίως
" περὶ μεγάλων πραγμάτων τοῖς ξυμμάχοις πειθόμενοι
" χεῖρον βουλεύσησθε, καὶ ἅμα βουλόμενοι περὶ τοῦ
" παντὸς λόγου τοῦ ἐς ἡμᾶς καθεστῶτος δηλῶσαι, ὡς

τὴν εὐρύτητα. 6. Παρελθόντες] ἐπελθόντες ἐπὶ ξένων, παρελθόντες ἐπὶ ἰδίων. 7. Ἡ μὲν πρέσβευσις] ἡ στάσις πραγματική· τὸ μέλλον γὰρ ζητεῖ. Ταύτην ἐκλάσατο οἰκονομικῶς τὴν δημηγορίαν ὁ συγγραφεὺς, χαίρων ταῖς ἀντιθέτοις δημηγορίαις ἀεί. Ὅτι ἡ πρέσβευσις, ἡ καταβόησις καὶ τὸ καταβοὴν, παρὰ Θουκυδίδῃ ἰδίως. Οὐκ ἐς ἀντιλογίαν τοῖς ἡμετέροις ξυμμάχοις] οὐκ ἐπρεσβεύσαμεν εἰς τὸ ἀντειπεῖν τοῖς συμμάχοις ἡμῶν. 9. Καταβοὴν] κατηγορίαν. 12. Ἀλλ' ὅπως μὴ ῥᾳδίως] οἱ γὰρ κατά τινος στρατεύοντες ἢ ὡς ἀδικούμενοι τοῦτο ποιοῦσιν, ἢ ὡς εὐτελοῦς καὶ καταφρονουμένου. τεχνικῶς δὲ ὁ Ἀθηναῖος δείκνυσιν ἑαυτὸν καὶ δίκαιον καὶ μέγαν καὶ οὐκ εἰκα-

2. ἂν recepi ex A.B.F.H.N.g. τρέπεσθαι I.L.O.P.

5. εἴτι correctus A. ἀποκωλύει F.H.K.c.d.i. ἀποκωλύῃ A.B.f.g.h. ἐκέλευον b.

6. ἐπιέναι A.B.F.H.K.M.N.b. d.h.i. περιέναι Q. vulgo παριέναι. Conf. 1, 90. ἐπέρχεται ἐπὶ τὸ κοινόν, 1, 91. ἐπελθὼν τοῖς λακεδαιμονίοις. 1, 119. τελευταῖοι ἐπελθόντες ἔλεγον.

7. πρεσβευσία Dionys. p. 794. πρεσβεία nescio quis Paris.

9. αἰσθανόμενοι C.

Dionys. Halicarn. p. 133. in Thucydide reprehendit καταβολὴ, tamquam poëticum. Sed Wass. pro eo haud dubie recte cum Sylburgio legit καταβοή. Pro πρεσβευσία etiam quidam MSS. Dionys. habent πρέσβευσις. Duk.

10. Παρήλθομεν] Huc spectant verba Suidæ v. παρελθεῖν pro αὐτίκα, ἐπελθεῖν, inquit, τὸ ἀναβαλλόμενον χρόνῳ τοῦτο διαπράξασθαι. Hæc interpretatio huic loco minus convenit. Hesych. παρ. εἰσ-

rum in Athenienses, utpote iis fere conflari solitum, qui imperarent, maxime si cum æquitate imperarent; denique belli discrimina demonstrantes.

" οὔτε ἀπεικότως ἔχομεν ἃ κεκτήμεθα, ἥ τε πόλις ἡμῶν
" ἀξία λόγου ἐστί. καὶ τὰ μὲν πάνυ παλαιὰ τί δεῖ λέ-
" γειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες ἢ ὄψεις τῶν
" ἀκουσομένων; τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε,
" εἰ καὶ δι' ὄχλου μᾶλλον ἔσται ἀεὶ προβαλλομένοις, ς
" ἀνάγκη λέγειν· καὶ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελείᾳ
" ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου μέρος μετέσχετε, τοῦ δὲ
" λόγου μὴ παντὸς, εἴ τι ὠφελεῖ, στερισκώμεθα. ῥηθή-
" σεται δὲ οὐ παραιτήσεως μᾶλλον ἕνεκα ἢ μαρτυρίου

ταφρώνητον. 1. Ἃ κεκτήμεθα] ἤγουν τὴν τῶν Ἑλλήνων ἀρχήν. 2. Ἀξία λόγου] ἀξιέπαινος. Πάνυ παλαιὰ] τὰ κατὰ Ἀμαζόνας καὶ Θρᾷκας καὶ Ἡρακλείδας φησίν. 4. Τὰ δὲ Μηδικὰ] ἀεὶ γὰρ ἐμεγαλαύχουν οἱ Ἀθηναῖοι διὰ τὰ Μηδικά. 7. Ἐκινδυνεύετο] μετὰ κινδύνων ἐπράττετο. Τοῦ μὲν ἔργου μέρος] ἐπειδὴ ἕως Μυκάλης ἐδίωξαν, οἱ δὲ Ἀθηναῖοι ἕως Παμφυλίας. 8. Μὴ παντὸς] μὴ παντὸς εἶπε διὰ τὰ τοῦ Κίμωνος ἔργα. τὸ δὲ στερισκώμεθα ἐν ἤθει ἀναγνωστέον. 9. Οὐ παραιτήσεως] οὐχὶ ἕνεκα τοῦ αἰτεῖν

ωλθόντων. Wass. Suidas locum illum descripsit e Scholiasta Thucyd. ad I. 90. Duk.

3. ὧν αἱ ἀκοαὶ Q.

μᾶλλον] om. P.

ὄψις B.C.F.H.I.K.N.c.d.f.g. h.i.

4. Τὰ δὲ Μ.—προβαλλόμενοι] Suidas in προβάλλεσθαι, qui etiam αὐτοὶ cum quibusdam MSS. et Valla, εἰ vero omittit. Wass. Dion. Halicarn. p. 134. inter ἰδιώματα Thucydidis ait esse commutationes masculinorum et fœmininorum a communi forma loquendi remotas, et pro exemplo adfert ὄχλον pro ὄχλησιν. Sed tamen etiam alii, iique probatissimi, Scriptores ita utuntur voce ὄχλος. Et Grammatici hac significatione ὄχλον potius, quam ὄχλησιν, dicendum esse præcipiunt. Vid. Ammon. et Th. Mag. Quæ sequuntur ita ordinat Perizon. ad Sanct. Minerv. I. 6. ἀνάγκη ἡμῖν ἀεὶ προβαλλομένοις λέγειν, et locum vertit: *necesse est, nos, qui semper ea proferimus, apud vos quoque illa dicere, licet minus grata vobis futura.* In Porti versione Latina recte est, *quod hæc semper proferamus*, non *quæ*, ut hic. Duk.

αὐτοὶ A.B.F.H.K.O.g. ceteri αὐτοῖς.

6. Καὶ γὰρ ὅτε ἐδρῶμεν, &c.] Hunc locum imitatus est Demosthenes in oratione *pro corona*: ἃ πολλῶν μὲν ἕνεκα, εἰκότως ἀκούσατέ μου, μάλιστα δὲ αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε. Huds.

7. ἐκινδυνεύετε C.I.

οἷς F.

κατέσχετε d.i.

τοῦ] μὴ O.P.

8. στερισκώμεθα A.B.H.I.O.g. vulgo στερισκόμεθα.

9. παραινέσεως O.

" καὶ δηλώσεως, πρὸς οἵαν ὑμῖν πόλιν μὴ εὖ βουλευο-
" μένοις ὁ ἀγὼν καταστήσεται. φαμὲν γὰρ Μαραθῶνί
" τε μόνοι προκινδυνεῦσαι τῷ βαρβάρῳ, καὶ ὅτε τὸ ὕστε-
" ρον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες κατὰ γῆν ἀμύνεσθαι, ἐσ-
" βάντες ἐς τὰς ναῦς πανδημεὶ ἐν Σαλαμῖνι ξυνναυμα-
" χῆσαι, ὅπερ ἔσχε μὴ κατὰ πόλεις αὐτὸν ἐπιπλέοντα
" τὴν Πελοπόννησον πορθεῖν, ἀδυνάτων ἂν ὄντων πρὸς ναῦς
" πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν. τεκμήριον δὲ μέγιστον
" αὐτὸς ἐποίησε· νικηθεὶς γὰρ ταῖς ναυσὶν, ὡς οὐκέτι
" αὐτῷ ὁμοίας οὔσης τῆς δυνάμεως, κατὰ τάχος τῷ
" πλέονι τοῦ στρατοῦ ἀνεχώρησεν. *τοιούτου μέντοι ξυμ- 74.
" βάντος τούτου, καὶ σαφῶς δηλωθέντος ὅτι ἐν ταῖς ναυ-
" σὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο, τρία τὰ ὠφε-
" λιμώτατα ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖ-
" στον καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον καὶ προθυμίαν

συγγνώμην φησί. 3. Προκινδυνεῦσαι] μετὰ κινδύνου μαχέσασθαι τῷ βαρβάρῳ ἐν Μαραθῶνι, πρὸ τῆς Ἑλλάδος κινδυνεῦσαι. τοὺς δὲ Πλαταιεῖς εἰασεν, ὅτι ὕστερον παρεγένοντο. 5. Πανδημεὶ] καὶ γέροντες καὶ νέοι. 6. Ἔσχεν] ἐπέσχε, διεκώλυσε. 10. Τῷ πλέονι τοῦ στρατοῦ] λαβὼν τὸ πλέον τοῦ στρατοῦ. 11. Τοιούτου] θαυμαστικῶς τοῦτο φησίν. 12. Ἐν ταῖς ναυσὶ] ἦγουν ἡ βοήθεια τῶν Ἑλληνικῶν πραγμάτων ἐν ταῖς ναυσὶν ἦν. 14. Ἀριθμόν τε νεῶν] ταῦτα πάντα παρ' Ἡροδότῳ κεῖται κατὰ διέξοδον.

1. μὴ] οὐκ d.
βεβουλευμένοις c. βουλομένοις d.
2. Μαραθῶνί] In Clem. Alex. VI. Strom. p. 626. perperam Μαραθωνῖται μόνοι προκινδυνεῦσαι, ται pro τε, errore obvio. Sylburgio ibi non venit in mentem locus Thucydidis. Dukr.
3. Προκινδυνεῦσαι] Hinc decantatum illud mutuatus est jusjurandum Demosthenes: Οὐκ ἔστιν ὅπως ἡμάρτετε· οὐ ΜΑ' τοὺς ἐν Μαραθῶνι ΠΡΟΚΙΝΔΥΝΕΥΣΑΝΤΑΣ, &c. Vid. Plutarch. de Gloria Athen. Quintilian. XII. 10. Lucian. in Demosth. Encom. et Longinum cap. XVI. mox v. 7. ἂν ὄντων MS8. ut p. 107, 2. Wass.
τὸ] om. N.
4. ἀμύνασθαι g.
7. τήν τε πελ. B.g.h.
ἂν addidi ex A.B.F.H.I.K.L. N.O.c.d.f.g.h.i.
11. πλείονι g.h.
ξυμβάντος τούτου A.B.F.H.c.g.h. vulgo τούτου ξυμβάντος.

" ἀοκνοτάτην, ναῦς μέν γε ἐς τὰς τετρακοσίας ὀλίγῳ
" ἐλάσσους δύο μοιρῶν, Θεμιστοκλέα δὲ ἄρχοντα, ὃς
" αἰτιώτατος ἐν τῷ στενῷ ναυμαχῆσαι ἐγένετο, ὅπερ σα-
" φέστατα ἔσωσε τὰ πράγματα, καὶ αὐτὸν διὰ τοῦτο
" ὑμεῖς δὴ μάλιστα ἐτιμήσατε ἄνδρα ξένον τῶν ὡς ὑμᾶς 5
" ἐλθόντων. προθυμίαν δὲ καὶ πολὺ τολμηροτάτην ἐδεί-
" ξαμεν, οἵ γε, ἐπειδὴ ἡμῖν κατὰ γῆν οὐδεὶς ἐβοήθει,
" τῶν ἄλλων ἤδη μέχρι ἡμῶν δουλευόντων ἠξιώσαμεν,
" ἐκλιπόντες τὴν πόλιν καὶ τὰ οἰκεῖα διαφθείραντες,

2. Δύο μοιρῶν] ἀντὶ τοῦ τὸ δίμοιρον, ὅ ἐστι διακόσιαι ἐξήκοντα· ἦσαν γὰρ αἱ πᾶσαι τετρακόσιαι, κατὰ δὲ ἄλλους τετρακόσιαι ὀγδοήκοντα. τοῦτο οὖν λέγει, ὅτι αὐτοὶ ἡμεῖς τὸ δίμοιρον δεδώκαμεν. 3. Ἐν τῷ στενῷ] ἐν τῇ Σαλαμῖνι. 8. Τῶν ἄλλων ἤδη μέχρι ἡμῶν] Μακεδόνων, Θεσσαλῶν, Λοκρῶν, Βοιωτῶν, Φωκέων. μέχρι τῆς πόλεως ἡμῶν. Ἠξιώσαμεν] ἄξιον ἐκρίναμεν. 9. Διαφθείραντες] τὸ διαφθείραντες τινές φασι τὸ διαφθαρῆναι ἐάσαντες· ἄλλοι δὲ παριστοροῦσιν ὅτι αὐτοὶ οἱ Ἀθηναῖοι αὐτοχειρὶ τὴν πόλιν κατέβαλον, ἵνα μὴ ἔχῃ αὐτῇ ὁ βάρβαρος ὡς ὁρμητηρίῳ χρῆσθαι πρὸς τὴν Ἑλλάδα. Ἄλλως· οὐκ ἐπὶ τῆς πόλεως εἴληπται, ἀλλ' ἐπὶ τῶν σκευῶν τῶν ἐν ταῖς οἰκίαις καὶ τῆς ἄλλης περιουσίας, ἣν οὐκ ἦν δυνατὸν ὑπεκθέσθαι οὔτε ἐν ταῖς ναυσὶ φέρειν. τάχα δὲ καὶ ἐπὶ κυνῶν καὶ βοσκημάτων τοῦτο συν-

1. Ναῦς ἐς τὰς τετρακοσίας] Numerum posuit rotundum navium Græcarum, ut et Demosth. de Cor. c. 70. τριακοσίων οὐσῶν τῶν πασῶν τριήρων. τὰς διακοσίας ἡ πολις (Atheniensium) παρέσχετο. Sic reliqui oratores; v. c. Isocr. Paneg. c. 31. κεκτημένοι τριήρεις διπλασίας μὲν, ἢ σύμπαντες οἱ ἄλλοι. Lys. Epit. p. 105. Reisk. Ita secundum Diod. Sic. L. XV. 58. Athenienses ducentas naves dederunt. Accuratius si numerum navium ineamus, classis fuit 378. navium (Herod. VIII. c. 48.) Athenienses secundum Herodotum (VIII. 44.) miserunt 180. naves. cf. Plut. in Them. c. 14. p. 467. Egregie egerunt de hac re Valken. ad Herod. L. VIII. p. 619. et 640. et Morus ad Isocr. Pan. p. 71. Gottl.

μέν τοιγε d.i.

τριακοσίας I.L.O.

2. ἐλάττους g.h.

Ante δύο omisi τῶν cum B.C. F.G.H.I.N.c.e.f.b. et A. qui litteras ους ου in litura habet plurium capace.

3. σαφῶς F.H.

4. αὐτοὶ A.H.K.d.g.h.i.

τοῦτο δὴ μάλιστα ὑμεῖς ἐτιμήσατε ἄνδρα B. τοῦτο δὴ μάλιστα ἐτιμήσατε ἄνδρα A.F.H.d.e.g.h.i. τοῦτο δὲ μάλ. ἐτ. ἄν. N. vulgo τοῦτο ὑμεῖς ἐτιμήσατε μάλιστα δὴ ἄνδρα.

5. Ἐτιμήσατε] Vid. Plut. in Them. c. 17. p. 472.

ὡς] εἰς L.

" μηδ' ὡς τὸ τῶν περιλοίπων ξυμμάχων κοινὸν προλιπεῖν,
" μηδὲ σκεδασθέντες ἀχρεῖοι αὐτοῖς γενέσθαι, ἀλλ' ἐσ-
" βάντες ἐς τὰς ναῦς κινδυνεῦσαι, καὶ μὴ ὀργισθῆναι ὅτι
" ἡμῖν οὐ προετιμωρήσατε. ὥστε φαμὲν οὐχ ἧσσον αὐτοὶ
" ὠφελῆσαι ὑμᾶς ἢ τυχεῖν τούτου. ὑμεῖς μὲν γὰρ ἀπό
" τε οἰκουμένων τῶν πόλεων καὶ ἐπὶ τῷ τὸ λοιπὸν νέμε-
" σθαι, ἐπειδὴ ἐδείσατε ὑπὲρ ὑμῶν καὶ οὐχ ἡμῶν τὸ
" πλέον, ἐβοηθήσατε (ὅτε γοῦν ἦμεν ἔτι σῶοι, οὐ παρε-
" γένεσθε)· ἡμεῖς δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώμενοι,
" καὶ ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες,
" ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος καὶ ἡμᾶς αὐτούς. εἰ δὲ
" προσεχωρήσαμεν πρότερον τῷ Μήδῳ, δείσαντες ὥσπερ
" καὶ ἄλλοι περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμήσαμεν ὕστερον
" ἐσβῆναι ἐς τὰς ναῦς ὡς διεφθαρμένοι, οὐδὲν ἂν ἔτι ἔδει
" ὑμᾶς μὴ ἔχοντας ναῦς ἱκανὰς ναυμαχεῖν, ἀλλὰ καθ'
" ἡσυχίαν ἂν αὐτῷ προεχώρησε τὰ πράγματα ἢ ἐβού-
" λετο. * ἆρ' ἄξιοί ἐσμεν, ὦ Λακεδαιμόνιοι, καὶ προθυ- 75.

νοηθῆναι δύναται. 1. Μηδ' ὡς] ποιητικῶς, μηδ' οὕτως. Προλιπεῖν] μὴ προλιπεῖν ἠξιώσαμεν, ἀλλὰ βοηθῆσαι. 2. Σκεδασθέντες] εἰς ἄλλας χώρας. Αὐτοῖς] τοῖς συμμάχοις φησίν. 3. Καὶ μὴ ὀργισθῆναι] ἀπὸ κοινοῦ, ἠξιώσαμεν, ἀλλὰ βοηθεῖν ὑμῖν τοῖς Λακεδαιμονίοις. 5. Ἡμεῖς μὲν γὰρ] κατασκευὴ τοῦ νοήματος. 6. Τὸ λοιπὸν] χρόνου. 8. Οὐ παρεγένεσθε] εἰς βοήθειαν. 9. Οὐκ οὔσης ἔτι] οὐκ οὔσης τῆς πόλεως, ἐν βραχείᾳ ἐλπίδι αἱ τριήρεις ἢ τὰ σώματα τῶν ἀνθρώπων. 12. Προσεχωρήσαμεν] οἱ Ἀθηναῖοι προσῆλθομεν. 13. Ἄλλοι] οἱ Θηβαῖοι δηλονότι. Περὶ τῇ χώρᾳ] ἑαυτῶν δηλονότι. 14. Διεφθαρμένοι] ἀλλὰ μεταναστῆναι εἰς ἄλλην χώραν, ὡς ἀπῴλιδες. Οὐδὲν ἂν ἔτι ἔδει] τὸ ἐξῆς, οὐδὲν ἂν ἔδει ὑμᾶς τοὺς Λακεδαιμονίους ναυμαχεῖν. 15. Μὴ ἔχοντας ναῦς ἱκανὰς] δέκα γὰρ εἶχον μόνας ναῦς. Καθ' ἡσυχίαν] ἀμαχητί. 16. Προεχώρησε] προσῆλθε. 17. Ἆρ' ἄξιοί ἐσμεν] ἐν ἐρωτήσει. ἆρα, φησὶν, ἄξιοι ἐσμὲν ἕνεκα τῆς ἀρετῆς ἡμῶν

2. γενέσθαι αὐτοῖς g.h.
6. τὸ] om. A.B.g.h.i.
12. μήδῳ] μήπω C.
13. ᾖ] καὶ K.d.i.
14. ἔδει ἔτι C.K.L.O.P.Q.d.e.i.
16. προσεχώρησε B.g.
ᾖ] ὡς c. ᾗ d.
17. Ἆρ' ἄξιοί ἐσμεν] Hermog. Lib. II. περὶ ἰδεῶν cap. 8. e memoria, ut puto, ἆρα ἄξιοι δοκοῦμεν ὑμῖν ὦ Λακεδαιμόνιοι; et inter exempla βαρύτητος orationis ponit. Duk.
καὶ] τῆς c.d.

" μίας ἕνεκα τῆς τότε καὶ γνώμης ξυνέσεως, ἀρχῆς γε
" ἧς ἔχομεν τοῖς Ἕλλησι μὴ οὕτως ἄγαν ἐπιφθόνως δια-
" κεῖσθαι; καὶ γὰρ αὐτὴν τήνδε ἐλάβομεν οὐ βιασάμενοι,
" ἀλλ' ὑμῶν μὲν οὐκ ἐθελησάντων παραμεῖναι πρὸς τὰ
" ὑπόλοιπα τοῦ βαρβάρου, ἡμῖν δὲ προσελθόντων τῶν
" ξυμμάχων καὶ αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι·
" ἐξ αὐτοῦ δὲ τοῦ ἔργου κατηναγκάσθημεν τὸ πρῶτον
" προαγαγεῖν αὐτὴν ἐς τόδε, μάλιστα μὲν ὑπὸ δέους,
" ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον καὶ ὠφελείας· καὶ οὐκ
" ἀσφαλὲς ἔτι ἐδόκει εἶναι τοῖς πολλοῖς ἀπηχθημένους,
" καί τινων καὶ ἤδη ἀποστάντων κατεστραμμένων, ὑμῶν
" τε ἡμῖν οὐκέτι ὁμοίως φίλων ἀλλ' ὑπόπτων καὶ δια-
" φόρων ὄντων, ἀνέντας κινδυνεύειν· καὶ γὰρ ἂν αἱ ἀπο-
" στάσεις πρὸς ὑμᾶς ἐγίγνοντο. πᾶσι δὲ ἀνεπίφθονον τὰ
" ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι.
76. " * ὑμεῖς γοῦν, ὦ Λακεδαιμόνιοι, τὰς ἐν τῇ Πελοποννήσῳ
" πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον καταστησάμενοι ἐξηγεῖ-

μὴ φθονεῖσθαι τῆς ἀρχῆς; 1. Γνώμης ξυνέσεως] ἧγουν προαιρέσεως. 4. Πρὸς τὰ ὑπόλοιπα τοῦ βαρβάρου] πρὸς τὴν ὑπολειφθεῖσαν μάχην. ἕως γὰρ Μυκάλης μόνη ἦλθεν οἱ Λακεδαιμόνιοι. 7. Ἐξ αὐτοῦ δὲ τοῦ ἔργου] ἐκ τῆς φύσεως αὐτῆς τοῦ πράγματος. λέγει δὲ τῆς ἀρχῆς· ὁ γὰρ ἄρχων ἀεὶ μισεῖται. 8. Τὸ δέους] τοῦ βαρβάρου, ἢ τῶν κακῶς παθόντων ἐν τῇ ἀρχῇ ὑπηκόων. 9. Καὶ ὠφελείας] τοῦ φόρου δηλονότι. 11. Καί τινων καὶ ἤδη] ταῦτα δηγεῖται ἐν τῇ πεντηκοστῇ τετρίδι. 12. Διαφόρων] ἐχθρῶν. καὶ οὐκ ἂν ἠλευθέρωντο· ὥστε οὐκ ἠδίκουν. 13. Ἀνέντας] ἀπολύσαντας. 14. Ἀνεπίφθονον] ἄμεμπτον, ἄψογον. 15. Τῶν μεγίστων πέρι] ταυτὸν εἰπεῖν, ἀντὶ τοῦ, ἵνα μὴ ἐμπέσῃ εἰς μεγίστους κινδύνους. Εὖ τίθεσθαι] καλῶς οἰκονομεῖν. 16. Ὑμεῖς γοῦν] τὸ ἐγκαλούμενον τοῖς Ἀθηναίοις, τὸ δουλώσασθαι τοὺς συμμάχους, ἀνθυποφέρει τοῖς Λακεδαιμονίοις· ἐξηγεῖσθαι γὰρ λέγει καὶ αὐτοὺς κατὰ τὸ αὐτοῖς ὠφέλιμον. 17. Ἐπὶ τὸ ὑμῖν ὠφέλιμον] τὴν

1. καὶ γνώμης καὶ ξ. N.c.
γε L.O.Q.
2. ἧς] om. P.
ὄντως Q.
5. τῶν βαρβάρων K.
9. δὲ] om. C.K.L.O.P.i.
11. καὶ ante ἤδη om. f.
ἤδη] δὴ d.
12. τε καὶ ἡμῖν O.
οὐκέτι] τε C.
φίλων ὄντων ἀλλὰ K.
15. τίθεσθαι] πείθεσθαι B.
17. ὑμῖν C.O.P.e.
ἐξηγῆσθε K.

" σθε· καὶ εἰ τότε ὑπομείναντες διὰ παντὸς ἀπήχθησθε
" ἐν τῇ ἡγεμονίᾳ ὥσπερ ἡμεῖς, εὖ ἴσμεν μὴ ἂν ἧσσον
" ὑμᾶς λυπηροὺς γενομένους τοῖς ξυμμάχοις, καὶ ἀναγ-
" κασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς ἢ αὐτοὺς κινδυνεύειν.
" οὕτως οὐδ' ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν οὐδ'
" ἀπὸ τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδομένην ἐδε-
" ξάμεθα, καὶ ταύτην μὴ ἀνείμεν, ὑπὸ τῶν μεγίστων
" νικηθέντες, τιμῆς καὶ δέους καὶ ὠφελείας, οὐδ' αὖ
" πρῶτοι τοῦ τοιούτου ὑπάρξαντες, ἀλλ' ἀεὶ καθεστῶτος
" τὸν ἧσσω ὑπὸ τοῦ δυνατωτέρου κατείργεσθαι, ἄξιοί τε
" ἅμα νομίζοντες εἶναι, καὶ ὑμῖν δοκοῦντες, μέχρι οὗ τὰ
" ξυμφέροντα λογιζόμενοι τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε, ὃν

ἡγεμονίαν αὐτοῖς φησὶν ὠφέλιμον. 1. Τότε] ἀπὸ τῆς Μυκάλης δηλονότι. Ἀπήχθεσθε] οἱ γὰρ ἄρχοντες μισοῦνται· φιλελεύθερον γὰρ τὸ ἀνθρώπινον. 4. Ἐγκρατῶς] ἰσχυρῶς. 6. Διαδιδομένην] κατὰ διαδοχὴν διδομένην. 7. Ἀνεῖμεν] ἐλαττοῦμεν. 8. Καὶ ὠφελείας] τοῦ ἄρχειν δηλονότι. 9. Καθεστῶτος] νομίμου ὄντος, νομιζομένου. 10. Κατείργεσθαι] κατέχεσθαι, ἄρχεσθαι, δουλοῦσθαι. Ἄξιοί τε ἅμα] ὁ νοῦς τῶν λεγομένων, ἄξιοι τοῦ ἄρχειν καὶ ὑμῖν αὐτοῖς ἐδοκοῦμεν, μέχρις οὗ τὰ συμφέροντα λογιζόμενοι ἦτε, τοντέστιν, ἐν τῷ προλαβόντι χρόνῳ· νῦν, ἐν τῷ ἐνεστῶτι χρόνῳ, τῷ δικαίῳ λόγῳ χρῆσθε, τῷ τῆς ἐλευθερίας τῶν Ἑλλήνων δηλονότι· κρίνοντες δίκαιον ὑπάρχειν νῦν ἐλευθέρους εἶναι τοὺς Ἕλληνας. 11. Τὰ ξυμφέροντα] ἀπὸ κοινοῦ τὸ νῦν, καὶ δηλοῖ ἐνταῦθα τὸν παρῳχημένον χρόνον. 12. Δικαίῳ λόγῳ] δίκαιον λόγον λέγει τὴν ἐλευθερίαν τῶν Ἑλλήνων. Νῦν χρῆσθε] ἐνταῦθα τὸ νῦν ἐνεστῶτα χρόνον δηλοῖ. Ὃν οὐδείς πω] ὁ νοῦς τοιοῦτος· ὅντινα δίκαιον λόγον οὐδεὶς πώποτε προκρίνας, ἀπετράπετο τοῦ πλέον ἔχειν τι κτήσασθαι. τὸ δὲ μή περιττῶς κεῖται Ἀττικῇ συνηθείᾳ, ὡς καὶ παρὰ Δη-

1. ἀπήχθησθε A.B.F.H.g. vulgo ἀπήχθεσθε.

6. ἀνθρωπείου K.

διδομένην A.B.C.F.H.L.N.O.P. b.c.f.g.h.i. vulgo διαδιδομένην.

Διαδιδομένην] Quidam MSS. διδομένην, sed recte διαδιδομένην, quod *per manus traditum* interpretatur Sallustius. Wass. Magis probo διδομένην, nec illud *per manus traditum* huc convenire puto. Accepimus, ait, *imperium dantibus et deferentibus sociis*, ἐλάβομεν τὴν ἀρχὴν ἡμῖν προσελθόντων τῶν ξυμμάχων, καὶ αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι, cap. præced. cui sententiæ magis congruit διδομένην, quam διαδιδομένην. Duk.

7. ἄνιμεν A.B.F.H.b.c.f.g.h. ἀνίεμεν margo G.

9. τοῦ] om. N.

10. ἧσσω ἀεὶ ὑπὸ c.f.

11. ἅμα] om. d.i. post νομίζοντες ponunt L.P.

" οὐδείς πω, παρατυχὸν ἰσχύϊ τι κτήσασθαι, προθεὶς
" τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο. ἐπαινεῖσθαί τε ἄξιοι
" οἵτινες χρησάμενοι τῇ ἀνθρωπείᾳ φύσει, ὥστε ἑτέρων
" ἄρχειν, δικαιότεροι ἢ κατὰ τὴν ὑπάρχουσαν δύναμιν
" γεγένηνται. ἄλλους γ' ἂν οὖν οἰόμεθα τὰ ἡμέτερα λα- 5
" βόντας δεῖξαι ἂν μάλιστα, εἴ τι μετριάζομεν· ἡμῖν
" δὲ καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον ἢ ἔπαινος οὐκ
77. " εἰκότως περιέστη. * καὶ ἐλασσούμενοι γὰρ ἐν ταῖς
" ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους δίκαις, καὶ παρ'
" ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις νόμοις ποιήσαντες τὰς κρί- 10
" σεις, φιλοδικεῖν δοκοῦμεν. καὶ οὐδεὶς σκοπεῖ αὐτῶν,
" τοῖς καὶ ἄλλοθί που ἀρχὴν ἔχουσι καὶ ἧσσον ἡμῶν πρὸς

μεσθένει πολλάκις. 1. Παρατυχὸν] παρατυχόντος. Προθεὶς] προτιμήσας, προκρίνας. 2. Ἐπαινεῖσθαι] ἀορίστως μὲν, ἑαυτὸν δὲ λέγει. 3. Τῇ ἀνθρωπείᾳ] τῇ παρεπομένῃ τῇ ἀνθρωπείᾳ φύσει ἀρχῇ. 4. Δικαιότεροι] ἀντὶ τοῦ μετριώτεροι 5. Ἄλλους γ' ἄν] ἀορίστως μὲν, εἰς τοὺς Λακεδαιμονίους δὲ αἰνίττεται. Ἡμέτερα] φησὶ τὴν ἀρχήν. 6. Δεῖξαι ἂν μάλιστα] δηλονότι βαιότερον ἄρξαντας. Μετριάζομεν] ταπεινοί ἐσμεν. 7. Καὶ ἐκ τοῦ ἐπιεικοῦς] ἐκ τῆς μετριότητος. 8. Ἐλασσούμενοι] ἀδικούμενοι, ζημιούμενοι ἐν ταῖς συναλλαγματικαῖς χρείαις, καθὸ ἐξ ἰσοτιμίας δικαζόμεθα πρὸς αὐτοὺς, καίτοι δυνάμενοι ὡς ἄρχοντες ἔχειν τὸ πλέον. 9. Καὶ παρ' ἡμῖν αὐτοῖς] τὸ ἐξῆς, καὶ ἐν τοῖς παρ' ἡμῖν ὁμοίοις νόμοις ποιήσαντες τὰς κρίσεις, φιλοδικεῖν δοκοῦμεν. 10. Ἐν τοῖς ὁμοίοις νόμοις] ὁμοίοις νόμοις λέγει τόν τε ξένον καὶ τὸν πολίτην· ἴσος γὰρ ἀμφοτέροις παρ' ἡμῖν ὁ νόμος. 11. Φιλοδικεῖν] ἐκωμῳδοῦντο γὰρ οἱ Ἀθηναῖοι ὡς φιλόδικοι. 12. Ἄλλοθί που ἔχουσιν ἀρχὴν] οἷον Πέρσαις, Σκύθαις. Καὶ ἧσσον ἡμῶν] ἀντὶ τοῦ οὐδὲ ἧσσον.

1. παρατυχὸν C.

3. Χρησάμενοι τῇ ἀνθρωπείᾳ φύσει] De hac forma exposuit Hemsterhus. ad Callim. H. in Dian. v. 69. p. 103. Gottl.

5. γεγένηνται A.B.F.H.L.N.O. P.Q.g.h. vulgo γέγονται.

6. μάλιστα] μᾶλλον K. om. c.f.

7. καὶ] om c.

τὸ πλεῖον C.I.L.O.Q.

9. Συμβόλαια in universum sunt *pacta, conventa, contractus*, et συμβόλαιος δίκη *controversia, judicium de pacto et contractu.* Vid. Bud. Comm. L. Gr. et Salmas. de Modo Usurar. p. 425. Τὸ φιλόδικον Atheniensium multis locis perstringit Aristophanes, præsertim in Vespis. De eo hic etiam monet Schol., apud quem paullo ante ad verba καὶ παρ' ἡμῖν. Reg. et Cass. pro φιλονικεῖν rectius, ut puto, habent φιλοδικεῖν. Duk.

12. τοῖς καὶ] τοῖς δὲ c.f.

ἀρχὴν ἔχουσι A.B.H.c.f.g.h. τὴν ἀρχὴν ἔχουσι F. vulgo ἔχουσιν ἀρχήν.

" τοὺς ὑπηκόους μετρίοις οὖσι διότι τοῦτο οὐκ ὀνειδίζεται·
" βιάζεσθαι γὰρ οἷς ἂν ἐξῇ, δικάζεσθαι οὐδὲν προσδέον-
" ται. οἱ δὲ εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν,
" ἤν τι, παρὰ τὸ μὴ οἴεσθαι χρῆναι, ἢ γνώμῃ ἢ δυνάμει
" τῇ διὰ τὴν ἀρχὴν καὶ ὑπωσοῦν ἐλασσωθῶσιν, οὐ τοῦ
" πλέονος μὴ στερισκόμενοι χάριν ἔχουσιν, ἀλλὰ τοῦ ἐν-
" δεοῦς χαλεπώτερον φέρουσιν ἢ εἰ ἀπὸ πρώτης ἀποθέ-
" μενοι τὸν νόμον φανερῶς ἐπλεονεκτοῦμεν. ἐκείνως δὲ
" οὐδ' ἂν αὐτοὶ ἀντέλεγον ὡς οὐ χρεὼν τὸν ἥσσω τῷ κρα-
" τοῦντι ὑποχωρεῖν. ἀδικούμενοί τε, ὡς ἔοικεν, οἱ ἄνθρω-
" ποι μᾶλλον ὀργίζονται ἢ βιαζόμενοι· τὸ μὲν γὰρ ἀπὸ
" τοῦ ἴσου δοκεῖ πλεονεκτεῖσθαι, τὸ δ' ἀπὸ τοῦ κρείσσο-
" νος καταναγκάζεσθαι. ὑπὸ γοῦν τοῦ Μήδου δεινότερα
" τούτων πάσχοντες ἠνείχοντο, ἡ δὲ ἡμετέρα ἀρχὴ χα-
" λεπὴ δοκεῖ εἶναι, εἰκότως· τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς

1. Οὐκ ὀνειδίζεται] προφέρεται. οὐκ ὀνειδίζεται τὸ βίαιον τῆς ἀρχῆς παρ' ἄλλοις, ἀλλὰ μόνοις παρ' ἡμῖν. 2. Δικάζεσθαι] ἀντὶ τοῦ δίκαια πράττειν πρὸς τοὺς ὑπηκόους. 3. Εἰθισμένοι πρὸς ἡμᾶς—ὁμιλεῖν] διὰ τούτων ἔδειξε τὸ στάσιον τῆς ἀδικίας. ὁ δὲ νοῦς τοιοῦτος· ἐάν τι τοιοῦτο πάθωσι παρ' ἡμῶν ὃ νομίζουσιν αὐτοὶ μὴ δίκαιον εἶναι, ἀγανακτοῦσιν. οὐκ εἶπε δὲ τὸ δίκαιον, ἀλλὰ τὸ παρ' ὃ ἐκεῖνοι νομίζουσι μὴ δίκαιον. 4. Ἤν τι, παρὰ τὸ μὴ] ἐάν τι παρὰ τὴν ἑαυτῶν δόξαν, διὰ τὴν ὑπάρχουσαν ἡμῖν ἀρχήν, ἢ λόγῳ ἢ ἔργῳ νομίσωσιν ἐλαττωθῆναι. 6. Ἀλλὰ τοῦ ἐνδεοῦς] λείπει ἡ ὑπὲρ, ἵν' ᾖ, ὑπὲρ τοῦ ἐνδεοῦς. 7. Ἢ εἰ ἀπὸ πρώτης] τὸ ἤ ἀντὶ τοῦ ὡς. Ὅμηρος· ἢ θέμις ἀνθρώπων κέλει. 8. Ἐπλεονεκτοῦμεν] κατὰ τὸν τῆς ἀρχῆς νόμον. Ἐκείνως δ' οὐδ' ἄν] ὁ δὲ ἀντὶ τοῦ γάρ. 10. Ἀδικούμενοί δε—μᾶλλον ὀργίζονται] διὰ τοῦτο, φησὶν, ὀργίζονται οἱ σύμμαχοι, ὅτι ἀδικεῖσθαι νομίζουσι καὶ οὐχὶ βιάζεσθαι. ἴσους γὰρ ἡμῖν αὐτοὺς ἐξ ἀρχῆς εἴχομεν. 14. Ἡ δὲ ἡμετέρα ἀρχὴ] ἡ τῶν Ἀθηναίων, ἡ φιλάνθρωπος. 15. Τὸ παρὸν] τὸ ἐνεστηκὸς, τὸ

1. τοῦτο] om. P.
οὐκ ὀνειδίζεται] οὐ προφέρεται Coraes ad 2, 48.
6. πλέονος A.B.C.F.H.c.f.g.h. ceteri πλείονος.
7. εἰ] om. C.F.c.g.
ἀπὸ τῆς πρώτης L.
8. πλεονεκτοῦμεν F.H.
9. οὐ] om. g.
10. οἱ] om. L.O.P.
12. κρείσσονος A.B.f.g.h. vulgo κρείττονος.
13. ὑπὸ—ἠνείχοντο] om. P.
15. εἶναι δοκεῖ B.g.h.

" ὑπηκόοις. ὑμεῖς γ' ἂν οὖν εἰ καθελόντες ἡμᾶς ἄρξαιτε,
" τάχα ἂν τὴν εὔνοιαν, ἣν διὰ τὸ ἡμέτερον δέος εἰλήφατε,
" μεταβάλοιτε, εἴπερ οἷα καὶ τότε πρὸς τὸν Μῆδον δι'
" ὀλίγου ἡγησάμενοι ὑπεδείξατε, ὁμοῖα καὶ νῦν γνώσε-
" σθε. ἄμικτα γὰρ τά τε καθ' ὑμᾶς αὐτοὺς νόμιμα
" τοῖς ἄλλοις ἔχετε, καὶ προσέτι εἷς ἕκαστος ἐξιὼν οὔτε
78. " τούτοις χρῆται οὔθ' οἷς ἡ ἄλλη Ἑλλὰς νομίζει. * βου-
" λεύεσθε οὖν βραδέως ὡς οὐ περὶ βραχέων, καὶ μὴ ἀλ-
" λοτρίαις γνώμαις καὶ ἐγκλήμασι πεισθέντες οἰκεῖον
" πόνον πρόσθησθε, τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος
" ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι προδιάγνωτε· μηκυνόμενος

ἄρχειν. 1. Εἰ καθελόντες] προμαντεύεται· καθεῖλον γὰρ αὐτῶν τὰ τείχη οἱ Λακεδαιμόνιοι. 3. Εἴπερ οἷα] τὸ ἐξῆς, εἴπερ ὅμοια γνώσεσθε οἷα καὶ ἐπὶ τοῦ Μήδου. 5. Ἄμικτα] οὐδενὶ γὰρ ξένῳ μετεδίδοσαν τῶν παρ' αὐτοῖς νομίμων οἱ Λακεδαιμόνιοι, ἀλλὰ καὶ ἐξενηλάτουν. 6. Ἐξιὼν] εἰς ἀρχὴν δηλονότι. 7. Τούτοις] τοῖς παρ' ὑμῖν. Βουλεύεσθε] ἐντεῦθεν οἱ ἐπίλογοι. 8. Ἀλλοτρίαις] ταῖς τῶν Κορινθίων. 10. Πρόσθησθε] ἀνάθησθε, ἑαυτοῖς δηλονότι. Παράλογον] ἀπροσδόκητον. ἀρσενικῶς τὸν παράλογον.

1. ἂν] om. Tusanus.
οὖν] om. c.
ἄρξετε C.I.K.L.N.O.P.Q.d. e.f.
3. μεταβάλητε K.O.P.d.
4. ὑπεδείξατε A.B.C.N.e.g.h. vulgo ἀπεδείξατε.
6. εἰσιὼν g.
10. πόνον] τὸν πόνον P.Q.
πρόθησθε B.h.
Τοῦ πολέμου—περιΐστασθαι] Stobæus p. 352. ubi et τὸ παράλογον, ὅσον. sed non ita Attici. v. Th. Magistrum. Τὸν παράλογον habet Schol. et Noster alibi, notantibus Gramm. vett. παράλογος πολὺς Pollux II. 119. Diodor. et Jos. τὰ παράλογα. Προδιάγνωτε recte servat Stobæus. Wass. Etiam Suidas et ex eo Schol. Luciani ad Abdicat. ex h. l. adferunt τοῦ πολέμου τὸν παράλογον· quod ita dictum est, ut supr. cap. 5. τὸν πλεῖστον τοῦ βίου. H. Steph. in Append. Thes. p. 157. scribit, Th. Magistrum potius debuisse dicere, ὁ παράλογος esse Thucydideum, quam Atticum: quia Pollux hunc usum non alii tribuat, quam Thucydidi; quod minime facturus fuisse videatur, si ceteris Atticis cum Thucydide communis fuisset. Mihi non adcurate ratiocinari videtur Stephanus. Nam ex eo, quod Pollux Thucydidi hunc usum tribuit, non magis confici potest, eum solum sic loquutum, quam Aristophani. Platoni, Menandro, et multis aliis propria fuisse omnia vocabula et loquendi genera, quibus eos usos fuisse sæpe dicit Pollux. Duk.
τὸ παράλογον ὅσον Stobæus.
11. προγνῶτε L.O.P.Q. προέγνωτε I.e.

" γὰρ φιλεῖ ἐς τύχας τὰ πολλὰ περιίστασθαι, ὧν ἴσον
" τε ἀπέχομεν, καὶ ὁποτέρως ἔσται, ἐν ἀδήλῳ κινδυνεύ-
" εται. ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέμους τῶν ἔργων
" πρότερον ἔχονται ἃ χρὴν ὕστερον δρᾶν, κακοπαθοῦντες
" δὲ ἤδη τῶν λόγων ἅπτονται. ἡμεῖς δὲ ἐν οὐδεμιᾷ πω
" τοιαύτῃ ἁμαρτίᾳ ὄντες οὔτ' αὐτοὶ οὔθ' ὑμᾶς ὁρῶντες λέ-
" γομεν ὑμῖν, ἕως ἔτι αὐθαίρετος ἀμφοτέροις ἡ εὐβουλία,
" σπονδὰς μὴ λύειν μηδὲ παραβαίνειν τοὺς ὅρκους, τὰ δὲ
" διάφορα δίκῃ λύεσθαι κατὰ τὴν ξυνθήκην. ἢ θεοὺς τοὺς
" ὁρκίους μάρτυρας ποιούμενοι, πειρασόμεθα ἀμύνεσθαι
" πολέμου ἄρχοντας ταύτῃ ᾗ ἂν ὑφηγῆσθε."

79. Debinc Lacedæmonii, remotis omnibus, seorsum consultant; et plerisque omnibus

* Τοιαῦτα δὲ οἱ Ἀθηναῖοι εἶπον. ἐπειδὴ δὲ τῶν τε ξυμμάχων ἤκουσαν οἱ Λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς Ἀθηναίους καὶ τῶν Ἀθηναίων ἃ ἔλεξαν, μεταστησάμενοι

1. Ἐς τύχας] εἰς ἀδηλότητα. Ὅμηρος· νίκη δ' ἐπαμείβεται ἄνδρας (Il. 6, 339.) Περιίστασθαι] περιτρέπεσθαι. 2. Ἀπέχομεν] ἑκατέροις γὰρ τὸ μέλλων ἀόρατον καὶ ἀφανές. Ὁποτέρως ἔσται] ἄδηλόν ἐστιν ὁποῖον μέρος κινδυνεύσει. Κινδυνεύεται] μετὰ κινδύνων πράττεται. 3. Οἱ ἄνθρωποι] οἱ ἀπροβούλευτοι καὶ ἀνήκοοι. Τῶν ἔργων] πρὸ τῶν βουλευμάτων δηλονότι. 4. Ἃ χρὴν ὕστερον] ἃ ἔργα δηλονότι. 6. Ἁμαρτίᾳ] τῇ προλεχθείσῃ ἀβουλίᾳ τοῦ πολέμου. 7. Αὐθαίρετος] αὐτεξούσιος. 9. Κατὰ τὴν ξυνθήκην] κατὰ τὰς ὁμολογίας τὰς ἐν ταῖς σπονδαῖς. Τοὺς ὁρκίους] οὓς ἐν ταῖς σπονδαῖς ὠμόσαμεν. 11. Ὑφηγῆσθε] ὁδηγῆτε ὑμεῖς. 13. Ἐς τοὺς Ἀθηναίους] κατὰ τῶν Ἀθηναίων.

1. ἐς τύχας φιλεῖ F.H.
2. ὁκοτέρων g.h.
3. ἐς τοὺς πολέμους] τοῖς πολέμοις L.
4. καὶ κακοπαθ. c.
6. ὑμεῖς K.e.i.
7. ἀμφοτέροις] om. i.
9. τὴν] om. L.O.Q.
ἢ] εἰ δὲ μὴ] A.B.F.H.N.c.f. g.h.
Ἢ θεοὺς] Fortasse aliquis εἰ δὲ μὴ margini adscripserat ad voculæ ἢ expositionem. Steph. Lib. V. cap. 63. ἢ τότε ποιεῖν αὐτοὺς—Plato Phædro, πᾶσα ψυχὴ φύσει θεᾶται τὰ ὄντα, Ἢ (alioqui) οὐκ ἂν ἦλθεν εἰς τόδε τὸ ζῷον. Wass.
10. ἀμύνασθαι G. om. pr. K.
11. πολέμου ἄρχοντας] om. h.
ὑφηγεῖσθε Q.
12. ταῦτα d.
Τοιαῦτα μὲν] Pro δὲ, quod est in Reg. et Cass. fortassis scribendum est δή; ut in illo, quod est supra cap. 43. Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον, placebat Stephano. Sic cap. 53. Οἱ μὲν δὴ τοιαῦτα εἶπον. Duk.
δὲ A.B.C.F.H.g.h. vulgo μέν.
τε addidi ex A.B.F.H.N.f.g.h.

bellum Atheniensibus inferendum esse consentientibus, obstitit unus, Archidamus rex, qui oratione 80—85. monet, Lacedæmoniorum opes vicinis quidem Peloponnesiis pares esse, neutiquam vero externis hostibus, minime Atheni-

πάντας ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς περὶ τῶν παρόντων. καὶ τῶν μὲν πλειόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον, ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη καὶ πολεμητέα εἶναι ἐν τάχει· παρελθὼν δὲ Ἀρχίδαμος ὁ βασιλεὺς αὐτῶν, ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι καὶ σώφρων, ἔλεξε τοιάδε.

* "ΚΑΙ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι, "ὦ Λακεδαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ "ὁρῶ, ὥστε μήτε ἀπειρίᾳ ἐπιθυμῆσαί τινα τοῦ ἔργου, "ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν, μήτε ἀγαθὸν καὶ ἀσφαλὲς "νομίσαντα. εὕροιτε δ' ἂν τόνδε, περὶ οὗ νῦν βουλεύεσθε, "οὐκ ἂν ἐλάχιστον γενόμενον, εἰ σωφρόνως τις αὐτὸν "ἐκλογίζοιτο. πρὸς μὲν γὰρ τοὺς Πελοποννησίους καὶ

1. Ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς] ἔθος γὰρ εἶχον οἱ Λακεδαιμόνιοι παρὰ τὰς ἐκκλησίας ἰδιαζόντως βουλεύεσθαι καὶ δημηγορεῖν, διώκοντες τοὺς πολλούς. 2. Ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον] ὡμονόουν. 3. Πολεμητέα] ἄξιον πολεμῆσαι. 8. Ὁρῶ] λείπει τὸ ἐμπείρους. Ἀπειρίᾳ] γλυκὺς ἀπείρῳ πόλεμος. 9. Οἱ πολλοὶ] οἱ ἀπαίδευτοι. 10. Εὕροιτε] ἕως ὧδε τὸ προοίμιον. 11. Ἐλάχιστον γενόμενον] ἤγουν δι' ἐλαχίστου καιροῦ γενησόμενον. 12. Πρὸς μὲν γὰρ] οἱ ἀγῶνες,

1. περὶ τῶν παρόντων κατὰ σφᾶς αὐτοὺς f.

2. μὲν] om. Q.

πλειόνων A.B.F.H.c.f.g.h. ceteri πλεόνων.

3. Πολεμητέα] Schol. Aristoph. ad Acharn. 393. πολεμιστέα legisse videtur. Utroque noster modo. Articulum, quem ante Ἀρχίδαμος quidam Codd. habent, etiam alibi addit Thucyd. Wass. Demosthenem ἐν τῷ περὶ συμμοριῶν eodem artificio uti, in reprimendis Atheniensibus, ad bellum adversus Regem Persarum inflammatis, quo hic Archidamum in Lacedæmoniis, cupiditate bellandi cum Atheniensibus flagrantibus, observat Dion. Hal. in Art. Rhetor. p. 46. et 56. Duk.

4. δὲ ὁ ἀρχίδαμος L.O.

Ἀρχίδαμος] Sc. Archidamus II. Leotychidæ successor, et ejus e Zeuxidamo filio nepos, nam Zeuxidamus diem ante patrem obiit. Ejus res gestas, et sub ipso concitatum bellum Pelop. (a quo primum ejus decennium Ἀρχίδαμιος πόλεμος denominatum, teste Harpocr.) breviter refert Pausan. Vide Meursium de Regno Laced. c. 17. Huds.

7. ἐν αὐτῇ τῇ Q. ἐν τῇ, omisso pronomine, C.

9. ἂν] om. O.

οἱ] om. B.K.

10. τόνδε A.B.F.H.N.g.h. τὸν πόλεμον L.P. τόνδε τὸν πόλεμον C. K.O.Q. vulgo τὸν πόλεμον τόνδε.

12. τοὺς] om. C.K.L.O.P.d.e.i. καὶ τοὺς ἀστυγείτονας B.C.K.b. c.f.g.h.i.

" ἀστυγείτονας παρόμοιος ἡμῶν ἡ ἀλκὴ, καὶ διὰ τα-
" χέων οἷόν τε ἐφ' ἕκαστα ἐλθεῖν· πρὸς δὲ ἄνδρας, οἳ γῆν
" τε ἐκὰς ἔχουσι καὶ προσέτι θαλάσσης ἐμπειρότατοί
" εἰσι καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται,
" πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ καὶ ναυσὶ καὶ ἵπποις
" καὶ ὅπλοις καὶ ὄχλῳ, ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε
" χωρίῳ Ἑλληνικῷ ἐστὶν, ἔτι δὲ καὶ ξυμμάχους πολλοὺς
" φόρου ὑποτελεῖς ἔχουσι, πῶς χρὴ πρὸς τούτους ῥᾳδίως
" πόλεμον ἄρασθαι, καὶ τίνι πιστεύσαντας ἀπαρα-
" σκεύους ἐπειχθῆναι; πότερον ταῖς ναυσίν; ἀλλ' ἥσ-
" σους ἐσμέν· εἰ δὲ μελετήσομεν καὶ ἀντιπαρασκευα-
" σόμεθα, χρόνος ἐνέσται. ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ
" πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν, καὶ οὔτε ἐν κοινῷ
" ἔχομεν οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν. * τάχ' ἄν 81.
" τις θαρσοίη ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ πλήθει
" ὑπερφέρομεν, ὥστε τὴν γῆν δηοῦν ἐπιφοιτῶντες. τοῖς
" δὲ ἄλλη γῆ ἐστὶ πολλὴ ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης
" ὧν δέονται ἐπάξονται. εἰ δ' αὖ τοὺς ξυμμάχους

ensibus, qui divitiis navibusque pollerent, nec nisi classe vinci possent. Fore bellum atrocissimum, atque inexplicabile; ideoque diu deliberandum, non temere decernendum.

καὶ τὸ δυνατόν. 1. Παρόμοιος] ἐκ παραλλήλου· πεζομάχοι γὰρ πάντες. 2. Ἐφ' ἕκαστα] λείπει χωρία. 3. Ἐκὰς] τῆς Πελοποννήσου ἐκὰς, ὥστε δυσχερὴς ὁ πόλεμος διὰ τὰ ἐφόδια. 4. Ἐξήρτυνται. εὐτρεπισμένοι εἰσί. 5. Πλούτῳ] διὰ τὰ Περσικά. 9. Καὶ τίνι πιστεύσαντας] χρὴ δηλονότι. 10. Ἐπειχθῆναι] ἑτοίμως ἐλθεῖν. Ἥσσους] ἐνδεέστεροι. 13. Τούτου] τοῦ ἔχειν χρήματα. Ἐν κοινῷ] ταμείῳ δηλονότι. Οὔτε ἐκ τῶν ἰδίων φέρομεν] πένητες γὰρ οἱ Λακεδαίμονες. 16. Ὑπερφέρομεν] οἱ Λακεδαιμόνιοι. Δηοῦν] κείρειν. Ἐπιφοιτῶντες] κατ' ἐκείνων ἐρχόμενοι. 17. Ἄλλη γῆ] Θρᾴκη, καὶ Ἰωνία. Ἐκ θαλάσσης] τὸ ἐκ ἀντὶ τοῦ διά. 18. Ἐπά-

4. ἅπασιν] om. d.
ἄριστα] om. Q.d.
ἐξήρτυνται c.d.f.g.h.
7. χωρίῳ] χρόνῳ H.
πολλοὺς] om. g.
8. φόρους I.
11. ἑσμέν] om. P.
ἀντιπαρασκευασόμεθα A.B.C.F. H.I.N.g. ἀντιπαρασκευαζόμεθα pr. K. ἀντιπαρασκευασθήσομεθα G.b. d. et correctus K.
13. πλέον ἔτι C.G.K.L.O.P.Q. d.e.i.
15. θαρροίη K.L.O.P.Q.i.
16. ἐπιφοιτῶντας i.
17. γῆ ἄλλη i.
ἐστὶ] ἔτι I.

" ἀφιστάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν,
" τὸ πλέον οὖσι νησιώταις. τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος ;
" εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν, ἢ τὰς προσόδους ἀφαι-
" ρήσομεν ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ
" πλέω. κἂν τούτῳ οὐδὲ καταλύεσθαι ἔτι καλὸν, ἄλλως
" τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον τῆς διαφορᾶς. μὴ γὰρ
" δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώμεθα, ὡς ταχὺ παυθήσεται
" ὁ πόλεμος, ἢν τὴν γῆν αὐτῶν τάμωμεν. δέδοικα δὲ μᾶλ-
" λον μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν· οὕτως εἰκὸς
" Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι, μήτε ὥσπερ
82. " ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ. * οὐ μὴν οὐδὲ
" ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾶν
" βλάπτειν, καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν, ἀλλὰ
" ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι, μήτε
" πόλεμον ἄγαν δηλοῦντας μήθ' ὡς ἐπιτρέψομεν, κἂν τού-
" τῳ καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε
" προσαγωγῇ, καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα
" ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προσληψόμεθα (ἀνε-
" πίφθονον δὲ, ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβου-

ξονται] εἰσάξουσιν. 1. Ἀφιστάναι] ἀποστῆσαι. 2. Τίς οὖν ἔσται] κατὰ ποῖον τρόπον. 3. Τὰς προσόδους] τὰ κέρδη. 5. Κἂν τούτῳ] τῷ πράγματι. Καταλύεσθαι] οὐδὲ τὸν πόλεμον παῦσαι δηλονότι φησί. 6. Ἄρξαι μᾶλλον] τὸ μᾶλλον πρόσκειται ὅτι οὐχὶ αὐτοὶ, ἀλλὰ καὶ Κορίνθιοι καὶ ἄλλοι ἤρξαντο τοῦ πολέμου. 9. Ἀπολίπωμεν] Ὅμηρος· Μηδ' ἡμῖν τεκέεσσί τ' ὀπίσσω κῆμα λίποιτο. (Il. 3. 160.) 10. Φρονήματι] ἐπάρσει. Μήτε τῇ γῇ δουλεῦσαι] ἣν τὴν γῆν αὐτῶν τάμωμεν, τῆς γῆς, φησὶ, τεμνομένης τῶν Ἀθηναίων, οὐκ εἰκὸς οὐδὲ πρέπον τῷ φρονήματι αὐτῶν ἡμῖν δουλεῦσαι καὶ ὑπακοῦσαι. 13. Καταφωρᾶν] ἐλέγχειν. 15. Ἐπιτρέψομεν] ἐνδώσομεν. Κἂν τούτῳ] τῷ καιρῷ δηλονότι. 16. Ἐξαρτύεσθαι] οἰκονομεῖσθαι. ἀπὸ κοινοῦ δὲ κελεύω. 17. Προσαγωγῇ] συναθροίσει. 18. Ἀνεπίφθονον δὲ] ἄψογον, ἀμέμπτον, ἐκείνοις δηλονότι. 19. Ὅσοι ὥσπερ ἡμεῖς ὑπ'

5. διαλύεσθαι L.O.P.
7. παυσθήσεται C.
8. ἢν] εἰ d.i.
9. αὐτῶν ὑπολ. B.C.g.i. ὑπολ. αὐτὸν F.H.
ἀπολίπωμεν L.O.P. ἀπολείπωμεν K.Q.i.
10. τῇ om. L.O.
15. ἐπιτρέψωμεν B.
16. αὐτῶν] om. g.

" λευόμεθα, μὴ Ἕλληνας μόνον ἀλλὰ καὶ βαρβάρους
" προσλαβόντας διασωθῆναι·) καὶ τὰ αὐτῶν ἅμα ἐκπορι-
" ζώμεθα. καὶ ἢν μὲν ἐσακούσωσί τι πρεσβευομένων ἡμῶν,
" ταῦτα ἄριστα· ἢν δὲ μὴ, διελθόντων ἐτῶν καὶ δύο καὶ
" τριῶν ἄμεινον ἤδη, ἢν δοκῇ, πεφραγμένοι ἴμεν ἐπ' αὐτούς.
" καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν καὶ τοὺς
" λόγους αὐτῇ ὁμοῖα ὑποσημαίνοντας, μᾶλλον ἂν εἴκοιεν,
" καὶ γῆν ἔτι ἄτμητον ἔχοντες, καὶ περὶ παρόντων ἀγαθῶν
" καὶ οὔπω ἐφθαρμένων βουλευόμενοι. μὴ γὰρ ἄλλο τι νο-
" μίσητε τὴν γῆν αὐτῶν ἢ ὄμηρον ἔχειν, καὶ οὐχ ἧσσον, ὅσῳ
" ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον,
" καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς ἀληπτοτέ-
" ρους ἔχειν. εἰ γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων
" ἐγκλήμασιν ἐπειχθέντες τεμοῦμεν αὐτὴν, ὁρᾶτε ὅπως
" μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξο-
" μεν. ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν

Ἀθηναίων] ἐξαίρει τὴν δύναμιν τῶν Ἀθηναίων, καταπλήττων τοὺς Λάκωνας. 2. Καὶ τὰ αὐτῶν ἅμα ἐκπορίζόμεθα] πορισμὸν ζωῆς ἐκ τῶν ἡμετέρων ἔχομεν. 5. Πεφραγμένοι] ὡπλισμένοι. Ἴμεν] πορευσόμεθα, ἀπὸ τοῦ ἰέναι. 6. Παρασκευὴν] ἑτοιμασίαν. 8. Ἄτμητον] ἀδήωτον. 10. Ὄμηρον] ὅμηρον, ἐνέχυρον τὸ ὑπὲρ εἰρήνης παρεχόμενον, παρὰ τὸ ἁμοῦ εἶρειν. Καὶ οὐκ ἧσσον] διὰ τοῦ μὴ τεμεῖν αὐτῶν τὴν γῆν. 12. Ἐς ἀπόνοιαν] διὰ τὸ ῥιψοκίνδυνον. Ἀληπτοτέρους] ἀσχέτους. 15. Αἴσχιον] ὁ γὰρ ἐν πολέμῳ ἡττώμενος ἀναγκάζεται ἀπορεῖν καὶ εἰς αἰσχύνην καθίστασθαι, ἢ βουλεύων, ἢ ἐπὶ μετὸ εἰς εἰρήνην διδόμενον ἐπὶ συνθήκαις. Confer Harpocr. et Hesych. v. ὁμηρεῖν. Etymol. p. 335. 20. Wass.

2. ἐκπορίζόμεθα A.B.F.g.
3. ἢν] εἰ c.
μὲν] om. C.
ἐσακούσωσι A.B.C.c. ἐσακούωσι F.H.g. ἐπακούσωσι G.I.K.O.P. Q.e. vulgo ἐπακούωσι.
ἡμῶν] om. d.i.
4. διελθόντων L.O.P.
καὶ post ἐτῶν recepi ex A. B.f.g.
5. ἢν] ἂν g.
7. ἐτισημαίνοντας f.
10. Ὄμηρον] Agnoscit et explicat Suidas in ὅμηρον. ἐνέχυρον,
ἧσσον B.h.
ὅσον K.c.d.e.f.
11. χρὴ] δεῖ f.
ἐπὶ τὸ πλεῖστον L.
14. ἐγκλήμασιν] om. d.
15. μὴ] om. B.h.
πράξομεν C. et Lex. Seg. p. 162, 10. ceteri πράξωμεν.
16. καὶ] om. K.N.d.e.

" τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνε-
" κα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅτι χωρή-
83. " σει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι. * καὶ ἀνανδρία μη-
" δενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν δοκείτω
" εἶναι. εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα
" φέροντες ξύμμαχοι, καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων
" τὸ πλέον ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ,
" ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. πορισώ-
" μεθα οὖν πρῶτον αὐτήν, καὶ μὴ τοῖς τῶν ξυμμάχων
" λόγοις πρότερον ἐπαιρώμεθα, οἵπερ δὲ καὶ τῶν ἀπο-
" βαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἔχομεν,
84. " οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προϊδωμεν. * καὶ τὸ
" βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῖν, μὴ
" αἰσχύνεσθε. σπεύδοντές τε γὰρ σχολαίτερον ἂν παύ-
" σαισθε, διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν· καὶ ἅμα
" ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα,
" καὶ δύναται μάλιστα σωφροσύνη ἔμφρων τοῦτ' εἶναι.

γάλη ζημία τὸν πόλεμον καταλύων. 1. Ἕνεκα τῶν ἰδίων] Ἰδίων λέγει τῶν Κορινθίων. οὐ γὰρ ἦν κοινὰ τὰ ἐγκλήματα πάντων τῶν Πελοποννησίων, ἀλλὰ μόνων τῶν Κορινθίων. 3. Θέσθαι] ἀποθέσθαι, καταλῦσαι. 8. Ἄλλως τε καὶ ἠπειρώταις] πλεόνων οὖν καὶ διὰ τοῦτο χρημάτων δεόμεθα. κατὰ κοινοῦ δὲ τὸ ἔστιν ὁ πόλεμος. 10. Οἵπερ δὲ] ἡμεῖς οἱ Λακεδαιμόνιοί τι αὐτῶν προϊδωμεν τῶν ἀποβησομένων. 11. Ἐπ' ἀμφότερα] καὶ νίκην καὶ ἧτταν. 13. Ὃ μέμφονται] οἱ Κορίνθιοι μέμφονται. τὸ ἑξῆς οὕτω· καὶ τὸ βραδὺ ἡμῖν καὶ μέλλον, ὃ μέμφονται μάλιστα τῶν ἄλλων ἐγκλημάτων, μὴ αἰσχύνεσθε. καὶ νεμόμεθα διὰ παντὸς τὴν πόλιν ἐλευθέραν καὶ ἐνδοξοτάτην. σπεύδοντες γὰρ σχολαίτερον ἂν παύσαισθε, διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν. ὑποστικτέον οὖν ἐς τὸ μὴ αἰσχύνεσθε. 17. Σωφροσύνη ἔμφρων] σωφροσύνην ἔμφρονα λέγει τὴν μετὰ λογισμοῦ τυγχάνουσαν, οὐ τὴν ἀλόγιστον καὶ ἀπὸ φύσεως μόνον συμβαίνουσαν. Τοῦτ' εἶναι] τὸ βραδὺ καὶ τὸ μέλλον.

1. ξύμπαντας ἡμᾶς ἀραμένους K.d.i.

3. Οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι] Vide nos ad Sallustii Jug. Cap. LXXXV. Wass.

9. πρώτην F.H.

14. παύσησθε A.B.F.H.K.N. e.d.f.g.h.i.

15. Καὶ ἅμα—διαπαντὸς] T. Magister. Wass. Est apud Thomam in ἐκλόξος, ubi variam lectionem indicat: ἔνδοξος μέντοι, καὶ εὔδοξος γράφεται παρὰ Θουκυδίδῃ· καὶ ἅμα—διαπαντός. Duk.

16. ἐνδοξοτάτην Tusanus.

17. μάλιστα καὶ σωφρ. K.

" μόνοι γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν καὶ
" ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ ἐξο-
" τρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ παρὰ τὸ δοκεῖν ἡμῖν οὐκ
" ἐπαιρόμεθα ἡδονῇ, καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παρ-
" οξύνῃ, οὐδὲν μᾶλλον ἀχθεσθέντες ἀνεπείσθημεν. πολε-
" μικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ
" μὲν ὅτι αἰδοῦς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης
" δὲ εὐψυχία, εὔβουλοι δὲ ἀμαθέστερον τῶν νόμων τῆς
" ὑπεροψίας παιδευόμενοι, καὶ ξὺν χαλεπότητι σωφρο-
" νέστερον ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν, καὶ μὴ τὰ ἀχρεῖα
" ξυνετοὶ ἄγαν ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς
" λόγῳ καλῶς μεμφόμενοι ἀνομοίως ἔργῳ ἐπεξιέναι, νο-
" μίζειν δὲ τάς τε διανοίας τῶν πέλας παραπλησίους

2. Τῶν τε ξὺν ἐπαίνῳ] ταῦτα πάντα πρὸς τὸν Κορίνθιον ἀπευθύνει. ἐκεῖνος γὰρ κατά τι καὶ ἐπῄνεσεν αὐτοὺς, κατά τι καὶ ἔψεξεν, εἰκὼν αὐτοὺς μελλητάς. 5. Πολεμικοί τε καὶ εὔβουλοι] εὔβουλοι διὰ τὸ εὔκοσμον. ἀσαφὲς τὸ χωρίον ποιεῖ ἡ τῶν ὀνομάτων ἐναλλαγή. τήν τε γὰρ αἰδῶ καὶ τὴν αἰσχύνην κατὰ τοῦ αὐτοῦ τίθησι συνωνύμως, καὶ τὸ λοιπὸν ἔμφασιν παρέχει ὡς ἐπὶ ἄλλου καὶ ἄλλου τάσσων τὴν λέξιν. ὡς καὶ τὴν σωφροσύνην καὶ τὴν εὐκοσμίαν ὁμοίως τέθεικε. δεῖ οὖν οὕτω νοεῖν· πολεμικοί τε γιγνόμεθα καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον. ἀνάγκη γὰρ τοὺς εὐκόσμους σωφροσύνης πλεῖστον μετέχειν, διὰ τὸ τοὺς εὐκόσμους καὶ αἰδήμονας εἶναι, αἰδήμονας δὲ ὄντας εἶναι εὐψύχους καὶ πολεμικούς· τῆς γὰρ αἰδοῦς καὶ αἰσχύνης ἡ εὐψυχία πλεῖστον μετέχει. Ὅμηρος· Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται. (Il. 15, 563.) 8. Ἀμαθέστεροι] ὁ μὴ εἰδώς τι κακὸν ποιῆσαι ἀμαθῶς αὐτοῦ ἔχει δηλονότι. ἡμεῖς οὖν, φησὶ, παιδευόμεθα ἀμαθῶς ἔχειν τοῦ καταφρονεῖν τῶν νόμων, τουτέστιν οὐ παιδευόμεθα ὥστε ὑπερορᾶν τῶν νόμων. 9. Καὶ ξὺν χαλεπότητι] οἱ γὰρ Λακεδαιμόνιοι βαρυτάτην εἶχον ἀγωγὴν, χαλεπῶς ζημιούμενοι καὶ σωφρονιζόμενοι. ἐν γὰρ Λακεδαίμονι ἔφοροί τινες ἦσαν, οἳ εἴ τινα ἴδοιεν ἀργοῦντα, τοῦτον ἔτυπτον, λέγοντες ὅτι ὁ ἀργῶν καὶ τῶν νόμων σκεύδει καταφρονεῖν. 10. Αὐτῶν] τῶν νόμων δηλονότι. Τὰ ἀχρεῖα] τὰ σοφίσματα τῶν λόγων· οἱ γὰρ Λάκωνες βραχυλόγοι. 12. Ἔργῳ ἐπεξιέναι] ὡς τῶν Κορινθίων οὕτως ὄντων. 13. Τῶν πέλας] ἀντὶ τοῦ τῶν ὁμοίων ἀνθρώπων. ὁ δὲ τέ σύνδεσμος

3. ἐξοτρυνόντων B.C.H.N.c.d. f.g.
τὸ] om. C.
4. σὺν c.
5. Post οὐδὲν omisi δὴ cum A. B.F.H.N.c.f.g.h. pro eo δὲ habet C.
ἂν ἐπείσθημεν G.L.M.g.
7. πλέον K.
8. ἀμαθέστερον A.B.F.H.I.K. N.g. ceteri ἀμαθέστεροι.
9. σωφρονέστερον L.Q.
10. ἢ] καὶ G.
13. τε] om. C.
τῶν πέλας διανοίας c.f.

" εἶναι καὶ τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαιρε-
" τάς. ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους
" ἔργῳ παρασκευαζόμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρ-
" τησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐ-
" τῶν ἀσφαλῶς προνοουμένων. πολύ τε διαφέρειν οὐ δεῖ
" νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι ὅστις ἐν
85. " τοῖς ἀναγκαιοτάτοις παιδεύεται. * ταύτας οὖν ἃς οἱ
" πατέρες τε ἡμῖν παρέδοσαν μελέτας καὶ αὐτοὶ διὰ
" παντὸς ὠφελούμενοι ἔχομεν, μὴ παρῶμεν, μηδ' ἐπειχ-
" θέντες ἐν βραχεῖ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων
" καὶ χρημάτων καὶ πόλεων καὶ δόξης βουλεύσωμεν,
" ἀλλὰ καθ' ἡσυχίαν. ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέ-
" ρων διὰ ἰσχύν. καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε
" μὲν περὶ τῆς Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ
" ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων

πρὸς τὸ οὗ ἐπίρρημα. τὸ δὲ οὗ ἀντὶ τοῦ μὴ, ἵν' ᾖ οὕτως ἡ σύνταξις, καὶ πολεμικοὶ καὶ εὔβουλοι γινόμεθα, παιδευόμενοι μὴ νομίζειν τὰς διανοίας τῶν πέλας καὶ τὰς προσκιπτούσας τύχας ὁμοίας εἶναι λόγῳ διαιρετὰς, ἀντὶ τοῦ, οὐχ ὡς λόγῳ λέγουσιν οἱ μὴ σκοποῦντες ἃ δεῖ, οὕτω τὰς τύχας ἔχειν ὑπολαμβάνομεν. οὐδὲ γὰρ ἔστι λόγῳ διελθεῖν τὰ μέλλοντα ὑπὸ τύχης ἔσεσθαι. 1. Προσπιπτούσας τύχας] ἀποβάσεις. Διαιρετὰς] φανερὰς. 3. Ἔργῳ] ἐμπράκτως. Καὶ οὐκ ἐξ ἐκείνων] πρὸς τοὺς λόγους τοῦ Κορινθίου αἰνίττεται. 5. Πολύ τε διαφέρειν] πολύ τε διαφέρειν ἄνθρωπον ἀνθρώπου οὐ δεῖ νομίζειν, ὥστε οἴεσθαι πολὺ διαφέρειν τοῖς λογισμοῖς· ἀλλὰ κράτιστον τοῦτον νομίζειν μόνον, ὃς ἂν ὑπὸ τῶν δεινῶν καὶ τῶν περιστάσεων παιδευόμενος ἐπίνοιάν τινα σωτηρίας πορίσηται. 6. Κράτιστον δὲ εἶναι] κράτιστός ἐστι, φησὶν, ὅστις μήτε πᾶσι μήτε περὶ πάντων πείθεται, περὶ δὲ μόνων τῶν ἀναγκαίων παιδεύεται ἀκούειν, καὶ τῶν αὐτῷ προσηκόντων. 7. Ἀναγκαιοτάτοις] ἐπικινδυνοτάτοις. 12. Ἔξεστι δ' ἡμῖν] ταῦτα πρὸς τὸν Κορίνθιον αἰνίττεται ὁ Ἀρχίδαμος. 13. Διὰ ἰσχὺν] δι' ἣν ἔχομεν ἰσχύν· μή πως φθάσαντες ἀπολέσωμεν

3. τῷ ἔργῳ K.
παρασκευαζόμεθα A.B.F.G.H.I.K.N.g.
ὡς ἂν ἁμαρτησ. H.
5. τε] τι i.
6. δὲ] τε d.
7. ταύτας] τάς τε d.i. ταύτας τε e.
ἃς] ἂν d.i.
8. ἡμῶν i.
13. τοὺς] om. i.
14. τῆς] om. K.L.O.P.d.e.g.h.i.

" ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν διδόντα οὐ πρό-
" τερον νόμιμον ὡς ἐπ' ἀδικοῦντα ἰέναι. παρασκευάζεσθε
" δὲ τὸν πόλεμον ἅμα. ταῦτα γὰρ καὶ κράτιστα βου-
" λεύσεσθε καὶ τοῖς ἐναντίοις φοβερώτατα."

Καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπε· παρελθὼν δὲ Σθενελαΐδας τελευταῖος, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε.

86. Sed Sthenelaidas, unus ex Ephoris, brevi admonitione Lacedæmoniis suadet bellum contra Athenienses, tamquam injuriam inferentes,

* " ΤΟΥΣ μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ
" γιγνώσκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς, οὐδα-
" μοῦ ἀντεῖπον ὡς οὐκ ἀδικοῦσι τοὺς ἡμετέρους ξυμ-
" μάχους καὶ τὴν Πελοπόννησον· καίτοι εἰ πρὸς τοὺς
" Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δ' ἡμᾶς κακοὶ νῦν,
" διπλασίας ζημίας ἄξιοί εἰσιν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ
" γεγένηνται. ἡμεῖς δὲ ὁμοῖοι καὶ τότε καὶ νῦν ἐσμέν,
" καὶ τοὺς ξυμμάχους, ἢν σωφρονῶμεν, οὐ περιοψόμεθα
" ἀδικουμένους, οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι
" μέλλουσι κακῶς πάσχειν. ἄλλοις μὲν γὰρ χρήματά

ταύτῳ δὲ ἀβουλίαν. 1. Δίκας δοῦναι] κρίσεις. 8. Τοὺς μὲν λόγους τῶν πολλῶν] δημηγορία Σθενελαΐδου τοῦ ἐφόρου κατὰ τῶν Ἀθηναίων καὶ τοῦ Ἀρχιδάμου. τὸ δὲ τῆς δημηγορίας σύντομον καὶ Λακωνικὸν· διὰ τοῦτο προοίμια οὐκ ἔχει. Ταύτης τῆς δημηγορίας μέμνηται Πλούταρχος ἐν τοῖς πολιτικοῖς παραγγέλμασιν. Ἰστέον ὅτι ἦσάν τινες παρὰ Λακεδαιμονίοις ἄρχοντες, τὸν ἀριθμὸν πέντε, οὓς ἐφόρους ἐκάλουν διὰ τὸ ἐφορᾶν τὰ τῆς πόλεως πράγματα. ἐν διαδοχῇ δὲ ἦσαν. 11. Πρὸς τοὺς Μήδους] κατὰ τῶν Μήδων. 12. Κακοὶ] κακότροποι. 14. Ὁμοῖοι καὶ τότε] ἐλευθεροταὶ τῆς Ἑλλάδος δηλονότι. 16. Μελλήσομεν] ὑπερθησόμεθα. Τοῦτο πρὸς Ἀρχίδαμον, λέγοντα ὡς δεῖ βραδύνειν. Οἰδ' οὐκέτι μέλλουσιν. ὑπακουστέον τὸ ἐπειδή, ἵν' ᾖ, ἐπειδὴ οὐκέτι μέλλουσι κακῶς πάσχειν. τὸ γὰρ μέλλουσιν νῦν οὐχὶ ὥσπερ ἐπὶ τοῦ βραδύνουσι δεκτέον, ἀλλ' ἐπὶ τοῦ ἐσομένου χρόνου. 17. Ἄλλοις μὲν γὰρ] ταῦτα πάλιν πρὸς Ἀρχίδαμον ἀπο-

1. δὲ—ἐν] om. B.F.H.g.h.
δὲ—ἰέναι] om. P.
3. γὰρ κράτιστα B.F.H.c. f.g.
βουλεύεσθε O.
4. φοβερώτερα c.
5. ταῦτα e.
6. στενελαΐδας K.
ἐν recepi ex A.B.F.H.f.
9. ἑαυτοὺς πολλὰ c.g.
10. οὐκ] om. O.
13. ἀντ'] om. e.
14. καὶ τότε ὅμοιοι h. καὶ ὅμοιοι τότε g.
15. ἢν] εἰ K.e.
σωφρονοῦμεν K.
16. οἱ δ' F.K. οὐδ' C.I. vulgo οἰδ'.

" ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ, ξύμμαχοι
" ἀγαθοὶ, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστὶν, οὐδὲ
" δίκαις καὶ λόγοις διακριτέα μὴ λόγῳ καὶ αὐτοὺς
" βλαπτομένους, ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ παντὶ
" σθένει. καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους,
" μηδεὶς διδασκέτω, ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν μᾶλ-
" λον πρέπει πολὺν χρόνον βουλεύεσθαι. ψηφίζεσθε οὖν,
" ὦ Λακεδαιμόνιοι, ἀξίως τῆς Σπάρτης τὸν πόλεμον,
" καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε
" τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς
" ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας."

87. eoque auctore Lacedæmonii judicant, fœdus ab Atheniensibus ruptum videri, idque decretum sociis declarant.

* Τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν αὐτὸς, ἔφορος ὢν, ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων. ὁ δὲ (κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ) οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι, ἔλεξεν " ὅτῳ μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι λελύσθαι αἱ

τείνει, λέγοντα ὡς πλούσιοί εἰσιν οἱ Ἀθηναῖοι. ὅρα δὲ πῶς ἄψυχά τινα καὶ ἀλόγιστα τοῖς Ἀθηναίοις ἐμαρτύρησεν. 4. Τιμωρητέον] ἅπαξ κεῖται ἡ λέξις παρὰ τῷ ῥήτορι· οὐ χρὴ δὲ ἐν τῷ πολιτικῷ λόγῳ λέγειν αὐτήν. 6. Τοὺς μέλλ. ἀδικεῖν] τοὺς Ἀθηναίους. καὶ ταῦτα πρὸς Ἀρχίδαμον. 13. Κρίνουσι γὰρ βοῇ, καὶ οὐ ψήφῳ] τὴν ἀποδοχὴν τοῦ λόγου ὦ ψήφῳ κρίνουσιν οἱ Λακεδαιμόνιοι, ἀλλὰ βοῇ, οἷον ἢ πάντες βοῶσιν, ἢ ἡσυχάζουσί τινες,

1. πολλὰ] om. C.G.I.K.L. O.P.Q.e.
2. οὐδὲ] οὐ K.
5. προσήκει f.
11. πρὸς A.B.F.H.N.g.h. κατὰ d.i. vulgo ἐπί.
12. ταῦτα d.
δὲ addidi ex A.B.F.H.L.N.O. P.Q.h. δὴ c.
13. Κρίνουσι γὰρ etc.] De suffragiorum ratione apud Laced. vide Plutarchi Lycurgum, et Cragium de Repub. Laced. l. 1. c. 8. Ex totius hujus loci serie patet, Lacedæmonem pura Aristocratia non usam fuisse, ut plures credunt: sed et Democraticum temperamentum in magnis negotiis usurpasse, ut docet Isocrates in Areopagitico. *Palmerius.* Huds. Est in Exercit. Palmer. p. 45. De varia significatione τοῦ ἐπιψηφίζειν vid. Bud. Comment. p. 167. et Vales. ad Harpocrat. h. v. Duk.
14. πότερα C.I.K.e.i.
17. ὑμῶν] om. c.f.
λελύσθαι δοκοῦσιν f.g.h.

" σπονδαὶ καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο " τὸ χωρίον" δείξας τι χωρίον αὐτοῖς " ὅτῳ δὲ μὴ δοκοῦ- " σιν, ἐς τὰ ἐπὶ θάτερα." ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ πλείους ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύ- σθαι. προσκαλέσαντές τε τοὺς ξυμμάχους εἶπον ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι τὸν πό- λεμον ποιῶνται, ἢν δοκῇ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου διαπραξάμενοι ταῦτα, καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον, ἐφ' ἅπερ ἦλθον χρηματίσαντες, ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας, τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει καὶ δεκάτῳ τῶν τριακοντουτίδων

τινὲς δὲ βοῶσιν ἐπαινοῦντες τὰ εἰρημένα. 2. Δείξας τι χωρίον αὐτοῖς] τὸ ἐξῆς τῆς διανοίας οὕτως, ἔλεξε, δείξας τι χωρίον αὐτοῖς. τὸ γὰρ δείξας τὶ χωρίον αὐτοῖς πρὸς τὸ ἔλεξε. 6. Δοκοῖεν] ἔδοξαν. 7. Τοὺς πάντας] μάτην γὰρ οἱ πρέσβεις παρῆσαν, καὶ οὐχὶ ἅπαν τὸ πλῆθος τῶν συμμάχων. 9. Οἱ μὲν] ἤγουν οἱ σύμμαχοι. 10. Διαπραξάμενοι] Ἰστέον ὅτι τὸ ἀνύ- σασθαί τι παρὰ τοῖς ἄρχουσι διαπράξασθαι λέγεται. καὶ ὁμοίως πάλιν τὸ τοὺς ἄρχοντας προστάξαι τοῖς ὑπηκόοις. 11. Ὕστερον] ἀνεχώρησαν δηλονότι. Χρηματίσαντες] χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι, χρηματίσασθαι δὲ τὸ κερδᾶναι. καὶ σημείωσαι τὴν λέξιν. Διαγνώμη] διάγνωσις καὶ

2. τι] τὸ i.
δὲ μὴ] μὴ δὲ h.
6. δοκοῖεν ἀδικεῖν] δοκεῖν e.
οἱ ἀθηναῖοι ἀδικεῖν K.d.
βουλεύεσθαι F. βουλεύεσθε H.
7. ἄλλους ξυμμ. πάντας f. πάν- τας om. L.O.P.Q.
8. ἐπάγεσθαι g.
9. δοκεῖ H.
10. ἀθηναῖοι P.
11. Χρηματίσαντες] Suidas v. χρηματισάμενοι hic Schol. exscri- bit. πραγματεύσασθαι Hesychio, ut hoc in loco. Dion. Halicarn. XI. 28. ἐκάθητο ἐπὶ τοῦ βήματος ΧΡΗΜΑΤΙΖΩΝ τε καὶ δικάζων τοῖς δεομένοις, et Jos. Ant. VIII. 12. 2. Demosth. ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου ΕΠΡΑΓΜΑΤΕΥΕΤΟ. Wass.
διάγνωσις c.f. γνώμη d.
Διαγνώμη] T. Mag. et Suidas hac voc. Wass.
13. τῷ] om. C.
ἔτει καὶ δεκάτῳ A.B.g.h.
τριακοντιδων P.b.
Τριακοντουτίδων σπονδῶν] v. c. 23. h. libri, ubi vocantur hæ σπονδαὶ τριακοντούτεις. Utrumque dicitur v. Polluc. I. 56. et Jungerm. Etymologus in τριακον- τούτης hujus loci meminit, sed vitiose: ὡς παρὰ τῷ συγγραφεῖ τῶν τριακοντουτίδων νεῶν ubi reponen- dum est σπονδῶν. Gottl.

σπονδῶν προκεχωρηκυιῶν, αἱ ἐγένοντο μετὰ τὰ Εὐβοϊκά.

88. Ad quam sententiam ferendam maxime timor potentiæ Atheniensium admodum crescentis eos movit.

* Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς Ἀθηναίους, μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα. * οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς ηὐξήθησαν. ἐπειδὴ

89. Quare uberius explicatur, quomodo Athenienses rerum potiti sint inde a bello Persico. Nam, Lacedæmoniis domum reversis, ulterius persequuti hostes, post reditum urbem suam denuo ex-

Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης, νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους, οἱ δὲ Ἀθηναῖοι, καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑπομείναντες Σηστὸν ἐπολιόρκουν Μήδων ἐχόντων, καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν ἐκλιπόντων τῶν βαρβάρων. καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόν-

διάκρισις. ἰδικὴ δὲ αὕτη ἡ λέξις. 1. Μετὰ τὰ Εὐβοϊκὰ] μεθ' ἃ ἔλαβον οἱ Ἀθηναῖοι τὴν Εὔβοιαν. 7. Οἱ γὰρ Ἀθηναῖοι] ἀρχὴ τῆς πεντηκονταετίας. 8. Ἐπειδὴ Μῆδοι] θαυμάζεται τὸ χωρίον καὶ ἐπὶ τῇ σαφηνείᾳ καὶ ἐπὶ τῇ συντομίᾳ. 9. Καὶ ναυσὶ καὶ πεζῷ] κατὰ τάξιν καὶ τοὺς ἀγῶνας τέθεικε, ναυσὶ καὶ πεζῷ. τὸ δὲ, ὑπὸ Ἑλλήνων, θαυμαστικὸν, τάχα τὸ τοὺς Μήδους τοσούτους ὄντας, ὑπὸ μικρᾶς χώρας αὐτοὺς ἀπελαθῆναι. 10. Αὐτῶν] τῶν Μήδων. 16. Σηστὸν] Σηστὸς ἡ πόλις λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς. 17. Ἐπιχειμάσαντες] τὸν χειμῶνα διαβιβάσαντες. Ἐκλιπόντων] ἦγουν

1. εὐβοεικὰ F.Q.g.h.

3. Ἐψηφίσαντο] Hunc locum excerpsit Dionys. de Thucyd. hist. jud. p. 834. Reisk. Gottl.

4. πολεμητέα εἶναι] πολεμεῖν ἀθηναίους Dionys. p. 834.

10. ὑπὸ] om. c.

11. λεωτύχης c.

12. ὅσπερ C.

13. ἐν πελοποννήσῳ C.I.K.b.e.

14. τῆς ἰώνιας O.

15. ἀφεστηκότος e.

Ἀφεστηκότες ἀπὸ βασιλέως] Ἀπὸ non agnoscunt quidam libri: quia præcesserat. Noster præpos. non adhibet VIII, 2. VII, 7. quam alibi retinet. Utroque modo loquitur D. Halic. et Demosth. vid. Diodorum 263. a. Wass. Supra Cap. 18. Οἵ τε ἀποστάντες βασιλέως Ἕλληνες. Duk.

ἀπὸ] τοῦ K.L.O.P.d.i.

17. ἐπιλιπόντων K.L.O.P.Q.

του ὡς ἕκαστοι κατὰ πόλεις. Ἀθηναίων δὲ τὸ κοινὸν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευήν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη· τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει, καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν. * Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρεσβεία, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτ' ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρὶν οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον, ὅσοις εἱστήκει, ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους, τὸ μὲν

struxerunt, nec non murum, 90—92. quamvis renitentibus Spartanis; quos dolo elusit Themistocles, auctor illius munitionis.

ἀφανισθέντων. 2. Ἐκ τῆς χώρας] τουτέστιν ἐκ Τροιζῆνος καὶ ἐκ Σαλαμῖνος. 4. Τὴν περιοῦσαν κατασκευήν] τὴν κινητὴν περιουσίαν. Τὴν πόλιν] διαστολὴν πόλεως καὶ τειχῶν ἐποιήσατο· καὶ ἔοικε κυριωτέραν τῆς πόλεως τὴν λέξιν ἐπὶ τῶν οἰκιῶν λαμβάνειν. 6. Οἰκίαι] ἀντὶ τοῦ οἰκιῶν. Ὅμηρος· οἱ δὲ δύω σκίπελοι. (Od. 12, 73.) 10. Μηδένα τεῖχος ἔχοντα] Ἀτείχιστον γὰρ ἦκουν τὴν πόλιν οἱ Λακεδαιμόνιοι. 15. Ξυνειστήκει] περίβολος δηλονότι. Μετὰ σφῶν] τῶν Ἀθηναίων. Τὸ μὲν βουλόμενον] οὐκ εἶπεν ἁπλῶς τὴν γνώμην οὐ δηλοῦντες, ἀλλὰ μετὰ προσθήκης, τὸ βουλόμενον τῆς

3. καὶ ante γυναῖκας om. K. L.O.P.
6. ἑστήκει I.
οἰκεῖαι F.H.
πεπτώκεσαν A.B.F.H.g.h. vulgo ἐπεπτώκεσαν.
7. ἐσκήνουν L.O.P.Q.c.d.i. ἐσκήψασαν C.e.
8. αἰσθανόμενοι G.
9. πρεσβείᾳ A.B.F.H.K.N.g. πρεσβείαν C. ἐς πρεσβείαν d.i. εἰς πρεσβείαν e.e.
μήτε vel μήτ' A.B.F.G.H.I.N. f.g.h. vulgo μήτοτ'.
10. μηδ' H.
12. αὐτῶν] αὐτὸ c.
πρὶν A.B.C.F.H.N.c.e.f.g.h. vulgo πρόην.
15. εἱστήκει C.G.c.d. vulgo ξυνειστήκει.
συγκαθελεῖν d. ξυγκαταβαλεῖν L.O.P.Q.
τὸ] τὸν K.
Τὸ μὲν βουλόμενον] D. Halicarn. in Epist. II. ad Ammæum § 10. inter idiotismos Thucyd. et hoc recenset, neque propterea in Antiqq. non adhibet, ut VII. 24. πολέμιον μὲν τὸ βουλόμενον ὑμῶν ἡγούμενος, δειλὸν δὲ τὸ δυνάμενον. IX. 9. et alibi. Quod ad Historiam spectat, adi Diodorum XI. p. 26a. d. Nepotem Themistocl. p. 48. Wass.

βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ Βαρβάρου, εἰ αἴθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ πόθεν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν. οἱ δ' Ἀθηναῖοι Θεμιστοκλέους γνώμῃ τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας, ἀποκρινάμενοι ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δ' ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν τὸ τεῖχος ἱκανὸν ἄρωσιν ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας παυδημεὶ τοὺς ἐν τῇ πόλει, καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φειδομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήματος, ὅθεν τις ὠφέλεια ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα διδάξας, καὶ ὑπειπὼν τἆλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχετο. καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχάς, ἀλλὰ διῆγε καὶ προὐφασίζετο.

γνώμης· ἐν φίλοις γὰρ μόνον ἡ γνώμη φανεροῦται, ἐν δὲ τοῖς ἐναντίοις καὶ τὸ ὑπονοούμενον ἀποκρύπτεται. διὰ δὲ τοῦ ὑπόπτου τὸ κρυπτὸν τῆς αὐτῶν πολιτείας σημαίνει. 5. Ἀφορμὴν] οἷον ἐξ ἧς ὁρμώμενός τις σῴζεται. 11. Ἐπισχεῖν] κωλῦσαι. 13. Τειχίζειν] εἰς τὴν ἀνάκτισιν τοῦ τείχους συνέρχεσθαι. Πάντας παυδημεί] τὸ πάντας, αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας. τὸ δὲ παυδημεί, μηδενὸς ἐν ταῖς οἰκίαις ὑπολειπομένου. 16. Ἐς τὸ ἔργον] εἰς τὴν κτίσιν. Πάντα] τὰ οἰκοδομήματα. 19. Προὐφασίζετο] al-

3. ὀχυροῦ K.d.e.
ὥσπερ ἐκ τῶν θ. νῦν c.
4. ἱκανὴν εἶναι ἀ. τε καὶ ἀ. A.B. F.H.c.f.g. vulgo ἀ. τε καὶ ἀ. ἱκανὴν εἶναι.
6. μὲν] om. Q.
7. ὡς] ἐς K.i.
αὐτὸν F.
9. δ] om. C.K.L.O.P.d.e.
11. ἐπισχεῖν] Nescio an rectius scribatur ἐπίσχειν.
τὸ τεῖχος ἱκανὸν A.B.C.F.G. H.L.O.P.Q.c.e.f.g. vulgo ἱκανὸν τὸ τεῖχος.
12. ἄρωσιν] libri omnes αἴρωσιν.
16. πάντα] ταῦτα γρ. h.
17. τἆλλα A.B. τἄλλα F.H.K. f.g. vulgo τὰ ἄλλα.
18. πράξει c.d.f.
19. πρὸς] ἐς i.
προεφασίζετο F.H.

καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων ὅ τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινὸν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν, καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν. * οἱ δὲ ἀκούοντες τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀφικνουμένων, καὶ σαφῶς κατηγορούντων ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας οἵτινες χρηστοὶ καὶ πιστῶς ἀπαγγελοῦσι σκεψάμενοι. ἀποστέλλουσιν οὖν, καὶ περὶ 91.

τίας προέτεινεν. 2. Ἐπέρχεται] ἐπέρχεται ὁ ξένος, παρέρχεται ὁ πολίτης. Οὐκ ἀκριβὴς ἡ παραγραφή. αὐτὸς γὰρ οὕτω περὶ τῶν Ἀθηναίων λέγει " καὶ " παρελθόντες ἔλεγον." μή ποτ' οὖν τὸ μὲν παρελθεῖν τὸ αὐτίκα δηλοῖ, τὸ δὲ ἐπελθεῖν τὸ ἀναβαλλόμενον κατ' ἀρχὰς, χρόνῳ τοῦτο διαπράξασθαι. 9. Παράγεσθαι] ἀπατᾶσθαι. 11. Σκεψάμενοι] βόντες, τοῖς ὀφθαλμοῖς

1. Ὅτι οὐκ] Aliquis fortasse διότι scribere hic malit, aut δι', ὅ, τι: at ego nihilo magis istud ὅτι suspectum habeo, quam mox ὡς, in his θαυμάζειν ὡς οὔπω πάρεισιν. Steph. Ὅτι pro διότι etiam in interrogatione poni, dudum ex Homero, Herodoto, Aristophane, aliisque adnotarunt Viri docti. Quæri tamen potest, cur tam inconstanter modo ὅτι, modo ὅ, τι scribatur. Herodot. I. 47. Ἐπηρωτέοντας ὅ, τι ποιέων τυγχάνει ὁ Λυδῶν Βασιλεὺς Κροῖσος. Ibid. III. Εἴρετο πρότερα ὅτι μὲν οὕτω προθύμως Ἅρπαγος μετεπέμψατο. Et sic sæpe apud alios. Schol. Aristoph. ad Vesp. v. 22. scribit in ὅ, τι pro quare, abundare ὅ, Ἀττικῶς, nec aliud esse, quam τί. Τί autem dicitur per ellipsin τοῦ διὰ, quid, id est, propter quid. Itaque ex illius sententia, quum hanc significationem habet, semper scribendum est ὅ, τι. Διῆγε Thom. Magister, in διάγω exponit ἐβράδυνε. Interpres non male, rem trahebat. Vid Suid. in διάγειν et διῆγε. Quæ hic Schol. de significatione verborum παρελθεῖν et ἐπελθεῖν scribit, etiam ap. Ulpian. ad Demosth. περὶ τῶν ἐν Χερρονήσῳ p. 58. et Suidam in παρελθεῖν leguntur. Sed vid. hic Steph. ad Schol. add. quæ supr. ad cap. 73. adnotantur. Duk.

2. πρέσβεις b.

5. μὲν om. L.O.P.Q.b.d.

7. τειχίζει τε ἤδη καὶ d.

ὕψος] πέρας K.L.O.P.Q.d.i.

9. αὐτοὺς] om. d.i.

Παράγεσθαι] Suidas h. v. λογ. μόνοις παραγ. Quod merito Kustero displicet. Wass.

10. σφῶν αὐτῶν πέμψαι K.

εἵτινες O.

χρηστοὶ] πιστοὶ K.i.

πιστῶς] πως Q.

11. ἀπαγγελοῦσι A.B.F.H.N.f. g. cum Suida vulgo ἀναγγελοῦσι.

αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει, κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν, καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν· ἤδη γὰρ καὶ ἦκον αὐτῷ οἱ ξυμπρέσβεις, Ἀβρώνιχός τε ὁ Λυσικλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ἐπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. οἵ τε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις ὥσπερ ἐπεστάλη κατεῖχον, καὶ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη, ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας· εἰ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. τήν τε γὰρ πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι καὶ ἐς τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι, καὶ ὅσα αὖ μετ' ἐκείνων

δηλονότι. 2. Ὡς ἥκιστα] τὸ ὡς ἀντὶ τοῦ ὥντως. 3. Αὐτοὶ] οἱ περὶ τὸν Θεμιστοκλέα. 5. Ἀριστείδης] ὁ λεγόμενος δίκαιος. Ἀγγέλλοντες] τῷ Θεμιστοκλεῖ δηλονότι. 7. Οὐκέτι ἀφῶσιν] τὸ ἐξῆς, μὴ οὐκέτι αὐτοὺς ἀφῶσιν οἱ Λακεδαιμόνιοι, ὁπότε σαφῶς ἀκούσειαν. Τοὺς πρέσβεις] τῶν Λακεδαιμονίων. 9. Ἐνταῦθα] ἐν τούτῳ τῷ χρόνῳ. Φανερῶς εἶπε] τὸ σχῆμα πλάγιον· δυνατὸν γὰρ καὶ ὡς ἀπὸ Θεμιστοκλέους καὶ ὡς ἀπὸ Θουκυδίδου ταῦτα λέγεσθαι. Κακῶς καὶ τοῦτο παραγέγραπται. ἄντικρυς τοῦ Θεμιστοκλέους ἐστὶν ἡ φωνή. λέγει γὰρ οὗτος, καὶ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις, ἐνταῦθα δὴ φανερῶς εἶπε. 12. Πρεσβεύεσθαι] πρέσβεις πέμπειν. Παρὰ σφᾶς] ἤγουν τοὺς Ἀθηναίους. 14. Ξύμφορα καὶ τὰ κοινά] τοῦτο ἐπεξήγησις τοῦ ὅτι ἔμφρονές εἰσι. 16. Μετ' ἐκείνων] ἤγουν τῶν Λακεδαιμονίων.

1. κρύφα τοῖς ἀθηναίοις h.
4. ἀβρώνιχός A.B. ἀβρώνιχός F. H. ἀβρώνχος Q. ἀκρώνιχός g.
7. οὖν] om. P.
8. ἐπεστάλκει Q. ἐπεστάλει c. Articulum ante θεμιστοκλῆς omisi cum A.B.F.H.c.f.g.h.
9. δὴ] om. g.
10. σφῶν] αὐτῶν C.G.I.K.L. O.P.Q.
11. Post ἐνοικοῦντας omisi ἐν αὐτῇ cum A.B.F.H.N.c.f.g.h.
12. ἢ] om. N. πρεσβεύοντες C. πρεσβεύοντας e. πρὸς διαγ.] προδιαγ. B.K.P.h.i.
14. ξυμφέροντα L.O.P.Q.
15. ἐς] om. K.N. ἐμβῆναι g. ἄνευ] ἔξω L.O.P.
16. αὖ] ἂν i.

βουλεύεσθαι, αὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. δοκεῖν οὖν σφίσι καὶ ῶν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι. οὐ γὰρ οἷόν τ' εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὁμοίου τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. ἢ πάντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν, ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν. * οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις (οὐδὲ γὰρ ἐπὶ κωλύμῃ ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο, ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν τὰ μάλιστα αὐτοῖς ἐτύγχανον,) τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως. 92.

1. Βουλεύεσθαι] κατὰ κοινοῦ τὸ εἰδέναι. 2. Τεῖχος ἔχειν] κατὰ κοινοῦ τὸ ἔφασαν. 4. Οὐ γὰρ οἷόν τε εἶναι] ἐὰν μὴ ἔχωμεν, φασὶ, τεῖχος, ὡς οἱ ἄλλοι, μέλλομεν οὐδὲ τὴν αὐτὴν γνώμην ἕξειν ἐν τοῖς πολέμοις. ἴσως γὰρ πολεμίων ἐλθόντων ἡμῶν μὲν δόξει μὴ μάχεσθαι, ἀλλὰ σπένδεσθαι, ὡς μὴ ἔχουσι τεῖχος, τοῖς δὲ ἄλλοις πολεμεῖν. οὐ γὰρ ἐνδέχεται, τὸν μὴ ὄντα ἴσον τῶν ἄλλων βαρσῆσαι κατ' ἐκείνους καὶ ὁμοίου τι ἀποφήνασθαι. 6. Ἢ πάντας] ἵνα ἐκ πάντων σώζηται τὸ ἴσον. Ἀτειχίστους] ἀπὸ ἀτειχίστου πόλεως. 9. Κωλύμῃ] κωλύσει. Ἰδίᾳ δὲ ἡ λέξις Θουκυδίδου. 10. Δῆθεν] ὁ δῆθεν προσωπίσιν μὲν ἔχει ἀληθείας, δύναμιν δὲ ψεύδους. Τῷ κοινῷ] ὑπὲρ τοῦ κοινοῦ. Ἐπρεσβεύσαντο] πρέσβεις ἔπεμπον. 12. Μάλιστα] ὑπερβαλλόντως. 14. Ἀνεπικλήτως] ἀκατηγορήτως, μηδὲν ἐγκληθέντες.

1. ὕστεροι A.B.C.I.K.c.h.i.
φανῆναι] δοῦναι K.
δοκεῖ L.O.P.
2. αὐτῶν vel αὑτῶν L.O.P.Q.
4. ἔσεσθαι f.
μὴ ἀντιπ. παρασκ. οὔσης d.
6. ξυμμαχεῖν] χεῖν g.
9. δὲ] om. L.
10. δὲ] om. K.
Προσφιλεῖς] e Thucydide laudat Pollux III. 63. Vid. ibi Jungerm. Utuntur eo saepe etiam alii. Dux.
11. ἐς] πρὸς c.f.
μῆδον] δῆμον I.
τὰ sumpsi ab A.B.C.F.H.K. L.N.O.P.b.c.e.f.g.h.i.
12. ἁμαρτόντες γρ. Q.
14. Ἀνεπικλήτως] Agnoscit Pollux VIII. 68. et ex Xenoph. Κυρ. ἀνεπίκλητον. Josephus, ἀνεπίκλητόν σοι παρασχόμενος τὴν ἁμαρτοῦσι πίστιν. Ælian. III. Var. Hist. 15. ἀτίκλητα προσειλήφασι. Xenophontis Codd. ad oram habent ἀνεπικλήτων, quomodo locutus olim Eupolis. vide et Hesychium. Caeterum οἵ τε κ.—

93. Qualis fuerit et ista et Piræei munitio, et quomodo facta.

Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ. καὶ δῆλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστὶν ὅτι κατὰ σπουδὴν ἐγένετο· οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται, καὶ οὐ ξυνειργασμένων ἔστιν ἥ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον, πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως, καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες ἠπείγοντο. ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν (ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς, ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξε), νομίζων τό τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους μέγα προφέρειν ἐς τὸ κτήσασθαι δύναμιν· τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστὶ, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. καὶ ᾠκοδό-μησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους, ὅπερ νῦν

1. Τῷ τρόπῳ] τῇ μηχανῇ. 2. Οἰκοδομία] τὸ οἰκοδομία τινὲς ἐξύνουσιν· οἰκοδομὴ δὲ οὐκ εἴρηται. 4. Οὐ ξυνειργασμένων] οὐ ξυσθέντων καὶ ἰσωθέντων. Ἔστιν ἥ] κατά τινας τόπους. 5. Ἀπὸ σημάτων] ἀπὸ βάσεων ἀνθριάντων. 6. Εἰργασμένοι] οἷον ἐγγεγλυμμένοι τύπους τινὰς καὶ πρόσωπα ἔχοντες, λελαξευμένοι. Ἐγκατελέγησαν] ἐγκατῳκοδομήθησαν. Ὅμηρος· Αἰμασιάς τε λέγων (Od. 18, 358.) Μείζων] τοῦ πρότερου δηλονότι μείζων. 8. Ὁμοίως] καὶ κοινὰ καὶ ἱερὰ δηλονότι. 9. Ὑπῆρκτο δ' αὐτοῦ] ἀρξάμενος ἦν τοῦ ἔργου αὐτός. 10. Ἐκείνου] τοῦ Θεμιστοκλέους. Κατ' ἐνιαυτὸν] κατά τινα ἐνιαυτὸν ἡγεμὼν ἐγένετο· πρὸ δὲ τῶν Μηδικῶν ἦρξε Θεμιστοκλῆς ἐνιαυτὸν ἕνα. 12. Αὐτοφυεῖς] ἤγουν οὐ χειροποιήτους. Αὐτοὺς] τοὺς Ἀθηναίους. 13. Προφέρειν] ἐπιδοῦναι. Ἐς τὸ κτήσασθαι δύναμιν] εἰς τὸ δυνατωτέρους γενέσθαι. δύναμιν, ἤγουν θαλασσίαν. 14. Ἀνθεκτέα ἐστί] πρῶτος εἶπε, φησὶν, ὅτι δεῖ πάσῃ δυνάμει ἀντέχεσθαι τῆς θαλάσσης. 15. Εὐθὺς ξυγκατεσκεύαζεν] εὐθὺς, φησὶν, ἅμα τῷ συμβουλεῦσαι, ἦρξατο θαλασσοκρατίαν κατασκευάζειν. 16. Τοῦ τείχους] τοῦ ἐν Πειραιεῖ.

ἀνεπικλήτως habentur apud Suidam in ἀνεπικλήτως. Wass. De loco Xenophontis vid. Jungerm. ad Pollucem. Verba Josephi apud Suidam sunt ex Archæolog. XVIII. 4. Duk.

1. οἱ] om. C.K.L.O.P.Q.d.e.
4. ἀλλ' ὡς] ἄλλως C. ἕκαστον C.Q.
6. ἐκκατελέγησαν K.
8. ἐκίνουν P.Q. ἠπείγοντο]. ὑπήγοντο e.
14. δὴ] om. Q.

ἔτι δῆλόν ἐστι περὶ τὸν Πειραιᾶ· δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. ἐντὸς δὲ οὔτε χάλιξ οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ δεδεμένοι. τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη οὗ διενοεῖτο. ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιστάναι τὰς τῶν πολεμίων ἐπιβουλάς, ἀνθρώπων τε ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακήν, τοὺς δ' ἄλλους ἐς τὰς ναῦς ἐσβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο, ἰδών, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραῖα ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως, καὶ πολλάκις τοῖς Ἀθηναίοις παρῄνει, ἢν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας

2. Ἀλλήλαις] ἢ ὑπαντῶσαι ἀλλήλαις, ἢ συνεζευγμέναι διὰ τὰ μεγέθη τῶν λίθων. 3. Ξυνῳκοδομημένοι] συνδεδεμένοι. 4. Ἐν τομῇ] διὰ τῆς τομῆς. Ἐγγώνιοι] τετράπλευροι, τετράγωνοι. 6. Οὗ διενοεῖτο] οὗ τινὸς ὕψους διενοεῖτο εἶναι τὸ τεῖχος. Ἐβούλετο γὰρ] ὁ Θεμιστοκλῆς. 7. Ἀφιστάναι] ἀποτροπὴν ποιεῖν. ἀποπέμπειν. Ἐπιβουλάς] ἐπιθέσεις. 8. Τῶν ἀχρειοτάτων] οἷον, γεραιτέρων καὶ παίδων. 10. Προσέκειτο ἰδών] τὸν νοῦν προσεῖχε νοήσας. διὸ καὶ ναύμαχος ἐκαλεῖτο. 11. Τὴν κατὰ θάλασσαν ἔφοδον] ἐπιστάμενος, φησὶ, τοὺς Πέρσας βᾷον διὰ θαλάσσης ἢ διὰ γῆς ἔρχεσθαι. Εὐπορωτέραν] πλέον δυναμένην. 13. Τῆς ἄνω πόλεως] εἶναι δηλονότι. 14. Καταβάντας ἐς αὐτὸν]

1. παρὰ g.

2. ἐπῆγον τοὺς λίθους K.Q.

χάληξ K.Q.h.i.

5. μολίβδῳ B.C.H.I.K.L.O.d. e.g.h.i.

Μολύβδῳ] Μολβδῳ quidam scripti; et sic apud Aristot. et Dioscor. Mœris, Μίλυβδος Ἀττικῶς. μόλυβος Ἑλληνικῶς. Huds. μόλυβος Ἀττικῶς. at potius μόλιβος. nam illud Homeri et Poëtarum. μόλιβδος tamen passim apud LXX. et μόλιβος in quibusdam MSS. uti et Alex. Job. xix. 24. Ezek. xxii. 37. μολίβου et μολίβδου Alex. nunquam μολύβου aut μολύβδου. Jos. 1232. μολίβδις. Utroque modo Glossæ, Suidas, Hesych. In Clem. Alex. MSS. variant. 206. 12. puto μόλιβ. a recentioribus. Corrige obiter Oppianum in Halieut. IV. 302..... θαλλοὶς γὰρ ὁμοῦ δήσαντες ἐλαίης, Ὅττι μάλ' εὐφυέας, μόλιβδον μέσον ἐγκατέθηκαν. Ibi Pal. 1. μόλυβον recte. Wass. De structura murorum apud veteres Vid. Lips. III. Poliorcet. 5. Duk.

6. ἠβούλετο b.

7. ἐπιβουλὰς A.B.C.F.H.I.N. d.e.f.g.h.i.

10. Προσέκειτο] Suidas, Προσέκειτο, προσεῖχε. Θουκυδ. α'. Duk.

14. γῆν om. e. τὴν γῆν b. καταβάντες C.H.I.K.i.

ἐς αὐτὸν ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν καὶ τἆλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

94. Porro, duce Pausania, communi expeditione in Cyprum, et postmodo Byzantium facta, captoque hoc oppido,

* Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου· ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος. καὶ ἐστράτευσαν ἐς Κύπρον, καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο, καὶ ὕστερον ἐς Βυζάντιον Μήδων ἐχόντων, καὶ ἐξεπολιόρκησαν

95. socii, imprimis Iones, Pausaniæ violentia læsi, Atheniensibus imperium deferunt; reus factus Pausanias domum arcessitur, sed

ἐν τῇδε τῇ ἡγεμονίᾳ. * ἤδη δὲ βιαίου ὄντος αὐτοῦ οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο, καὶ οὐχ ἥκιστα οἱ Ἴωνες καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενές, καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν ἤν που βιάζηται. οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους, καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περισῳζόμενοι τἆλλά τε

τῇ γνώμῃ δηλωσίτι Θεμιστοκλέους. 2. Ἐτειχίσθησαν] τῷ τείχει περιεφυλάχθησαν. Τἆλλα] τὰ ἰδιωτικὰ καὶ οἱ ναοὶ δηλονότι. 3. Εἴθις] μετὰ τὸ τετειχισθῆναι. Μετὰ τὴν Μήδων ἀναχώρησιν] μετὰ τὰ κατὰ Μαρδόνιον. ταῦτα δὲ ἆδει εἰκαῖν μετὰ τὰ ἐν Μυκάλῃ. ἀλλὰ διὰ μέσου τὴν τειχοποιΐαν εἰκαῖν, εἰκότως πάλιν ἐπανέρχεται ἐπὶ τὰ κατὰ Παυσανίαν. 8. Ἐς Κύπρον] διὰ τὸ εἶναι αὐτὴν ὑπὸ βασιλέα. Κατεστρέψαντο] κατεχάλασαν. 9. Ἐς Βυζάντιον] ἀπὸ κοινοῦ τὸ ἐστράτευσαν. Ἐξεπολιόρκησαν] πολιορκῆσαι τὸ μόνον πίλει προσκαθεσθῆναι πολεμίους· ἐκπολιορκῆσαι τὸ τελέως καταλαβεῖν τὴν πόλιν καὶ εἰσελθεῖν. 10. Βιαίου ὄντος αὐτοῦ] τυραννικοῦ ὑπάρχοντος τοῦ Παυσανίου. 14. Κατὰ τὸ ξυγγενές] διὰ τὴν ξυγγένειαν. Ἐπιτρέπειν] ἄδειαν διδόναι. 16. Προσεῖχον τὴν γνώμην] πρὸς αὐτοὺς εἶχον τὴν γνώμην. Τἆλλα] τὰ περὶ τῆς ἡγεμονίας.

1. ἀπάτας g.
ἀνθίστανται I.

4. Παυσανίας] Confer Diodorum XI. 265. a. qui pro XX. navibus L. habet, et Nostrum I. 128. Plutarch. Cimon. 482. b. WASS.

10. ἤδη] om. P.
δὲ] om. g. om. et Stephanus, novam periodum orsus ab illis ἐν τῇδε.
καὶ ante βιαίου omisi cum B. C.F.H.K.L.N.O.P.Q.c.d.e.f.h.

13. τοὺς ἄλλους ἀθηναίους B.g.h.
γίγνεσθαι vel γίνεσθαι C.G.I.K. L.O.P.Q.d.e.i.

14. Κατὰ τὸ ξυγγενὲς] Vid. Spanhem. Dissert. IX. de Usu et Præst. Numism. p. 582. DUK.

16. τῇ γνώμῃ C.G.I.K.L.O. P.e.

καταστησόμενοι, ἢ φαίνοιτο ἄριστα αὐτοῖς. ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν, ἀνακρινοῦντες ὧν περὶ ἐπυνθάνοντο· καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἡ στρατηγία. ξυνέβη τε αὐτῷ καλεῖσθαί τε ἅμα, καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι, πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν. ἐλθὼν δὲ ἐς Λακεδαίμονα τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν· κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα Μηδισμός, καὶ ἐδόκει σαφέστατον εἶναι. καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δὲ καὶ ἄλλους τινὰς μετ' αὐτοῦ, στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν. οἱ δὲ αἰσθόμενοι ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι μὴ σφίσιν οἱ ἐξιόντες χείρους

absolvitur judicio.

1. Φαίνοιτο] ἀντὶ τοῦ ἐφάνη. 2. Μετεπέμποντο Παυσανίαν] εἰς Λακεδαίμονα δηλονότι. 4. Ἀφικνουμένων] εἰς Λακεδαίμονα ἐρχομένων. 5. Ἡ στρατηγία] τὸ ἢ ἄλλοι σύνδεσμον, ἕτεροι δὲ ἄρθρον εἶπον. 6. Καλεῖσθαι] εἰς Λακεδαίμονα δηλονότι. 7. Παρ' Ἀθηναίους μετατάξασθαι] πρὸς Ἀθηναίους μετελθεῖν, μετατεθῆναι. Πλὴν τῶν ἀπὸ Πελοποννήσου] οἱ γὰρ Πελοποννήσιοι ὑπήκοοι τῶν Λακεδαιμονίων. 9. Εὐθύνθη] εὐθύνας δέδωκε καὶ κατεδικάσθη καὶ κατεγνώσθη. Τὰ δὲ μέγιστα] τὰ κοινά, ὅ ἐστι δημόσια. 11. Μηδισμός] τὰ τῶν Μήδων φρονῆσαι. Σαφέστατον] τοῦτο ὡς παρὰ τοῦ Θουκυδίδου εἴρηται. οὐ γὰρ λέγει τοῖς Λακεδαιμονίοις σαφέστατον εἶναι· ἢ γὰρ ἂν ἐτιμωρήσαντο αὐτόν, ὃ καὶ πεποιήκασιν ὕστερον μετὰ τὸν ἔλεγχον. 12. Οὐκέτι ἐκπέμπουσι] Λακεδαιμονίοις πρὸ τῆς ἐξετάσεως ἐδόκει τὸ ἔγκλημα σαφὲς εἶναι· μετὰ δὲ τὴν οὐκ ὀρθὴν ἐξέτασιν ἔδοξε μὲν ἀπολελύσθαι, οὐ μὴν παντάπασιν ἀπήλλακτο τῆς ὑποψίας. διὸ οὐδὲ ἐξεπέμφθη παρ' αὐτῶν ἔτι. Δόρκιν] ὄνομα κύριον. 14. Ἐφίεσαν] παρεχώρουν τοῖς περὶ τὸν Δόρκιν. Τὴν ἡγεμονίαν] ἡγεμονείαν. 15. Ἀπῆλθον] εἰς Λακεδαίμονα δηλονότι. 16. Μὴ σφίσιν] μὴ μηδίσωσι, καὶ χείρους τῶν πραγμάτων τῶν Λακωνικῶν

1. καταστησάμενοι B.C.F.H.I. b.c.g.
7. ἄχθει L.O.Q.
14. ἀφίεσαν H.L.O.
τὴν] om. C.K.d.e.i.
15. ἐπῆλθον e.
ἔπεμψαν K.L.O.Q.
16. οἱ] om. K.i.

γίγνωνται, ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον, ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου, καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους. * παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ ἑκόντων τῶν ξυμμάχων διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἃς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον, καὶ ἃς ναῦς· πρόσχημα γὰρ ἦν ἀμύνασθαι ὧν ἔπαθον, δηοῦντας τὴν βασιλέως χώραν. καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα. ταμιεῖόν τε

96. Atheniences autem tributorum et navium, quas singuli socii præbebant, rationem constituunt, item quæstores, et ærarium in Delo collocant.

γένωνται. 1. Ἀπαλλαξείοντες] ἀπαλλακτικῶς ἔχοντες, τουτέστιν ἐπιθυμοῦντες ἀπαλλαγῆναι. 3. Ἐξηγεῖσθαι] ἡγεμόνας εἶναι. Ἐν τῷ τότε παρόντι] ἐν τῷ ἐνισταμένῳ χρόνῳ. 7. Πρὸς τὸν βάρβαρον] κατὰ τοῦ βαρβάρου. Πρόσχημα] πρόφασις. 8. Ὧν ἔπαθον] λείπει ἡ ὑπέρ, ὑπὲρ ὧν. 9. Ἑλληνοταμίαι] οἱ δεχόμενοι τοὺς φόρους συναγομένους ἀπὸ τῶν Ἑλλήνων, καὶ φυλάσσοντες αὐτοὺς, ἐκαλοῦντο Ἑλληνοταμίαι. 11. Ἡ φέρα] ἡ δόσις. Φόρος ταχθεὶς] φόρος ὠνομάσθη καὶ ἐτάχθη ὑπὸ Ἀριστείδου τοῦ δικαίου ὁ πρῶτος. 12. Ταμιεῖόν τε Δῆλος ἦν] ἵνα μὴ δόξωσιν οἱ Ἀθη-

1. ὅσπερ O.
ἐν] om. A.
εἶδον N.
Ἀπαλλαξείοντες—πολέμου] Th. Mag. Wass. In ἀπήλλαξεν. Et Suidas in ἀπαλλάξειεν. Duk.
5. ἑκόντων τῶν ξ.] om. L.P.Q.
Ἑκόντων τῶν ξυμμ.] Herodotus VII. 144. ἅμα Ἕλλήνων τοῖσι βουλομένοισι. Wass. Habet etiam Suidas in Ἑλληνοταμίαι. Duk.
8. ἀμύνασθαι A.B.F.G.N.O.d. g.h.i. vulgo ἀμύνεσθαι.
τὴν τοῦ βασιλέως C.I.e.
9. Ἑλληνοταμίαι] Vid. Suidam, Schol. et Thucyd. perperam exscribentem in Ἑλληνοταμίαι, et Harpocr. ead. voc. Confer Plutarch. Aristide 333. πεντακοσίων καὶ ἑξήκοντα male Diodor. Vid. Nepotem in Aristide. Wass. De Ἑλληνοταμίαις habet etiam Andocides Orat. III. in fin. et Pollux VIII. 114. ubi vid. Jungerman. Suidas in Ἑλληνοταμίαι hunc locum Thucydidis descripsit a παραλαβόντες usque ad ἀρχὴ, omissis tantum verbis τούτῳ τῷ τρόπῳ· sed perperam apud eum est, κατέστη τοῖς Ἀθηναίοις πρώτη ἀρχή. Ceterum, quia φόρου nomen grave et odiosum erat Græcis, pro eo deinde cœpit dici σύνταξις. Harpocrat. in σύνταξις, et Spanhem. ad Julian. Orat. I. p. 166. Duk.
12. καὶ ταμιεῖον g. ταμειον K.b.
δὲ] K.
Ταμιεῖον quidem non raro pro ærario publico legitur in prosæ

Δῆλος ἦν αὐτοῖς, καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο. * ἡγού-
μενοι δὲ αὐτονόμων τὸ πρῶτον τῶν ξυμμάχων καὶ ἀπὸ κοι-
νῶν ξυνόδων βουλευόντων, τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ
διαχειρίσει πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ
τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς καὶ
πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας καὶ Πελο-
ποννησίων τοὺς ἀεὶ προστυγχάνοντας ἐν ἑκάστῳ. ἔγραψα

97—99. Cum ea, quæ inter hoc et Persicum bellum ab Atheniensibus gesta sunt, ab aliis auctoribus aut plane omissa, aut minus accurate tractata sint, Thucydides singula breviter recenset, causasque exponit, quare socii ab A-

ναῖοι εἰς ἴδιον κέρδος ἔχειν. 1. Δῆλος] νῆσος μία τῶν Κυκλάδων. Ξύνοδοι] συνελεύσεις. 2. Αὐτονόμων τὸ πρῶτον] ὕστερον γὰρ ὡς δούλων ἦρχον. Ἀπὸ κοινῶν ξυνόδων] πάντες γὰρ κοινῶς συνηθροίζοντο ἐν ταῖς βουλαῖς. 3. Τοσάδε ἐπῆλθον] τοσαῦτα διεπράξαντο ὅσα κατιὼν ἐρεῖ ἐν τῇ πεντηκοστατείᾳ. Καὶ διαχειρίσει] διοικήσει. 4. Μεταξὺ τοῦδε τοῦ πολέμου] ἐν τῇ πεντηκοστατεταρτῇδι. 5. Αὐτοῖς] τοῖς Ἀθηναίοις. 6. Νεωτερίζοντας] ἀφισταμένους. 7. Προστυγχάνοντας] ἐμποδίζοντας. Ἐν ἑκάστῳ] πολέμῳ ἢ χωρίῳ ἢ χρόνῳ. Ἔγραψα] οὐχ ὅτι ἤδη ἔγραψεν, ἀλλ' ὅτι ὅμως γέγραπται, εἰ καὶ μήπω εἴρηται. Ἔγραψα] μέχρι τούτου ἡ παρεκβολὴ τῆς διηγήσεως τῶν προϋπαρ-

Scriptoribus, ut Plutarch. Quæst. Rom. 41. et 42. Dion. Lib. LV. p. 565. Herodian. I. 6. et VII. 4. Sed hæc et alia hujusmodi loca suspecta esse possunt propter varietatem scripturæ in quibusdam. Ita, quod in Dion. Halic. p. 551. in Vulgatis est ταμείου, MS. Vat. habet ταμείου. Et in Excerptis ejusd. p. 747. Pacii Codex ταμιεῖον pro ταμεῖον. In Plut. quoque quod l. d. est ταμεῖων, rursum in Publicolæ vita in Stephani Ed. et his, quæ post eam prodierunt, est ταμιεῖον. Ταμεῖον pro *cella penuaria* est in Theophr. Char. C. IV. et Menandro ap. Harpocr. v. Κτησίου Διός, qui locus fortassis non eget emendatione. Nam ibi sermo est de cella promtuaria. Et sic Gloss. Ταμεῖον, τὸ ἰδιωτικὸν, *collatitium*, *cella*, et, Ταμιεῖον, τὸ δημόσιον, *Fiscus*, *ærarium*. Diodor. Sic. XI. 266. de hoc communi ærario Græcorum et conventibus in Delo, Εἰθὺς οὖν ὁ μὲν Ἀριστείδης συνεβούλευσε τοῖς συμμάχοις ἅπασι, κοινὴν ἄγουσι σύνοδον ἀποδεῖξαι τὴν Δῆλον κοινὸν ταμιεῖον. Videndum etiam, an huc pertineant verba Etymol. M. Σύνοδος, ἡ ἐκ πολλῶν συναγωγὴ ἐπί τινι· ὡς Θουκυδίδης, ἀεὶ σύνοδοι ἐπὶ τὸ ἱερὸν ἠγέροντο. Duk.

1. δῆλον I.

καὶ αἱ ξ.] A.B.F.H.L.N.O.c. f.g.h. καὶ οἱ ξ. Q. vulgo omittunt articulum.

4. διαχειρίσει A.B.I.N.O.f.g. h.i. διαχρήσει G.

Διαχειρίσει] Thom. Mag. ἐν πολέμῳ τε καὶ διαχειρήσει πραγμάτων. Wass. Est apud Thom. in διαχρῶμαι. Sed non est habenda illius ratio. Nec dubito, quin in Poll. v. 156. pro διαχείρησις sit legendum διαχείρισις. Nam a διαχειρίζω, unde ibi nomen deductum refert, non potest esse διαχείρησις. Duk.

τοῦ] om. Q.

theniensibus oppressi sint, et potuerint opprimi. Primum Eiam captum, deinde Scyrus et Carystus, et Naxus, quæ a societate defecerat.

δὲ αὐτὰ καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε, ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον, καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν ἢ αὐτὰ τὰ Μηδικά· τούτων δὲ ὅσπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος, βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη. ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν Ἀθηναίων, ἐν οἵῳ τρόπῳ κατέστη.

98. * Πρῶτον μὲν Ἠιόνα τὴν ἐπὶ Στρυμόνι Μήδων ἐχόντων πολιορκίᾳ εἷλον καὶ ἠνδραπόδισαν, Κίμωνος τοῦ Μιλτιά-

ξάντων. 1. Τὴν ἐκβολὴν] τὴν ἐκτροπήν. (τὴν παράβασιν ἢ μετάβασιν.) 2. Τοῖς πρὸ ἐμοῦ] ἱστοροῦσι. Τὸ χωρίον] τῆς ἱστορίας δηλονότι, ἤτοι τῆς πεντηκονταετίας, εἰάθη παρ' ἐκείνοις. 3. Τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ] τὰ Τρωϊκὰ φησὶ καὶ Ἀμαζονικὰ καὶ Θρᾳκικά. Ξυνετίθεσαν] συνέγραψαν. 7. Κατέστη] ἐγένετο. 8. Ἠιόνα] ὅτι δύο Ἠϊόνες εἰσὶν ἐν τῇ Θρᾴκῃ· ἀλλ' ἡ μὲν λιμὴν τῆς Ἀμφιπόλεως ἐστὶ, περὶ ἧς νῦν λέγει, ἡ δὲ ἄλλη πόλις. Λυκόφρων· Τὸν μὲν γὰρ Ἠὼν Στρυμόνος Βισαλτία (417). Στρυμόνι] Στρυμὼν ποταμὸς Θρᾴκης.

1. ἐσβολὴν K.

Ἐκβολὴν] Cicer. VII. ad Attic. 1. Sed hæc fuerit, ut ait Thucydides, ἐκβολὴ λόγου non inutilis. Wass. Add. Thom. Mag. h. v. Duk.

2. Ἐκλιπὲς] Scribendum potius ἐλλιπὲς, utitur autem hoc vocabulo et alibi. Steph. Descripsit hunc locum Dionys. Halicarn. p. 141. ab ἔγραψα usque ad κατέστη, ubi etiam est ἐκλιπές. Wass. Dionysium de ἐλλιπὲς, quod præfert Stephanus, non cogitasse apparet ex his illius verbis, αὐτὸς γὰρ ὡς ἘΚΛΕΙΦΘΕ'ΝΤΑ τὸν τόπον τοῦτον ὑπὸ τῶν ἀρχαίων ἄξιον ἱστορίας ὑπείληφεν, αὐταῖς λέξεσιν οὕτω γράφων. Duk.

τὸ χωρίον τοῦτο ἦν Dionys. p. 836. τοῦτο τὸ χωρίον K. τοῦτο ἦν χωρίον I.

3. ξυνετέθησαν B.e.g.h.

4. ὥσπερ L. ὧνπερ Dionys.

9. Ἠϊόνα] Ita MSS. Stephanum, Scholiasten, et Eustathium reprehendit Holsten. et unam hujusce nominis urbem tantum agnoscit. In Olymp. LXXVII. 3. Diodor. p. 272. d. Xenoph. 442. Thucyd. IV. 7. 50. 102. 104. Voss. ad Scylacem p. 37. Pausan. 614. Plutarch. Vit. 482. Herodot. VII. 25. et 113. Polyæn. VII. 24. Pyrrhi Ligorii numus cum urna et urceo apud Harduin. 572. ΗΙΟΝΕΩΝ. Cantacuzeno Ἀνακτορόπολις. Wass. Ad ea, quæ contra Stephanum, Scholiasten Thucyd. et Eustathium disputat Holstenius, add. Berkel. ad Steph. in Ἠϊών. Duk.

στρυμμόνι Q.g.h.i.

δον στρατηγοῦντος. ἔπειτα Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νή-

1. Σκῦρον] μίαν τῶν Κυκλάδων.

1. σκῦρον B. vulgo σκύρον.

Σκῦρον] Κλῆσιν ἔχει διὰ τὸ σκληρὸν, καὶ οἷον σκυρώδες, ἤτοι λιθῶδες. σκύρος γὰρ ἡ λαστύνη, inquit Eustathius. Eadem fere Hesychius, et Schol. Pindari Pyth. V. 124. σκυρατὴ ἀντὶ τοῦ λιθόστρωτος. Ibi MS. Emman. Οἰχνέοντες pro Ἰχνέοντες. Confer Etymologum in Ἀργανθῶσαι, et Suidam v. Ἀρχὴ Κυρ. Scopulosam recte vocat Statius. Vid. et Aristotelem Hist. Anim. I. 9. p. 277. Insula ab antiquitate, et lapide Scyrio perinde memorabilis est. Eam enim in belli societatem adsumsit Minos. v. Ovid. M. VII. 464. Rex ejus Lycomedes ante bellum Trojanum satis opinor notus, ob Achillis adfinitatem. Consule Statium et Apollodorum III. 12, 8. Pelasgi olim et Cares habuerunt, ut ex Nicolao apud Steph. constat. Postea Dolopes prædones tenuere; sed hanc gentem expulit Cimon, cujus acta et expeditionem tradunt Diodorus, Plutarchus, Pausanias. Hinc Dicæarcho Πελασγὶς Σκῦρος. Thessaliæ adtributam scribere videtur Catullus in Epithalam. Pel. et Thet. Domum tota frequentat Thessalia. —Describitur Scyros. Chalcidenses item possedisse ex numis ibi effossis cum hac inscriptione ΧΑΛΚΙΔΕΩΝ, de quibus adi Tournefort I. 35. Idem tradit M. Heracleota. Demosthenis tempore Athenienses obtinuere, ut ex ejus in Callippum oratione et Strabone postea satis constat. In Philippi potestatem venisse credo circa Olymp. CX. Dein Bello Macedonico Ol. CXLVII. Atheniensibus restitutam a Romanis prodidit Valerius Antias. Neronem juvenem ibi hæsisse nos certiores facit Diodorus Sardianus in Epig. 6. Αἰγιβότου Σκύρου, &c. Quod ad vocem αἰγιβότου spectat, notandum est Scyrum abundasse optimæ notæ capris. Ita Strabo, Ælianus de Animal. III. 33. aliique, sed nec iis hodie destitui affirmant nupera itinerantium scripta. Vide Parœmiographos in Capra Scyria, et Scyrius principatus. Auctor Sibyllinorum: Τλήμων Ἀντιόχεια, σὲ δὲ πόλιν οὐκ ἔτ' ἐροῦσιν, Εἵνεκεν ἀφρωσύνης Ἰταλοῖς ὑπὸ δούρασι πίπτεις. Καὶ ΣΚΥΡΟΣ ΤΟΤΕ λοιμὸς ἕλοι, καὶ φύλοπις αἰνή· et paulo post: Καὶ τότε γιγνώσκειν θεὸν οὐκέτι πρὶν ἐόντα, Ἀλλὰ χρόῳ κραίνοντα, καὶ ἑξωλέκοντα γενειὰν Ἀνθρώπων μάλα πᾶσιν. Si ulla hic connexio, nec Sibyllina plane folia sint hi versus, respexisse putem ad annum Christi CXCIV. quo Nigrum Consulem ad imperium evexerunt Antiochenses. Illico enim stultitiæ suæ pœnas gravissimas Severo dederunt, in decretorio illo ad Issum prælio. Herodiani III. 4. Ἐπὶ πολὺ δὲ αὐτῶν διαγωνισαμένων, πολλοῦ τε ἐργασθέντος φόνου, ὡς καὶ τὰ ῥεῖθρα τῶν διὰ τοῦ πεδίου ποταμῶν ῥεόντων αἵματος πλεῖον ἢ ὕδατος κατάγειν εἰς θάλασσαν, τροπὴ τῶν ἀνατολικῶν γίνεται. At Niger Antiochiam pervenit, καταλαβὼν δὲ φεύγοντα τὸν λοιπὸν δῆμον εἴ τις ΚΑΤΑΛΕΛΕΙΠΤΟ, οἰμωγήν τε καὶ πένθος ἐν τῇ πόλει, παῖδάς σε καὶ ἀδελφοὺς θρηνούντων, γενόμενος ἐν ἀπογνώσει καὶ αὐτὸς ἀποδιδράσκει, &c. Ὁ δὲ Σεβῆρος καθελὼν τὸν Νίγρον, τοὺς μὲν

σον, ἣν ὤκουν Δόλοπες, ἠνδραπόδισαν, καὶ ὤκισαν αὐτοί. πρὸς δὲ Καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο, καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν. Ναξίοις δὲ ἀποστᾶσι μετὰ ταῦτα ἐπολέμησαν, καὶ πολιορκίᾳ παρεστήσαντο, πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη, ἔπειτα δὲ καὶ τῶν ἄλλων
99. ὡς ἑκάστη ξυνέβη. * αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων, καὶ μέγισται αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι, καὶ λειποστράτιον εἴ τῳ ἐγένετο· οἱ γὰρ Ἀθηναῖοι ἀκρι-

1. Ὤκισαν] ἀποίκους ἀποστείλαντες δηλονότι. 2. Αὐτοῖς] τοῖς Ἀθηναίοις. Πόλεμος ἐγένετο] μόνοι γὰρ τῶν Εὐβοέων οὐχ ὑπήκουον Ἀθηναίων, ἀλλὰ διὰ τοῦτο πρὸς μόνους αὐτοὺς ἐπολέμησαν. 3. Καθ' ὁμολογίαν] ὁμολογεῖν ἐστὶ τὸ συμφωνεῖν. 4. Ἐπολέμησαν] οἱ Ἀθηναῖοι δηλονότι. 5. Παρεστήσαντο] ἐδούλωσαν. 6. Παρὰ τὸ καθεστηκὸς] παρὰ τὸ νόμιμον καὶ πρέπον· ἐλεύθεροι γὰρ ἦσαν οἱ Ἕλληνες τότε. 7. Ἑκάστη ξυνέβη] ἀπὸ κοινοῦ, ἐδουλώθη. 8. Ἔκδειαι] ἔκδειαι ἑκούσιον, ἔνδειαι ἀκούσιον. Ἄλλως, ἔκδειαι, οὐκ ἔνδειαι· τουτέστιν ἀπολείψεις, ἀτέλειαι. 9. Λειποστράτιον] τὸ μὴ θέλειν στρατεύεσθαι.

ΦΙΛΟΤΣ αὐτοῦ καὶ εἴ τινες οὐ μόνον ἐκ προαιρέσεως, ἀλλὰ δι' ἀνάγκης προσέθεντο αὐτῷ, παντὰς ΑΦΕΙΔΩΣ ἐκίλασε. Pro γενεὰν in Sibyll. legerim γενέθλην. Reliquam Scyri Historiam contexuit Du Cangius Hist. Constant. Wass.

1. ἠνδραποδίσαντο G.

ὤκησαν F.H.Q.

Ὤικισαν] Non dubito, quin ὤκησαν, non ὤκισαν scribendum sit. Steph. Nihil mutandum videtur. Diodor. Sicul. XI. 272. Σκύρον δὲ, Πελασγῶν ἐνοικούντων καὶ Δολόπων, ἐξεπολιόρκησε· καὶ κτίστην Ἀθηναῖον καταστήσας, κατεκληρούχησε τὴν χώραν. Corn. Nep. Cim. II. *Scyrum—vacuefecit; sessores veteres urbe insulaque ejecit:* agros civibus divisit. Hoc est, quod Thucydides dicit, Σκύρον ὤκισαν Athenienses, duce Cimone. Duk.

2. post δὲ omisi καὶ cum A.B. C.F.H.K.L.N.O.b.c.d.e.f.g.h.i. καρυστίοις Q.

4. μετὰ] καὶ μετὰ G.

6. καθεστηκὸς] εἰκὸς e.

δὲ] δὴ O.

7. ὡς] ὧν O.

8. ἔνδειαι G.K.L.O.d.i.

Ἔκδειαι] Altera interpretatio Scholiastæ, ἀπολείψεις, ἀτέλειαι huic loco convenit. Ἔνδεια, *inopia, penuria*, hic locum non habet. Ἔκδεια autem est, quum quis non totum solvit, quam reliquationem vocant. Vid. Suid. in ἔκδεια, Vales. ad Harpocrat. h. v. et Salmas. de Mod. Usur. p. 713. Cur. Steph. et Port. verterint *ejurationes tributorum et navium*, non intelligo. Valla sequutus est alteram scripturam: nam vertit *tributorum penuria naviumque*. De λειποστρατίῳ Poll. VIII. 40. Herodoto V. 27. est λειποστρατία. Vid. Thom. Mag. in λειποτάξιον. Duk.

9. τῳ] τι L.O.P.Q.

βῶς ἔπρασσον καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας. ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεστράτευον ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφισταμένους. ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι· διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν στρατειῶν οἱ πλείους αὐτῶν, ἵνα μὴ ἀπ' οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἐκνεύμενον ἀνάλωμα φέρειν, καὶ τοῖς μὲν Ἀθηναίοις ἠύξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης ἣν ἐκεῖνοι ξυμφέροιεν, αὐτοὶ δὲ, ὁπότε ἀποσταῖεν, ἀπαράσκευοι καὶ ἄπειροι ἐς τὸν πόλεμον καθίσταντο.

100. Duplex pugna apud Eurymedontem (470 a Chr.); bellum cum Thasiis,

* Ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων καὶ διέφθειραν τὰς

Ἀκριβῶς ἔπρασσον] ἀπήτουν ἀνυδότως. 1. Οὐκ εἰωθόσιν] τοῖς Ἕλλησιν. 3. Οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες] ὡς ἐν ἀρχῇ μετὰ τὸν Παυσανίαν, ἀλλ' ὡς ἄρχοντες δουλικῶς ἐχρῶντο τοῖς συμμάχοις. τὸ δὲ ἐν ἡδονῇ, ἀντὶ τοῦ ἱλαρότητι. 5. Προσάγεσθαι] δουλοῦν. 6. Τὴν ἀπόκνησιν] τὴν ἀναβολήν. τὴν αἰτίαν ἐπιφέρει, διὰ τὸν ὄκνον τοῦ στρατεύεσθαι. 7. Ἀπ' οἴκου ὦσιν] ἀποδημήσωσι τῆς πατρίδος. 8. Τὸ ἐκνεύμενον] τὸ ἀρκοῦν εἰς περιποίησιν τῶν νεῶν. Ἄλλως. τὸ φθάνον, τὸ ἐπιβάλλον ἑκάστῳ τιμήματι τῆς νεὼς καταβάλλειν. 10. Αὐτοὶ δὲ] ἦγουν οἱ σύμμαχοι. 11 Ἀπαράσκευοι] ἀδύνατοι. Καθίσταντο] ἐγένοντο. 16. Ἀμφότερα] πεζομαχίαν καὶ ναυμαχίαν.

2. προσαγαγόντες A.B.F.G.H. K.c.d.f.g.h.i.
3. ὦν] om. L.O.P.
5. δὲ ἦν αὐτοῖς προσάγεσθαι c.
6. οἱ] om. B.
ταύτην] om. g.
7. ἄποικοι G.
8. τὸ] om. b.
11. ἄπειροι A.B.C.F.G.H.c.f. g.h. ceteri ἄποροι.
13. Ἐγένετο—διακοσίας] Dion. Halic. p. 142. Wass.
ἐπ'] ὑπ' Q.
Εὐρυμέδοντι] Locum memorat et res gestas Harpocration. retulit ad annum IV. Artaxerxis Euseb. Ol. LXXIX. 4. Wass.
14. καὶ ναυμαχίᾳ] om. e.

πάσας ἐς τὰς διακοσίας. χρόνῳ τε ὕστερον ξυνέβη Θασίους αὐτῶν ἀποστῆναι, διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι ναυμαχίᾳ ἐκράτησαν καὶ ἐς τὴν γῆν ἀπέβησαν· ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους, ὡς οἰκιοῦντες τὰς τότε

1. Θασίους] Θάσος νῆσος ἄντικρυς τῆς Θρᾴκης· ἀντιπέρας τῆς νήσου μέταλλά ἐστι χρυσοῦ. 2. Διενεχθέντας] διαφοράν σχόντας. Περὶ τῶν] ἔλεγον γὰρ αὐτοῖς οἱ Ἀθηναῖοι παραχωρῆσαι τῶν ἐμπορίων καὶ τῶν μετάλλων, καὶ οὐκ ἠβούλοντο. Ἀντιπέρας] παραξυτόνως. ὄνομα γάρ ἐστι θηλυκὸν γενικῆς πτώσεως, σύνθετον. 3. Ἃ ἐνέμοντο] σημείωσαι περὶ τῶν μετάλλων, ὅτι καὶ Θουκυδίδης ἐν Θάσῳ ταῦτα γιγνώσκει, πλὴν ὅτι ἐν τῇ ἀντιπέρας λέγει. ταῦτα οἱ Θάσιοι ἐνέμοντο. 5. Ἀπέβησαν] ναυτικῷ δηλονότι στρατῷ. Ἐπὶ δὲ Στρυμόνα] ποταμὸς Ἀμφιπόλεως. λέγει δὲ νῦν αὐτὴν τὴν πόλιν. 7. Ὡς οἰκιοῦντες] οἰκειούμενοι, ἰδιοποιοῦντες.

1. ἐς τὰς διακοσίας] A.B.C.g. h. vulgo omittunt articulum.

Χρόνῳ δὲ ὕστ.] Diodorus non convenit cum Thucydide de tempore hujus Thasiorum defectionis, quam Thucydides ponit antequam Sparta terræ-motibus concuteretur, Diodorus autem post terræ-motum. Palmerius Exercitat. p. 109. Huds.

τε A.B.F.G.H.N.f.g. ceteri δὲ. Θασσίους g.

Θασίους] Vid. Syncellum 4064. Aristot. Hist. An. 136. Motrayii Numus Tab. XXIX. ΘΑΣΙΟΝ. Ita scribunt Herodot. Strabo, Archestratus Γαστερονομία, Hegemon Thasius, qui Cratini tempore floruit, Scylax, Hippocr. Pausan. Apollodor. M. Heracleota, Diodor. Polyænus, Aristophanes, Pl. Galenus Tom. II. 358. Plutarchus Bruto, Dionys. Perieg. Schol. Homeri Od. κ'. 235. Chron. Paschale, Clemens Alex. Zenobius apud Suidam, Hesychius Θάσιος παῖς Ἀγλαοφῶντος, sed ibi legendum γένος Ἀγ. pars est Epig. Simonidis, vid. Pausan. Phocic. cap. XXVII. Ex Latinis Virg. Statius, Varro, Cloatius Verus apud Macrob. Mela, Nepos, geminant Xenophon Hist. Gr. I. 432. Ptolemæus: at uterque insulam intelligit. Urbem Xenophon alibi Θάσον vocat. Livii exemplaria, et Excerpta Polybii variant. Plinius IV. 12. 23. Thassus, opinor male. De Urbis excidio sub Lysandro consule Diodorum XIII. p. 388. Wass.

2. τῶν ἐν] om P.

ἐν τῇ] om. C.I.K.d.e.i.

ἀντιπέρων I.

3. Θρᾴκης I.d.i.

4. θάσου P.Q.g. θᾶσον A. Dionysius Periegeta v. 523. ὠγυγίη τε θάσος Δημήτερος ἀκτή.

5. στρυμμόνα L.g.h.i.

7. ὑπὸ τοὺς αὐτοὺς χρόνους] om. f.

οἰκιοῦντες A.B.C.H.K.L.O.Q. g. ceteri οἰκειοῦντες.

καλουμένας Ἐννέα ὁδοὺς νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν ἃς εἶχον Ἠδωνοὶ, προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν διεφθάρησαν ἐν Δραβήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον. * Θάσιοι δὲ νικηθέντες μάχαις καὶ πολιορκούμενοι Λακεδαιμονίους ἐπεκαλοῦντο, καὶ ἐπαμῦναι ἐκέλευόν ἐσβαλόντας ἐς τὴν Ἀττικήν. οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων, καὶ ἔμελλον, διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν

101. quibus cum auxilium clam promisissent Lacedæmonii, et terræ motu et seditione Helotum impediuntur.

1. Ἀμφίπολιν] Ἀμφίπολις εἴρηται διὰ τὸ περιῤῥέεσθαι αὐτὴν ὑπὸ τοῦ ποταμοῦ. 5. Θάσιοι δὲ νικηθέντες] πάλιν τὰ κατὰ τοὺς χρόνους ἀκολουθῶν μετέβη ἐπὶ τοὺς Θασίους, μεταξὺ τάξας τὰ τῆς Ἀμφιπόλεως. 7. Ἐπαμύνειν] τέως γὰρ

1. Καλουμένας Ἐννέα ὁδοὺς] Appellationis originem indicat Hyginus, Fab. LIX. cum ait, novies Phyllidem eo die, quo Demophoontis reditum præstolabatur, littus versus cucurrisse: indicatque id Coluthus lib. de raptu Helenæ. Vide Meursium de Regn. Athen. l. 3. c. 7. Huds. Errorem Stephani, qui in Ἀμφίπολις etiam Μυρίκην et Ἠϊόνα dictam scribit, redarguunt ibi Interpretes, et Voss. ad Scylac. p. 64. Ed. Gron. Duk.

2. προελθόντας d.h.i. προσελθόντες L.O.P.

3. διέφθειραν C.

δραβίσκῳ C.f. δραμήσκῳ B.G. δραμίσκῳ g.h.

Δραβήσκῳ] Stephanus Δραβῆσκος. Geogr. MS. Vatic. Δράβησκος, teste Holstenio. Vid. Appianum B. Civil. IV. 650. Strabonis Epit. lib. VII. in fin. male Δραβίσκος. Latini scriptores, haud memorant. Vid. Nostrum IV. 102. Campi cujusdam nomen esse videtur. Wass. Apud Appian. quoque l. d. Δραβίσκος. Stephano χωρίον, id est, locus, vel campus, non oppidum, ut Cellar. II. Geogr. 13. qui hoc etiam non obscure ex Thucydidis verbis conjici putat. Si hoc conjicere voluit ex his διεφθάρησαν ἐν Δραβήσκῳ, non firma est illius conjectura. Nam ἐν nominibus urbium additum sæpe notat τὴν περίχωραν. Steph. Ἴσσὸς—ἐν ᾗ Ἀλέξανδρος Δαρεῖον ἐνίκησε. Lucian. de Conscrib. Histor. p. 621. τὰς ἐν Εὐφράτῃ γιγνομένας σφαγάς. Vid. Perizon. ad Ælian. II. V. H. 25. Straboni in Epit. l. d. est πόλις, et MS. Vatic. apud Holsten. ad Steph. Δράβησκος Ἠδωνῶν πόλις ἐν Θρᾴκῃ. Idem colligi potest ex Appiano de situ Philipporum: ἐκ δὲ τῆς δύσεως πεδίον μέχρι Μυρκίνου τε καὶ Δραβίσκου. Add. infr. ad cap. 113. Duk.

4. ἰδωνικῇ L.

6. μάχῃ C.K.L.O.P.Q.d.e.i.

7. ἐπαμῦναι A.F.L. ἐπαμύναι B. H.K.c.g.h.i. vulgo ἐπαμύνειν.

9. ἔμελλον] ἐκέλευον e.

ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί τε καὶ Αἰθεεῖς ἐς Ἰθώμην ἀπέστησαν. πλεῖστοι δὲ τῶν Εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων τότε δουλωθέντων ἀπόγονοι· ἧ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις· Θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι ὡμολόγησαν Ἀθηναίοις, τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες, χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι, καὶ τὸ λοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες. * Λακεδαιμόνιοι δὲ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ Ἀθηναίους· οἱ δ' ἦλθον Κίμωνος στρα-

102. Quo quidem, in bello, cum Ithomen expugnare non

φίλοι ἦσαν. 1. Οἱ Εἵλωτες] Ἕλος πόλις τῆς Λακωνικῆς, ἧς οἱ πολῖται ἐκαλοῦντο Εἵλωτες. οἱ οὖν Λακεδαιμόνιοι, διὰ τὸ ἀεὶ διαφόρους εἶναι ἀλλήλοις, τοὺς δούλους αὐτῶν ἐκάλουν Εἵλωτας κατὰ ἀτιμίαν καὶ ὕβριν. 4. Ἧ] τὸ ᾗ ἀντὶ τοῦ καθὸ, διό. 5. Ἐν Ἰθώμῃ] ἡ Ἰθώμη τῆς Μεσσηνιακῆς μοίρας ἦν. ἑλούσης οὖν τῆς Μεσσήνης, ὅσοι τῶν περιξ ἀπέστησαν, ἐς Ἰθώμην ἀπέστησαν, ὡς ἐχθρὰν οὖσαν Λακεδαιμονίων. 8. Ὅσα ἔδει] ἀναλωθέντα ἐν τῇ πολιορκίᾳ. 10. Λακεδαιμόνιοι δὲ] ἀρχὴ τῆς διαφορᾶς τῶν Λακεδαιμονίων

1. παροίκων C.I.K.L.O.P.Q.c. d.e.i.

2. ἰθεεῖς I. αἰθεεῖς A.B. αἰθιεῖς K. αἰθαιεῖς Tusanus.

Αἰθεεῖς] Non ita Gentile ab Αἰθαία secundum Stephanum Byzant. formari debet, neque ita apud Thucydidem legisse videtur. Quis autem veram servaverit lectionem tute ipse judicabis. Huds. Αἰθεεῖς] Situm hujus populi ignorat Cellar. p. 767. urbs Αἰθαία Stephano, qui Philochorum exscribit. Apud eum Αἰθαία, et inde gentile Αἰθαιεύς. Suidas Αἴθες, ἐθνικόν. Antiqui omnes, quam Græci quam Latini, hac in re plane silent. De secessione vid. Pausan. Mess. IX. Gr. mox δὲ καὶ τῶν Εἱλ. sed præcedit. Wass.

ἐς] ἐπ' K.L.O.Q.d.e.

δὲ καὶ τῶν K.

3. μεσηνίων F.H.K.L.N.O.d.e. g. Sic μεσήνιοι 2, 9. H.L.O.g.; 2, 25. B.L.O.Q.g.; 7, 57. D. μεσηνίων H.K.L.O.d.i.; 2, 102. C.L.O.P.Q.e.; 3, 75. L.O.d.e.; 3, 88. L.O.P.d.e.: μεσηνίους 3, 81. E.K.L.O.P.d.: μεσήνην 3, 90. K.L.O.Q.d.e.; 6, 50. et 74. vulgata.

δουλωθέντων τότε L.O.P.Q. τότε om. b.

4. ᾗ] οἳ K.i.

5. οὖν] om. A.B.F.H.g.h.

8. τε] om. i.

παραδοῦναι L.P.

11. ὁ πόλεμος] om. f.

118. Absoluta egressione de aucto paullatim Atheniensium imperio, filum narrationis de causis hujus belli interruptum Auctor denuo annectit, demonstrans, iis, quæ circa Corcyram et Potidæam facta essent, maxime irri-

* Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕστερον τὰ προειρημένα, τά τε Κερκυραϊκὰ καὶ τὰ Ποτιδαιατικὰ καὶ ὅσα πρόφασις τοῦδε τοῦ πολέμου κατέστη. ταῦτα δὲ ξύμπαντα ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα μεταξὺ τῆς Ξέρξου ἀναχωρήσεως καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου· ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως, οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι οὔτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχύ, ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ

σαν ὁμολογίᾳ] τοῖς Ἀθηναίοις. 2. Κατὰ χρόνους] οὐδὲ γὰρ εὐπόρουν ἀθρόων ἐκτῖσαι τὸ πᾶν. Ταξάμενοι] ὁρίσαντες. Ξυνέβησαν δὲ] συνεφώνησαν. 3. Καὶ πρότερον] ἦσαν δηλονότι. 4. Οὐ πολλοῖς ἔτεσιν ὕστερον] τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει τῶν σπονδῶν. 6. Καὶ ὅσα πρόφασις] αἰτία, ἤγουν τὸ Κυλώνειον ἄγος καὶ τὰ Παυσανίου. Τοῦδε τοῦ πολέμου] τοῦ Πελοποννησιακοῦ, τοῦ προκειμένου. 9. Τῆς τε Ξέρξου ἀναχωρήσεως] ἀναμεταξὺ δηλονότι. 10. Ἐν οἷς] ἔτεσιν. Ἐγκρατεστέραν] ἰσχυροτέραν. 11. Ἐπὶ μέγα ἐχώρησαν δυνάμεως] ἐδυνήθησαν τὰ μεγάλα. 14. Εἰ μὴ ἀναγκάζοιν-

tarchus in Pericl. p. 129. Wass. Ἔνατος, scribendum volebant multi veterum, non ἔννατος: de quo vid. Eustath. ad Homer. Il. β'. p. 223. Suidas quoque, ἔνατος καὶ ἐνάτη δι' ἑνός. vid. et Etymol. M. in ἐννέα v. Duk.

1. τὰ] om. e.

2. ταξάμενοι κατὰ χρόνους C.L.O.P.Q.e.

4. δὲ ταῦτα B.g.h.

οὐ] ἐν c.

6. πρόφασις τοῦδε A.B.C.F.G.H.I.K.L.N.O.P.c.g.h.i. vulgo πρόφασις μεταξὺ τοῦδε.

8. ἄλλους P.

καὶ πρὸς τὸν Dionys.

9. τῆς ξέρξου A.B.F.G.H.K.N.c.f.g.h. ceteri τῆς τε ξέρξου.

10. οἱ ἀθηναῖοι C.L.O.e. cum Dionysio.

ἐγκρατεστάτην O.

11. ἐπὶ] om. H.

12. οὐδὲ K.

13. ἡσυχάζοντες, omissa τε, Dionysius.

τὸ] τὸν F.L.O.Q.

14. εἰ] ἢν C.I.L.O.P.Q.e.

ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι, πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ἤρετο καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ καὶ καθαιρετέα ἡ ἰσχύς, ἣν δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον. αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διέγνωστο λελύσθαι τε τὰς σπονδὰς καὶ τοὺς Ἀθηναίους ἀδικεῖν, πέμψαντες δὲ ἐς Δελφοὺς ἐπηρώτων τὸν θεὸν εἰ πολεμοῦσιν ἄμεινον ἔσται· ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι καὶ παρακαλούμενος καὶ ἄκλητος.

tatos Lacedæmonios, postquam diu mentis quadam tarditate bella vitassent, iram non amplius continuisse. Oraculum Delphicum ab iis rogatum auxit animos.

119. Itaque rursus convocatis sociorum orato-

* αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες ψῆφον ἐβούλοντο ἐπαγαγεῖν, εἰ χρὴ πολεμεῖν. καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμμαχίας καὶ ξυνόδου γενομένης, οἱ

τε] εἰ μὴ ἐξ ἀνάγκης κινηθεῖεν. 1. Τὸ δέ τι] κατά τι. 3. Οὐκέτι ἀνασχετὸν ἐποιοῦντο] ἤγουν, οὐκ ἠνέσχοντο οἱ Λακεδαιμόνιοι. 4. Ἐπιχειρητέα] τοῦ συγγραφέως ἡ λέξις· ἐχρῆν γὰρ εἰπεῖν ἐπιχειρητέον. 6. Διέγνωστο] διεψήφιστο. 10. Κατὰ κράτος] τὸ ἐξῆς, κατὰ κράτος νίκην ἔσεσθαι. αἰνίττεται τὸν μέγαν λοιμόν. 12. Ψῆφον ἐπαγαγεῖν] ἤγουν κυρῶσαι. 14. Ἀπὸ τῆς

1. ἀναγκάζονται C.I.L.O.Q.e.
τι] τοι i.
πολεμίοις L.P.
2. τῆς] om. K.
4. εἶναι ἐδόκει K.i.
5. ἀραμένοις δὲ τόνδε C.L.O.Q.
6. οὖν] om. L.O.
7. τε] om. K.L.d.e.f.g.h.
9. Ἀνεῖλεν] Corrige hinc Plutarch. Moral. 403. qui ἀνεῖλε νίκην καὶ κράτος, et pro ἄκλητος, ἀπαράκλητος. Eodemque loco, ut id obiter moneam, supple auctoris nobilissimi lacunam: ἀργυρίᾳ εὐλάκᾳ εὐλάξειν. Priore loco rescribe, ἀνεῖλε νίκην κατὰ κράτος πολεμοῦσι. καὶ βοηθήσειν. Flaccus: "Hic levare functum pauperem laboribus, *vocatus*, atque *non vocatus* audit." Asclepiades in Epig. inedito, ΚΑΗΘΕΙΣ, οὐκ ΑΚΛΗΤΟΣ ἐλήλυθα. Ita fere ludit Æschylus in Ἑπτ. ἐ. Θ. Θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν, Καὶ μὴ θέλοντος φησίν. Et Δράτω τὲ πόλις, καὶ μὴ δράτω— Ἡμεῖς μὲν ἦμεν. Et Agam. Μαθοῦσιν αὐδῶ, κ' οὐ μαθοῦσι λήθομαι. Χοηφ. Ἥκω μὲν οὐκ ΑΚΛΗΤΟΣ, ἀλλ' ὑπάγγελος. Euripid. Orest. 612. Wass. Lacuna illa in Plutarcho recte expletur e Thucyd. V. 16. Dux.
11. συλλήψεσθε Q.
12. ξυμμάχους A.B.C.b.c.h.i. vulgo συμμάχους.
14. συνόδου C.

ribus, uno omnes ore bellum decernunt, et Corinthii quidem, post ceteros prodeuntes, insuper omnes incitant oratione.

τε ἄλλοι εἶπον ἃ ἐβούλοντο, κατηγοροῦντες οἱ πλείους τῶν Ἀθηναίων καὶ τὸν πόλεμον ἀξιοῦντες γενέσθαι, καὶ οἱ Κορίνθιοι, δεηθέντες μὲν καὶ κατὰ πόλεις πρότερον ἑκάστων ἰδίᾳ ὥστε ψηφίσασθαι τὸν πόλεμον, δεδιότες περὶ τῇ Ποτειδαίᾳ μὴ προδιαφθαρῇ, παρόντες δὲ καὶ τότε καὶ τελευταῖοι ἐπελθόντες, ἔλεγον τοιάδε.

120-124. quæ Lacedæmonii, olim ob tarditatem reprehensi, providentiæ nomine collaudantur, et ad alacritatem

* "ΤΟΥΣ μὲν Λακεδαιμονίους, ὦ ἄνδρες ξύμμαχοι, "οὐκ ἂν ἔτι αἰτιασαίμεθα ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι "τὸν πόλεμόν εἰσι καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον. χρὴ "γὰρ τοὺς ἡγεμόνας, τὰ ἴδια ἐξ ἴσου νέμοντας, τὰ κοινὰ "προσκοπεῖν, ὥσπερ καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶν- "ται. ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν, οὐχὶ

ξυμμαχίας] ἀντὶ τοῦ ἀπὸ τῶν ξυμμάχων. 4. Ψηφίσασθαι τὸν πόλεμον] διὰ ψήφου ἐπικυρῶσαι. Δεδιότες] μὴ πρὸ τοῦ εἰσβαλεῖν αὐτοὺς εἰς τὴν Ἀττικὴν διαφθαρῇ. 8. Οὐ καὶ αὐτοὶ ἐψηφισμένοι] οὐ ψηφίζονται. 9. Χρὴ γὰρ τοὺς ἡγεμόνας] οὐ χρή, φησὶν, ἐν τοῖς ἰδιωτικοῖς πράγμασι τοὺς ἡγεμόνας προέχειν, ἀλλ' ἐν τοῖς κοινοῖς. 11. Προσκοπεῖν] προτιμᾶν. Ἐκ πάντων] ἀντὶ τοῦ ὑπὲρ πάντας. τὸ δὲ Ἐν ἄλλοις, ἐν προεδρίᾳ καὶ τοῖς τοιούτοις. 12. Ἡμῶν] τῶν περιθαλασσίων. Ἐνηλλάγησαν] ἀντὶ τοῦ συνέμιξαν καὶ ὡμίλησαν. ἐναντίον δέ ἐστι τῷ διηλλάγησαν· διαλλαγῆναι γάρ ἐστι τὸ δι' αὐτοῦ τοῦ ἐχθροῦ παρακληθῆναι καὶ φιλιωθῆναι αὐτῷ, ἐναλλαγῆναι δὲ τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλου μεταπηδῆσαί τινος, ἐχθροῦ ὄντος τῷ πρότερον φίλῳ.

2. γίγνεσθαι C.I.L.O.Q.e.

4. ψηφ. τὸν πόλεμον A.B.C. F.G.H.K.L.N.O.P.c.f.g.h.i.vulgo ψηφ. πόλεμον.

5. διαφθαρῇ L.O.P.g. προφθαρῇ G.

8. ἔτι] om. G.L.N.O.P.i.

οὐ] om. i.

11. ὅστε L.O.Q.

ἐκ πάντων] om. C.

12. Ἡμῶν—ἐνηλλάγησαν] Dionys. Halic. p. 134. pro συνήλλαξαν. Wass. Ostendit ibi Dion. passiva pro activis a Thucydide usurpari; ut mox quoque κατῳκημένους, pro κατῳκηκότας. Ἐν τῇ μεσογείᾳ fortassis in suo exemplari invenit Dionysius: nam hæc etiam alibi in libris scriptis permutantur. Vid. supr. ad Cap. 18. Scriptura Cod. Dan. μεσόγαιαν non est sine exemplo aliorum. Τοὺς κάτω οἰκοῦντας etiam supr. Cap. 7. dicit pro iis, qui maritimas regiones habent. Contra οἱ ἄνω, qui mediterraneas colunt. infr. Cap. 137. et ἄνωθεν, e locis mediterraneis, supr. Cap. 59. Vid. Bernard. ad Joseph. I. B. I. procem. et Salmas. ad Solin. p. 432. Et sic opponuntur ἀναβαίνειν et καταβαίνειν. Duk.

" δίδαχῆς δέονται ὥστε φυλάξασθαι αὐτούς· τοὺς δὲ τὴν omnes socii maxime in-
" μεσόγειαν μᾶλλον καὶ μὴ ἐν πόρῳ κατῳκημένους εἰδέναι stigantur.
" χρὴ ὅτι, τοῖς κάτω ἢν μὴ ἀμύνωσι, χαλεπωτέραν ἕξουσι
" τὴν κατακομιδὴν τῶν ὡραίων καὶ πάλιν ἀντίληψιν ὧν ἡ
" θάλασσα τῇ ἠπείρῳ δίδωσι, καὶ τῶν νῦν λεγομένων μὴ
" κακοὺς κριτὰς, ὡς μὴ προσηκόντων, εἶναι, προσδέ-
" χεσθαι δέ ποτε, εἰ τὰ κάτω πρόοιντο, κἂν μέχρι
" σφῶν τὸ δεινὸν προελθεῖν, καὶ περὶ αὐτῶν οὐχ ἧσσον νῦν
" βουλεύεσθαι. διόπερ καὶ μὴ ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλε-
" μον ἀντ' εἰρήνης μεταλαμβάνειν. ἀνδρῶν γὰρ σωφρόνων
" μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν, ἀγαθῶν δὲ ἀδικου-
" μένους ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πο-
" λέμου πάλιν ξυμβῆναι, καὶ μήτε τῇ κατὰ πόλεμον εὐ-
" τυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡσυχίῳ τῆς εἰρήνης ἡδόμενον
" ἀδικεῖσθαι. ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν τάχιστ' ἂν
" ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνόν, δι' ὅπερ ὀκνεῖ, εἰ
" ἡσυχάζοι· ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ
" ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. πολλὰ γὰρ
" κακῶς γνωσθέντα ἀβουλοτέρων τῶν ἐναντίων τυχόντων

1. Φυλάξασθαι] τουτέστι φοβηθῆναι. 2. Ἐν πόρῳ] ἐν τῇ παράλῳ. πόρων καλεῖ τὰ ἐμπόρια. 3. Τοῖς κάτω] τοῖς παραλίοις. 4. Τῶν ὡραίων] τῶν καρπῶν. 5. Λεγομένων] παρ' ἡμῶν. ἀπὸ κοινοῦ δὲ τὸ χρή. 6. Προσδέχεσθαι] ἐλπίζειν. 7. Πρόοιντο] ἀμελήσαιεν. 12. Εὖ δὲ παρασχὸν] ἀντὶ τοῦ παρασχόντος, δηλονότι τοῦ δαίμονος, ὃ ἐστι δωρησαμένου αὐτοῖς τὴν νίκην. 15. Ὅ τε γὰρ διὰ τὴν ἡδονὴν] τὸ ἑξῆς, ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν εἰ ἡσυχάζοι. 17. Ὅ, τε ἐν πολέμῳ] ἐντεῦθεν δείκνυσι τῶν πολέμου τὸ ἄδηλον. 19. Κακῶς] ἀνόητως. Ἀβουλοτέρων] κακοβουλοτέρων. Ἐναντίων τυχόντα] ἔργον γάρ ἐστι τῆς τύχης τὸ τοὺς ἐναν-

1. τοὺς] τὴν B.
τὴν μεσόγειαν P. ἐν τῇ μεσογείᾳ Dionysius.
2. πόρῳ κατῳκημένους] τόπῳ κατῳκισμένους d. cum Tusano.
4. δυακομιδὴν L.O.P.Q.
7. πρόοιντο I.L.O.Q.d.g.h.
κἂν] καὶ h.
9. βούλεσθαι O.
11. μὲν] om. K.
14. ἡσυχίῳ A.B.F.G.H.K.N. c.f.g. vulgo ἡσύχῳ.
ἡδόμενοι I.
17. ἡσυχάζει d.i.
19. τυχόντων A.B.F.G.H.K.c. f.h.i. ceteri τυχόντα.

" κατωρθώθη, καὶ ἔπλεω, ἃ καλῶς δοκοῦντα βουλευθῆναι
" ἐς τοὐναντίον αἰσχρῶς περιέστη. ἐνθυμεῖται γὰρ οὐδεὶς
" ὁμοίως τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεται, ἀλλὰ μετ' ἀσφα-
" λείας μὲν δοξάζομεν, μετὰ δέους δὲ ἐν τῷ ἔργῳ ἐλλεί-
121. " πομεν. * ἡμεῖς δὲ νῦν καὶ ἀδικούμενοι τὸν πόλεμον ἐγεί-
" ρομεν καὶ ἱκανὰ ἔχοντες ἐγκλήματα, καὶ ὅταν ἀμυ-
" νώμεθα Ἀθηναίους, καταθυσόμεθα αὐτὸν ἐν καιρῷ.
" κατὰ πολλὰ δὲ ἡμᾶς εἰκὸς ἐπικρατῆσαι, πρῶτον μὲν
" πλήθει προὔχοντας καὶ ἐμπειρίᾳ πολεμικῇ, ἔπειτα
" ὁμοίους πάντας ἐς τὰ παραγγελλόμενα ἰόντας. ναυ-
" τικόν τε, ᾧ ἰσχύουσιν, ἀπὸ τῆς ὑπαρχούσης τε ἐπά-

τιους ἀβούλοτέρους καταστῆσαι· ἐτεὶ οὐ μέγα, εἰ οὕτως ἐνίκησαν. 1. Καλῶς δοκ. βουλ] εὐβούλων τῶν ἐναντίων τυχόντα. 2. Ἐνθυμεῖται γὰρ] οὐδεὶς, φησὶν, ἐνθυμεῖται ὁμοίως οἷς πιστεύει. πιστεύει γὰρ νικᾶν, τὸ πῶς οὐκ ἐννοῶν. καὶ οὐδεὶς ὁμοίως ἔργῳ ἐπεξέρχεται οἷς ἐνθυμεῖται. δείκνυσι γὰρ τὴν πίστιν μείζονα τῶν ἐνθυμημάτων, καὶ τὸ ἐνθύμημα μεῖζον τοῦ ἔργου. Ἄλλως. οὐδεὶς γὰρ ἐνθυμεῖται παρόμοια τοῖς βεβαίοις. πίστις γὰρ ἐνταῦθα τὴν βεβαιότητα τῶν πραγμάτων καὶ τὴν ἀσφαλῆ ἐπίβασιν σημαίνει. οὐδεὶς οὖν οὔτε ὁμοια τοῖς πράγμασιν ἐνθυμεῖται, οὔτε ἔργῳ τὰ πιστευθέντα τελειοῖ, ἀλλ' ἐν ἑκατέροις σφάλλεται· διὰ τὸ καὶ τὴν γνώμην ἡμῶν ἀβέβαιον εἶναι, καὶ τὰ πράγματα μὴ κατὰ τὴν θέλησιν ἡμῶν ἀπαντᾶν, ἀλλὰ μετὰ τὰ ἀσφαλῶς ἐνίοτε δοξασθέντα, ἤτοι βουλευθέντα, ἐπὶ τῶν ἔργων διὰ τὸ προσκίπτον δέος ἐκλείπομεν, ὅτι τὸ μὲν βουλεύσασθαι χωρὶς ἀγώνων καθίσταται, τὰ δὲ ἔργα ἐπὶ τῆς ταραχῆς καὶ συγχύσεως ἀλλοιοῦνται. 3. Τῇ πίστει] τῷ θάρρει. Μετὰ ἀσφαλείας μὲν] ἀσφαλῶς, φησὶν, ἐνθυμούμεθα, διὰ τὸ καθ' ἡσυχίαν δοξάζειν καὶ βουλεύεσθαι· μετὰ φόβου δὲ ὑστερεῖμεν ἐν τῷ ἔργῳ, διὰ τὸ λοιπὸν ὁρᾶν αὐτὰ τὰ ἔργα καὶ ἐν τῇ παρουσίᾳ εἶναι τῶν πραττομένων. 4. Ἐλλείπομεν] φοβηθέντες ἐξεπίτομεν τῆς πράξεως, ἣν προεδικήσαμεν λαβεῖν. 6. Ἔχοντες ἐγκλήματα] κατὰ τῶν Ἀθηναίων δηλονότι, τὰ παρακινοῦντα τὸν πόλεμον. Ἀμυνόμεθα] τὰ ἴσα ἀντατοδῶμεν. 8. Κατὰ πολλὰ δὲ] τὸ δυνατὸν κεφάλαιον. 11. Ὧι ἰσχύουσιν] οἱ Ἀθηναῖοι.

1. πλέω A.B.G.H.K.N.g.h.i. vulgo πλείω.
d] τὰ Stobaeus. om. C.L.O.P. e.g.
2. τοὐναντίον καὶ αἰσχρῶς K.i.
γὰρ] δὲ Q.
5. Ἐγείρομεν] Homerum sequitur. qui Π. λ'. 213. ἔγειρε δὲ φύλοπιν αἰνήν. Hinc etiam Hesiodus Minervam vocat ἐγρεκύδοιμον. Wass.
8. ἡμᾶς] om. d.
ἐπικρατῆσαι correctus G.
11. τε] δὲ B.d.
ἰσχύουσιν L.O.
τε] om. L.O.Q.
ἐκάστης O.P.i.

" στοις οὐσίας ἐξαρτυσόμεθα, καὶ ἀπὸ τῶν ἐν Δελφοῖς
" καὶ Ὀλυμπίᾳ χρημάτων· δάνεισμα γὰρ ποιησάμενοι
" ὑπολαβεῖν οἷοί τ' ἐσμὲν μισθῷ μείζονι τοὺς ξένους αὐ-
" τῶν ναυβάτας. ὠνητὴ γὰρ Ἀθηναίων ἡ δύναμις μᾶλ-
" λον ἢ οἰκεία· ἡ δὲ ἡμετέρα ἧσσον ἂν τοῦτο πάθοι, τοῖς
" σώμασι τὸ πλέον ἰσχύουσα ἢ τοῖς χρήμασι. μιᾷ τε
" νίκῃ ναυμαχίας κατὰ τὸ εἰκὸς ἁλίσκονται· εἰ δ' ἀν-
" τίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ
" ναυτικά. καὶ ὅταν τὴν ἐπιστήμην ἐς τὸ ἴσον καταστή-
" σωμεν, τῇ γε εὐψυχίᾳ δή που περισσόμεθα. ἃ γὰρ
" ἡμεῖς ἔχομεν φύσει ἀγαθόν, ἐκείνοις οὐκ ἂν γένοιτο
" διδαχῇ; ὃ δ' ἐκεῖνοι ἐπιστήμῃ προὔχουσι, καθαιρετέον
" ἡμῖν ἐστὶ μελέτῃ. χρήματα δ' ὥστ' ἔχειν ἐς αὐτὰ,
" οἴσομεν· ἢ δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι
" ἐπὶ δουλείᾳ τῇ αὐτῶν φέροντες οὐκ ἀπεροῦσιν, ἡμεῖς δ'
" ἐπὶ τῷ τιμωρούμενοι τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώ-
" ζεσθαι οὐκ ἄρα δαπανήσομεν, καὶ ἐπὶ τῷ μὴ ὑπ' ἐκεί-
" νων αὐτὰ ἀφαιρεθέντες αὐτοῖς τούτοις κακῶς πάσχειν.

1. Ἐξαρτυσόμεθα] παρασκευάσομεν. 2. Ὀλυμπίᾳ] γράφεται ἐλυμπιάσι, ὡς Ἀθήνησι. 3. Ταιναρεῖν] δέξασθαι. 5. Τοῦτο] τὸ μεταπεισθῆναι. 6. Μιᾷ τε νίκῃ] εἰ ἅπαξ, φησὶ, τῇ ναυμαχίᾳ νικηθῶσιν, οὐκέτι ἕξουσιν ἐλπίδα νίκης· οὐ γάρ εἰσι πεζομάχοι. ἡμεῖς δὲ δηλονότι καὶ ταῖς ναυσὶν ἂν νικηθῶμεν, τῷ πεζῷ ἰσχύομεν. 7. Κατὰ τὸ εἰκὸς] ὡς ἔστιν εἰκάσαι. Ἁλίσκονται] νικῶνται. 11. Ἀγαθὸν] ἤγουν τὴν εὐψυχίαν. 12. Ὃ δὲ] ἀντὶ τοῦ εἰς ἕ. 15. Οὐκ ἀπεροῦσιν] οὐκ ἀπαγορεύσουσιν, 16. Ἐπὶ τῷ τιμωρούμενοι] ἀντὶ τοῦ ἐπὶ τῷ τιμωρήσασθαι. 18. Αὐτοῖς τούτοις] τοῖς χρήμασι δηλονότι.

1. ἐξαρτυσόμεθα A.B.K.c.g.
2. καὶ ἐν ὀλυμπίᾳ d. καὶ ὀλυμπιάσω γρ. A.B.
3. ἐσμεν] om. A.B.
4. ἀθηναίοις f.
ἡ] om. L.O.P. ante ἀθηναίων ponunt C.d.e.
6. τὸ] om. d.i.
8. πλείωι f.
9. ἴσον] ἧσσον A.B.h.
10. γε] τε O. δὲ d. εὐτυχίᾳ c.e.
11. ἔχομεν φύσει A.B.C.F.H. K.L.O.P.c.f.g.h.i. vulgo φύσει ἔχομεν.
15. ἀπαίρουσι B.

122. " * ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοὶ πολέμου ἡμῖν, ξυμ-
" μάχων τε ἀπόστασις, μάλιστα παραίρεσις οὖσα τῶν
" προσόδων αἷς ἰσχύουσι, καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ,
" ἄλλα τε ὅσα οὐκ ἄν τις νῦν προϊδοι. ἥκιστα γὰρ πό-
" λεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δὲ ἀφ' αὑτοῦ τὰ πολλὰ
" τεχνᾶται πρὸς τὸ παρατυγχάνον· ἐν ᾧ ὁ μὲν εὐοργή-
" των αὐτῷ προσομιλήσας βεβαιότερος, ὁ δὲ ὀργισθεὶς
" περὶ αὐτὸν οὐκ ἐλάσσω πταίει. ἐνθυμώμεθα δὲ καὶ
" ὅτι εἰ μὲν ἦσαν ἡμῶν ἑκάστοις πρὸς ἀντιπάλους περὶ
" γῆς ὅροι διαφοραὶ, οἱστὸν ἂν ἦν· νῦν δὲ πρὸς ξύμπαν-
" τάς τε ἡμᾶς Ἀθηναῖοι ἱκανοὶ καὶ κατὰ πόλιν ἔτι
" δυνατώτεροι. ὥστε, εἰ μὴ καὶ ἀθρόοι καὶ κατὰ ἔθνη
" καὶ ἕκαστον ἄστυ μιᾷ γνώμῃ ἀμυνούμεθα αὐτούς,
" δίχα γε ὄντας ἡμᾶς ἀπόνως χειρώσονται. καὶ τὴν

1. Ὁδοὶ] στρισμοί. 2. Παραίρεσις] παραφαίρεσις, παράσπασις. 3. Ἐπιτειχισμὸς] ἐπίθεσις. αἰνίττεται τὴν Δεκέλειαν, ἣν ὕστερον ἐτείχισαν. Τῇ χώρᾳ] τῶν Ἀθηναίων. 4. Προϊδοι] προγνοίη· ἤδηλα γὰρ τὰ τοῦ πολέμου. 5. Ἐπὶ ῥητοῖς] ὡρισμένοις. Χωρεῖ] κινεῖται. 6. Τεχνᾶται] μεθοδεύει. Παρατυγχάνον] παρεμπίπτον. Ἐν ᾧ] ἀντὶ τοῦ διό. Εὐοργήτους] εὐσκόπους, μεγαλοψύχους, εὐτρόπους· ὀργὴ γὰρ ὁ τρόπος. 7. Ὁ δὲ ὀργισθεὶς] ὁ μικροψυχήσας. 8. Ἐνθυμώμεθα] ἀντὶ τοῦ ἐνθυμηθῶμεν· ἔστι γὰρ ὑποθετικόν. 10. Οἱστὸν] ὑπομοιητόν. 11. Ἱκανοὶ] δουλωσόμενοι δηλονότι. 14. Δί-

1. ὁδοὶ πολέμου A.B. vulgo ὁδοὶ τοῦ πολέμου.
2. μάλιστα] om. C.
παραίνεσις B.c.h.
3. ἐπιτειχισμοὶ i.
ἐπιτειχισμὸς τῇ χώρᾳ] Hæc sunt auctoris ipsius: nil tale illi excogitabant ante Alcibiadis monita. Wass. not. MS.
4. Ἀλλά τε—πταίει] Stobæus p. 372. ubi ἐφ' αὑτοῦ et ἐλάσσω cum nostris, non ἐλάττω. Wass. Suid. in εὐοργήτως describit Schol. D.
6. εὐεργήτους P. ἀοργήτους G.
7. βεβαιότατος Q.
8. αὐτῶν C.
δὲ] μὲν e.
καὶ] om. C.L.O.P.Q.e.
9. ἦσαν ἡμῶν A.B.F.H.Q.c.h. i. ἡμῶν, omisso verbo, K.g. vulgo ἡμῶν ἦσαν.
10. αἱ διαφοραὶ C.L.O.Q.
11. ἱκανοὶ] om. P.
12. καὶ ante ἀθρόοι om. e.
κατὰ τὰ ἔθνη C.L.c.
13. καὶ ante ἕκαστον om. c.
αὐτοὺς] καὶ τοὺς L.P.

" ἦσαν, εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, ἴστω οὐκ ἄλλο τι
" φέρουσαν ἢ ἄντικρυς δουλείαν· ὃ καὶ λέγῳ ἐνδοιασθῆ-
" ναι αἰσχρὸν τῇ Πελοποννήσῳ, καὶ πόλεις τοσάσδε ὑπὸ
" μιᾶς κακοπαθεῖν. ἐν ᾧ ἢ δικαίως δοκοῖμεν ἂν πάσ-
" χειν, ἢ διὰ δειλίαν ἀνέχεσθαι, καὶ τῶν πατέρων χεί-
" ρους φαίνεσθαι, οἳ τὴν Ἑλλάδα ἠλευθέρωσαν· ἡμεῖς δὲ
" οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτὸ, τύραννον δὲ ἐῶμεν
" ἐγκαθεστάναι πόλιν, τοὺς δ' ἐν μιᾷ μονάρχους ἀξιοῦ-
" μεν καταλύειν. καὶ οὐκ ἴσμεν ὅπως τάδε τριῶν τῶν
" μεγίστων ξυμφορῶν ἀπήλλακται, ἀξυνεσίας ἢ μαλα-

χα γε ὄντας] διαχωρισθέντας. 1. Ἴστω] ἴσθι ἀκούων δηλονότι. 2. Φέρουσαν] ἡμῖν δηλονότι. Ὃ καὶ λέγῳ] εἴωθεν ὁ συγγραφεὺς ἀπὸ τῶν θηλυκῶν μεταβαίνειν εἰς τὸ οὐδέτερον, οἷον " τρέπονται ἐπὶ τὴν Μακεδονίαν, " ἐφ' ὅπερ καὶ τὸ πρῶτον ἐξεπέμπαντο." λέγει δὲ, ὅτι τὴν δουλείαν ὅλως τῷ λογισμῷ ἀμφιβάλλειν, οἷον λογίσασθαι, τοὺς Πελοποννησίους αἰσχρόν. ὁ γὰρ ἐνδοιασμὸς λογισμοῦ ἐστὶ μερισμός. περιφραστικῶς οὖν εἴρηται, τῷ λέγῳ ἐνδοιασθῆναι, οἷον τὸ λογίσασθαι ἡμᾶς καὶ ἐπὶ νοῦν λαβεῖν τὴν δουλείαν. Ἐνδοιασθῆναι] εἰς ἀμφιβολίαν ἐλθεῖν. 3. Ὑπὸ μιᾶς] τῆς τῶν Ἀθηναίων. 4. Κακοπαθεῖν] δουλοῦσθαι. Ἐν ᾧ] ἐν τῷ κακοπαθεῖν. Ἢ δικαίως δοκοῦμεν ἂν πάσχειν] οἱ γὰρ ἀμελοῦντες, καὶ μὴ ἐπεξερχόμενοι, δοκοῦσιν ἢ δικαίως πάσχειν ἢ διὰ δειλίαν ἀνέχεσθαι. 7. Αὐτὸ] τοῦτ' ἔστι τὴν ἐλευθερίαν. 8. Τοὺς δ' ἐν μιᾷ] πόλει δηλονότι. Μονάρχους] τοὺς τυράννους φησὶ μονάρχους. 10. Ξυμφορῶν] ἐνταῦθα οὐ κεῖται κυρίως ἡ λέξις, ἀλλὰ ξυμφορὰν φησι τὴν κακίαν. ταῦτα δὲ λέγει τὸ τυραννεῖσθαι καὶ φέρειν τὴν τυραννίδα. τὸ δὲ ἐξῆς, καὶ οὐκ ἴσμεν ὅπως ποτὲ τάδε οὐκ ἀπήλλακται τῶν τριῶν μεγίστων συμφορῶν. Ἡ μαλακίας] ὁ ἢ διαζευκτικὸς ἀντὶ τοῦ καί. Ὅμηρος·

1. τῳ] τὸ B.g. τῷ K.
ἴστε g.
2. ἐνδιασθῆναι C.
3. ὑπὸ B.F.G.H.K.N.P.g. ceteri ἀπὸ.
4. ἂν] om. B.
8. ἐγκαθιστάναι e.
πόλει L.O.C. τὴν τόλιν K.P.
9. οὐκ] om. e.

Τριῶν] Hanc amat formulam noster. v. c. 74, 76. III. c. 40, 66. Proverb. xxv. 3. Lucret. V. Principio, maria ac terras, cœlumque tuere: Horum naturam *triplicem*, *tria* corpora, Memmi, *Treis* species tam dissimiles, *tria* talia texta, *Una* dies dabit exitio. 1 Cor. xiii. 13. Νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ ΤΡΙΆ ΤΑΥΤΑ. Noster VI. 73. στρατηγὸν αὐτόν τε εἵλοντο τὸν Ἑρμοκράτην καὶ Η. καὶ Σ. ΤΟΥΤΟΥΣ ΤΡΕΓΣ. Aristoph. Nub. Τὸ χάος τουτὶ καὶ τὰς Νεφέλας, καὶ τὴν γλῶτταν, τρία ταυτί. Demosthenes de Coron. 344. Καίτοι τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξεν ἐγκώμια &c. ἓν μὲν ἀνδρείας, ἕτερον δὲ, δικαιοσύνης, τρίτον δὲ, σωφροσύνης. Wass.

10. ξυμφορῶν ἀπήλλακται A.B. C.F.G.H.K.N.c.e.g. ξυμφορῶν οὐκ

" κίας ἢ ἀμελείας. οὐ γὰρ δὴ πεφευγότες ταῦτα ἐπὶ
" τὴν πλείστους δὴ βλάψασαν καταφρόνησιν κεχωρή-
" κατε, ἢ ἐκ τοῦ πολλοὺς σφάλλειν τὸ ἐναντίον ὄνομα
123. " ἀφροσύνη μετωνόμασται. * τὰ μὲν οὖν προγεγενημένα
" τί δεῖ μακρότερον, ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει, αἰτιᾶ-
" σθαι; περὶ δὲ τῶν ἔπειτα μελλόντων τοῖς παροῦσι
" βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν· πάτριον γὰρ ἡμῖν
" ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι· καὶ μὴ μεταβάλ-
" λειν τὸ ἔθος, εἰ ἄρα πλούτῳ τε νῦν καὶ ἐξουσίᾳ ὀλίγον
" προφέρετε (οὐ γὰρ δίκαιον, ἃ τῇ ἀπορίᾳ ἐκτήθη, τῇ
" περιουσίᾳ ἀπολέσθαι), ἀλλὰ θαρσοῦντας ἰέναι κατὰ
" πολλὰ ἐς τὸν πόλεμον, τοῦ τε θεοῦ χρήσαντος καὶ αὐ-
" τοῦ ὑποσχομένου ξυλλήψεσθαι, καὶ τῆς ἄλλης Ἑλ-
" λάδος πάσης ξυναγωνιουμένης, τὰ μὲν φόβῳ, τὰ δὲ
" ὠφελείᾳ. σπονδάς τε οὐ λύσετε πρότεροι, ἄς γε καὶ

ἢ νέος, ἠὲ παλαιός. (Il. 14, 108.) 1. Οὐ γὰρ δὴ πεφευγότες] οὐ δύνασθε, φησὶν, εἰπεῖν ὅτι οὐ διὰ τὸ ἔχειν τὰ τρία ταῦτα οὐ πολεμοῦμεν, ἀλλὰ διὰ καταφρόνησιν, ὃ ἐστι διὰ τὸ ἄγαν φρονεῖν, καὶ οἷον ὑπερφρονεῖν. ἡ γὰρ κατὰ πρόθεσις ἐπίτασιν ἐνταῦθα σημαίνει. Ταῦτα] τὰ τρία. 2. Καταφρόνησιν] ὅτι τὴν καταφρόνησιν ἀφροσύνην λέγει. 7. Βοηθοῦντας] τὸ ἑξῆς οὕτως· ὑπὲρ δὲ τῶν μελλόντων δεῖ τοῖς παροῦσι πράγμασι βοηθοῦντας ἐπιταλαιπωρεῖν, τουτέστι προσθεῖναι τοῖς πόνοις. 9. Ἐξουσίᾳ] δυνάμει. 10. Προφέρετε] ὑπερφέρετε τῶν ἄλλων. Ἃ τῇ ἀπορίᾳ ἐκτήθη] ὑπ' ἀπορίας κινηθέντες ἐκτησάμεθα. οἱ γὰρ Λάκωνες τῶν προγόνων ἦσαν ὀλίγον εὐπορώτεροι. 13. Ξυλλήψεσθαι] βοηθήσειν. 14. Τὰ μὲν φόβῳ] ἵνα μὴ δουλωθῇ.

ἀπήλλακται ceteri.

1. ἢ ἀμελείας ἢ μαλακίας G.
αὐτὰ C.L.O.I.

2. Καταφρόνησιν] Suidas exponit φρόνησιν, et Scholia corradit. Wass.

7. ἡμῖν A.B.F.H.

9. νῦν] om. d.
ὀλίγων A.B.F.c.h. ὀλίγῳ i.

10. ἐκτήσθη b.i.

11. περιουσίᾳ] ἐπουσίᾳ A.B.G. h. ἀπλουσίᾳ, et a correctore εὐπλουσίᾳ K.
ἀπολέσαι g.
θαρσοῦντες B.C.f.

14. πάσης A.B.F.G.H.K.c.f.g. h.i.
ξυναγωνιζομένους O. ξυναγωνιζομένης o.

15. τε] δὲ c.
γε] τε L.O.e.

" ὁ θεὸς κελεύων πολεμεῖν νομίζει παραβεβάσθαι, ἠδι-
" κημένους δὲ μᾶλλον βεβήσετε· λύουσι γὰρ οὐχ οἱ
" ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες. * ὥστε παντα- 124.
" χόθεν καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν, καὶ ἡμῶν τάδε
" κοινῇ παραινούντων, εἴπερ βεβαιότατον τὸ ταῦτα ξυμ-
" φέροντα καὶ πόλεσι καὶ ἰδιώταις εἶναι, μὴ μέλλετε
" Ποτιδαιάταις τε ποιεῖσθαι τιμωρίαν, οὖσι Δωριεῦσι
" καὶ ὑπὸ Ἰώνων πολιορκουμένοις, οὐ πρότερον ἦν τοὐναν-
" τίον, καὶ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν. ὡς οὐ-
" κέτι ἐνδέχεται περιμένοντας τοὺς μὲν ἤδη βλάπτεσθαι,
" τοὺς δ', εἰ γνωσθησόμεθα ξυνελθόντες μὲν ἀμύνεσθαι
" δὲ οὐ τολμῶντες, μὴ πολὺ ὕστερον τὸ αὐτὸ πάσχειν·
" ἀλλὰ νομίσαντες ἐπ' ἀνάγκην ἀφῖχθαι, ὦ ἄνδρες ξύμ-
" μαχοι, καὶ ἅμα τάδε ἄριστα λέγεσθαι, ψηφίσασθε
" τὸν πόλεμον, μὴ φοβηθέντες τὸ αὐτίκα δεινὸν, τῆς δ'

1. Παραβεβάσθαι] ἀδετηθῆναι τὰς σπονδὰς ὑπὸ τῶν Ἀθηναίων. 3. Οἱ πρότεροι ἐπιόντες] οἱ ἄρξαντες ἀδίκων χειρῶν. Πανταχόθεν] ἀπὸ πολλῶν ἀφορμῶν. 5. Εἴπερ βεβαιότατον] λείπει τὸ δοκεῖ, ἢ ἦ, εἴπερ δοκεῖ. 7. Τιμωρίαν] βοήθειαν. 8. Τοῦ Ἰάονων] διαβέβληται γὰρ τὸ ὄνομα τῶν Ἰώνων εἰς μαλακίαν· τῶν δὲ Δωριέων ἐπὶ ἀνδρείᾳ δοξάζεται. 9. Καὶ τῶν ἄλλων] ἀπὸ κοινοῦ τὸ μέλλετε. Μετελθεῖν] ἀντὶ τοῦ ἀνασῴσασθαι. Ὡς οὐκέτι] τὸ ὡς ἀντὶ τοῦ γάρ, ἢ ἦ, οὐκέτι γὰρ ἐνδέχεται. Ὅμηρος· ἐπὶ ξυρῷ ἵσταται ἀκμῆς. (Il. 10, 173.) τὸ δὲ περιμένοντας ἀντὶ τοῦ περιμενόντων. 10. Τοὺς μὲν] λείπει ἡμῶν. 14. Τάδε ἄριστα] ἃ εἴπομεν δηλονότι. 15. Τὸ

1. νομίζειν C.c.
Παραβεβάσθαι] Suidas, παραβεβάσθαι τὰς σπονδάς. τὸ παθητικὸν τοῦ παραβεβηκέναι. πάνυ ἀκολούθως Θουκυδίδης. Duk.
ἠδικημένους d.
3. ἀμυνόμενοι K.
πρότερον Q.
4. ὑπάρχον] om. C.
ἡμῖν K.N.g.
τάδε κοινῇ A.B.F.G.H.K.Q.c. f.g.h. vulgo κοινῇ τάδε.
5. τὸ] τε K.
ταυτὰ γρ. A.
6. Ἰδιώταις] Huc fortassis respexit Suidas h. v. Ἰδιῶται, ἀντὶ τοῦ πολῖται. οὕτως Θουκυδίδης. Duk.
7. τε] δὲ c.
9. τὴν] om. K.
12. οὐ τολμῶντες] ἀτολμῶντες C. K.L.M.O.P.b.e. ἀτολμῶντες recens F.
13. ἐπ'] ἐς vel εἰς F.H.K.O.f. om. B.g.h. cum ipso ἀνάγκην.
14. ψηφ. τὸν A.B.C.F.H.L.M. N.O.P.b.c.f.g.h.i. vulgo ψηφ. δὴ τὸν.

" ἀπ' αὐτοῦ διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες· ἐκ πο-
" λέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας
" δὲ μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον. καὶ τὴν κα-
" θεστηκυῖαν ἐν τῇ Ἑλλάδι πόλιν τύραννον ἡγησάμενοι
" ἐπὶ πᾶσιν ὁμοίως καθεστάναι, ὥστε τῶν μὲν ἤδη ἄρ-
" χειν τῶν δὲ διανοεῖσθαι, παραστησώμεθα ἐπελθόντες,
" καὶ αὐτοὶ ἀκινδύνως τὸ λοιπὸν οἰκῶμεν, καὶ τοὺς νῦν
" δεδουλωμένους Ἕλληνας ἐλευθερώσωμεν." Τοιαῦτα οἱ
Κορίνθιοι εἶπον.

125. Rogatis singulis, cum plerorumque calculi bellum gerendum ostenderent, decretum est, ut quisque neces-

Οἱ δὲ Λακεδαιμόνιοι, ἐπειδὴ ἀφ' ἁπάντων ἤκουσαν γνώμην, ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν, ὅσοι παρῆσαν, ἐξῆς, καὶ μείζονι καὶ ἐλάσσονι πόλει· καὶ τὸ πλῆθος ἐψηφίσαντο πολεμεῖν. δεδογμένον δὲ αὐτοῖς εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν ἀπαρασκεύοις οὖσιν, ἐκπορίζεσθαι δὲ ἐδόκει ἑκάστοις ἃ πρόσφορα ἦν, καὶ μὴ εἶναι

αὐτίκα δεινόν] τὸ πρὸς ὀλίγον γινόμενον ἐκ τοῦ πολέμου. 1. Ἀπ' αὐτοῦ] τοῦ πολέμου. Διὰ πλείονος] χρόνου. 3. Καθεστηκυῖαν] γεγονυῖαν. 4. Πόλιν τύραννον] τὰς Ἀθήνας λέγει. τὸ δὲ ἐξῆς, πόλιν τύραννον παραστησόμεθα. πλεονάζει τὸ τῆς τυραννίδος ὄνομα, ἵνα μᾶλλον παροξύνῃ. 5. Ἐπὶ πᾶσιν ὁμοίως] κατὰ πάντων. 6. Διανοεῖσθαι] ἀπὸ κοινοῦ, τὸ ἄρχειν. Παραστησόμεθα] δουλωσόμεθα. 11. Γνώμην] ἀπόφασιν. Ψῆφον ἐπήγαγον] ψῆφον, νῦν σκέψιν. δῆλον δὲ ὅτι τισὶ δοκεῖ καὶ τισὶν οὔ. 12. Ἐξῆς] κατὰ τάξιν. Καὶ τὸ πλῆθος] τὸ πλῆθος τῶν Λακεδαιμονίων δηλονότι. 14. Ἀδύνατα] ἀντὶ τοῦ ἀδύνατον. Ἐκπορίζεσθαι] ἔκ τινος πόρου

1. Ἐκ πολέμου—ἀκίνδυνον] Stobæus pag. 360. Wass.
2. μᾶλλον] om. G. post βεβαιοῦται ponit e.
5. ὁμοίως ἐπὶ πᾶσι e.
6. παραστησόμεθα B.C.I. ὑπεξελθόντες Q.
7. αὐτοὶ ἀκινδύνως A.B.F.H.N. g.h. ceteri αὐτοί τε ἀκινδύνως.
8. ταῦτα F.H. quod sequebatur μέν, omisi cum A.B.F.H. N.c.f.g.h.
13. ἐψηφίσατο i. δεδογμένου L.O.P.

Δεδογμένον] Perperam quidam libri δεδογμένου, ex ignoratione Atticismi; de quo Budæus in Commentar. H. Steph. Append. ad Thesaur. pag. 160. et Camerar. ad Act. Apost. ii. 29. Sic cap. præced. καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν, cap. 120. εὖ δὲ παρασχόν. Nec melius corrector Codicis Græv. mox ἀδύνατον, pro ἀδύνατα. Vid. ad cap. 1. Duk.
14. ἦν] om. e.
15. ἑκάστοις] om. g.

μέλλησιν. ὅμως δὲ καθισταμένοις ὧν ἔδει ἑνιαυτὸς μὲν οὐ διετρίβη, ἔλασσον δὲ, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν καὶ τὸν πόλεμον ἄρασθαι φανερῶς. * ἐν τούτῳ δὲ ἐπρεσβεύοντο τῷ χρόνῳ πρὸς τοὺς Ἀθηναίους ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐσακούωσι. καὶ πρῶτον μὲν πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι ἐκέλευον τοὺς Ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ· τὸ δὲ ἄγος ἦν τοιόνδε. Κύλων ἦν Ὀλυμπιονίκης, ἀνὴρ Ἀθηναῖος, τῶν πάλαι εὐγενής τε

saria ad bellum sine mora compararet. 126. Interea per legatos accusabant Athenienses (quo gravior ipsis, nihil agentibus, caussa belli esset) primum de piaculo in

λαμβάνειν. 1. Μέλλησιν] ἀναβολήν. Καθισταμένοις] παρασκευαζομένοις. 4. Ἐγκλήματα ποιούμενοι] ἐγκαλοῦντες. 8. Τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ] τοὺς τὸ ἄγος δράσαντας τῆς θεοῦ, τῆς Ἀθηνᾶς. Κύλων ἦν] τὸ διήγημα τὸ κατὰ τὸν Κύλωνα θαυμάζει σφόδρα ὁ τεχνογράφος, καὶ συμβουλεύει ἐπιμελέστατα αὐτὸ ἐκμαθεῖν τοὺς νέους, ἵνα μιμήσωνται. Ὅτι τοῦ διηγήματος τοῦ κατὰ τὸν Κύλωνα τὴν σαφήνειάν τινες θαυμάσαντες, εἶπον ὅτι λέων ἐγέλασεν ἐνταῦθα, λέγοντες περὶ Θουκυδίδου. Ὅτι τὰ κατὰ Κύ-

1. μέλλησιν d.e.
2. δὲ] γὰρ Q.
5. τοῦ] τοῦτο H.
6. τι] τινες B.
ἐσακούωσι F.H.I.L.O.P.Q. ἀκούωσι B.
8. ἐλαύνειν] ἐκβαλεῖν c.
τῆς] τοῦ B.L.O.
Κύλων ἦν] Vide Herodotum l. 5. c. 71. Meursii Solonem, et Marshami Chronicon. Huds.
9. ὀλυμπ. ἀνὴρ ἀθηναῖος A.B.F. G.H.K.c.f.g.h.i. ceteri ἀθηναῖος ἀνὴρ ὀλυμπ.
Ἀνὴρ Ὀλυμπιονίκης] Retulit etiam Diauli coronam Olympiade 35. si fides est Olympionicarum recensioni. Sed mirum est, quod in eadem recensione ponitur Olympiade 49. eundem Cylonem acropolin Athenarum occupavisse. Non est tamen impossibile; nam cursus victoria juveni maxime convenit; acropolis occupatio, licet non videatur convenire homini sexagenario, ut nec nuptiæ cum Megaclis filia, non est tamen ἀσύστατον. *Palmerius* Exercitat. pag. 47. Huds. Tangit historiam hanc Laërt. in Epimenide, et Hesych. in Κύλώνιον, apud quem paulo supra pro Κυλλὰς τὶς, leg. Κυλλαστίς. Sic enim Cod. Lambeth. apud Herodotum II. 77. Baroc. Κολλήστις, ut in contextu. Idem et Suidas in ἄγος, qui πεμψ. οἱ A. πρέσβεις legit. Vid. Pausan. l. 28. Plutarch. Solone p. 84. Victor fuisse videtur Olymp. XXXV. A. M. 3310. Ἄρχοντος Δαμασίου. Vid. etiam de eo Herodot. V. 71. Mox Marg. et Cam. bene Μεγαρέως ἀνδρὸς Θεαγένους θυγατέρα. Wass. De Cylone add. Schol. Aristoph. Equit. v. 443. Dux.

Minervam commisso. Per hanc occasionem Auctor exponit Cylonis conatum arce Athenarum potiundi, et fortunam eorum, qui eum sequebantur.

καὶ δυνατός· ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους, Μεγαρέως ἀνδρὸς ὃς κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων. χρωμένῳ δὲ τῷ Κύλωνι ἐν Δελφοῖς ἀνεῖλεν ὁ θεὸς ἐν τῇ τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν Ἀθηναίων ἀκρόπολιν. ὁ δὲ παρά τε τοῦ Θεαγένους δύναμιν λαβὼν καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθεν Ὀλύμπια τὰ ἐν Πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι, νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίστην εἶναι, καὶ ἑαυτῷ τι προσήκειν Ὀλύμπια νενικηκότι. εἰ δὲ ἐν τῇ Ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ εἴρητο, οὔτε ἐκεῖνος ἔτι κατενόησε τό τε μαντεῖον οὐκ ἐδήλου· ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μει-

λωνα ἐπράχθη σχεδὸν ἐπὶ τῆς ἐν Μαραθῶνι μάχης. 1. Δυνατός] πλούσιος. 3. Χρωμένῳ] περὶ τυραννίδος δηλονότι, ὡς ἐκ τῆς ἀποκρίσεως δείκνυται τῆς τοῦ θεοῦ. 5. Ἀκρόπολιν] ταύτην γὰρ κατέλαβον οἱ τυραννίδος ἐρῶντες. 7. Τὰ ἐν Πελοποννήσῳ] τοῦτο προσέθηκεν, ἐπειδὴ ἔστιν Ὀλύμπια καὶ ἐν Μακεδονίᾳ καὶ ἐν Ἀθήναις. 8. Ἐπὶ τυραννίδι] ὡς τυραννήσων. 9. Εἰ δὲ ἐν τῇ Ἀττικῇ] ἐκ τούτου δηλοῦται σαφῶς, ὅτι περὶ τῆς τῶν Διασίων τὸ μαντεῖον ἔλεγε. 12. Καὶ Ἀθηναίοις] καὶ παρ' Ἀθηναίοις. Διάσια] ἣν καὶ

1. διαγένους L.O.
2. μεγάρων] μεγαρέων K.N.i.
4. ἐν τῇ] τῇ om. C.G.K.L.N. P.Q.c.d.e.f.
τὴν] τῶν B.c.g.h.
5. τε] om. N.i.
6. ἐπῆλθεν C.F.H.I.Q.g.h.
7. Τὰ ἐν Πελοποννήσῳ] Nam et alibi agebantur, ut hic Scholiastes, et Spanhem. ad Morell. Ep. I. pag. 14. 82. et Ep. V. pag. 303. Sed pro Thucydide, quem hoc scribere dicit, ponendum est nomen Scholiastæ. Dux.
9. τι] om. L.O.P.
12. καὶ] om. C.L.O.e.
μειλιχίου K.
Μειλιχίου] Jovis Μειλιχίου crebra est apud Veteres mentio. Ad hunc locum pertinent, quæ Schol. Aristoph. Nubib. 407. et ex eo Suidas, habet: Διάσια Ἀθήνησιν ἑορτὴ Μειλιχίου Διός. Nec Athenis solum, sed alibi quoque cultum fuisse Jovem Μειλιχίου constat ex iis, quæ in Histor. Deor. Syntagm. II. congessit Giraldus. Sed et aliis Diis idem cognomen tribuitur, de quo vid. Brod. ad Anthol. Græc. I. 1. 4. Apollonius Acharnensis, Grammaticus opinor, apud Schol. Aristoph. l. d. Diasia a die festo Jovis Milichii diversa esse dicebat. Quas hujus sententiæ rationes habuerit, non addit Scholiastes. Sed ego in his rebus Thucydidi tutius, quam Apollonio illi, credi arbitror. Dux.

λιχίου μεγίστη, ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι πολλοὶ, οὐχ ἱερεῖα ἀλλὰ θύματα ἐπιχώρια· δοκῶν δὲ ὀρθῶς γιγνώσκειν ἐπεχείρησε τῷ ἔργῳ. οἱ δ' Ἀθηναῖοι

ἔλεγεν ἴσως ὁ θεὸς ἑορτήν. 1. Πανδημεὶ] πανδημεὶ ἑορτάζουσι, θύουσι δὲ πολλοί. 2. Ἱερεῖα] πρόβατα. Θύματα] τινὰ πέμματα εἰς ζώων μορφὰς τετυπωμένα ἔθυον. 3. Ὀρθῶς γιγνώσκειν] ἁπλανῶς νοεῖν, τὸν χρησμὸν θηλαντί. Τῷ ἔργῳ] τῇ τυραννίδι.

1. Ἐν ᾗ πανδημεὶ θύουσι—ἐπιχώρια] Pollux I. 26. et Scholiastes hunc locum aliter legisse videntur Hemsterhusio ad Luc. Tim. 7. p. 114. ἐν ᾗ πανδημεὶ ἑορτάζουσι, θύουσι δὲ πολλοὶ οὐχ ἱερεῖα, ἀγνὰ δὲ θύματα ἐπιχώρια. Gottl.

2. οὐχ ἱερεῖα μόνον ἀλλὰ καὶ θύματα codex Giraldi Hist. deor. syntagm. 2.

Οὐχ ἱερεῖα, ἀλλὰ θύματα] Vid. Kühnium ad Polluc. I. 26. Wass. Castellanus in lib. de Festis Græc. de Diasiis agens non obscure significat, sibi falsum videri, quod hic scribit Thucyd. in Diasiis non immolatas fuisse hostias animales. Hoc primum putat ostendi e Xenoph. extremo Lib. VII. Ἀναβ. ubi scriptum est, Athenienses Jovi Milichio more patrio victimas ὁλοκαυτεῖν, et Xenophontem ex hoc more Deo illi solidos porcos cremasse. Verum Thucydides de Diasiis Jovis Milichii, quæ Athenis agebantur, non de omnibus illius sacris, quæ vel Athenis, vel alibi fiebant, loquitur. Nec ex eo, quod illi aliis locis ac temporibus hostiæ mactabantur, sequitur, idem in Diasiis factum fuisse. Deinde profert locum Aristophanis, qui Nubib. 407. Strepsiadem inducit dicentem, Διασίοισιν ὕστερον γαστέρα τοῖς συγγενέσι, et ex eo conficit, Athenienses Jovi Milichio Diasiis *non tantum libamentis fecisse, sed victimas quoque immolasse videri.* Sed non firma est hæc argumentatio: Strepsiades propinquos suos Diasiis convivio excepit, iisque ventrem assum adposuit; Ergo Diasiis Jovi Milichio ἱερεῖα et victimæ immolabantur. Nec est, quod quis dicat, veteres post rem divinam convivia de partibus victimarum instruere, et cognatos amicosque ad ea vocare solitos fuisse. Neque enim ideo adfirmari potest, omnes, qui diebus festis convivia agitabant, vel ipsos iis diebus sacra fecisse, vel convivia illa de partibus victimarum adparasse. Ne dicam, nihil obstare, quo minus iisdem illis Diasiis, quamquam ea præcipue Jovi Milichio sacra erant, tamen etiam aliis Diis sacra hostiis fieri potuerint. Suidas quidem in Διὸς κώδιον memorat, pelles victimarum Jovi Μειλιχίῳ et Κτησίῳ immolatarum, quas ad sacra quædam adhibebant Athenienses. Sed non dicit, victimas illas Diasiis immolatas fuisse. Itaque, nisi hoc disertioribus idoneorum scriptorum testimoniis demonstratum fuerit, non possum adsentiri Castellano, nec unum Codicem Thucydideum, quem sibi inspectum esse testatur Giraldus l. d. tot aliis, qui omnes in receptam scripturam conspirant, præferre. Dux.

αἰσθόμενοι ἐβοήθησάν τε παυδημεὶ ἐκ τῶν ἀγρῶν ἐπ' αὐτοὺς, καὶ προσκαθεζόμενοι ἐπολιόρκουν. χρόνου δὲ ἐπιγιγνομένου οἱ Ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ ἀπῆλθον οἱ πολλοὶ, ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τὴν φυλακὴν καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι, ἢ ἂν ἄριστα διαγιγνώσκωσι· τότε δὲ τὰ πολλὰ τῶν πολιτικῶν οἱ ἐννέα ἄρχοντες ἔπρασσον. οἱ δὲ μετὰ τοῦ Κύλωνος πολιορκούμενοι φλαύρως εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ. ὁ μὲν οὖν Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν· οἱ δ' ἄλλοι, ὡς ἐπιέζοντο καί τινες καὶ ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τὸν ἐν τῇ ἀκροπόλει. ἀναστήσαντες δὲ αὐτοὺς οἱ τῶν Ἀθηναίων

1. Αἰσθόμενοι] αἴσθησιν τοῦ πράγματος λαβόντες. Ἐπ' αὐτούς] κατ' αὐτῶν. 5. Αὐτοκράτορσιν] αὐτεξουσίοις οὖσι. Διαθεῖναι] οἰκονομῆσαι. Ἢ ἂν] τὸ ἢ ἀντὶ τοῦ ὡς ἄν. 8. Φλαύρως] ἀσθενῶς. 10. Ἐπιέζοντο] ἐταλαιπώρουν. 11. Καθίζουσιν ἐπὶ τὸν βωμὸν] ἑαυτοὺς δηλονότι παρὰ τὸν βωμόν. τὸ δὲ καθίζουσιν ἀπὸ τοῦ καθίζω. καθέζονται δὲ ἀπὸ τοῦ καθέζομαι. 12. Οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι] οἱ ἔχοντες ἀπὸ τῶν Ἀθηναίων τὴν

1. τε] om. N.
2. ἐγγινομένου C.I.L.O.P.e. ἐπιγενομένου G.c.
3. οἱ] om. Q.
προσεδρίᾳ P.Q.c.
4. οἱ πολλοὶ] om. N.
φυλακὴν καὶ A.B.F.H.K.e.f.g. h.i. ceteri φυλακήν τε καὶ.
5. Αὐτοκράτορσι] Spanhemius, quantum ex iis intelligere possum, quæ de significatione hujus vocabuli Dissertat. VII. de Usu et Præstant. Numismat. pag. 444. disserit, videtur putasse eos ἀνυπευθύνους fuisse. Sed Perizon. ad Ælian. V. Var. Hist. 13. populo ὑπευθύνους fuisse scribit, et ibidem ostendit, Thucydidem ideo τότε dicere, quod res deinde aliter se habuit, potestate Archontum a Solone multis partibus imminuta. Dukr.
6. διαγιγνώσκουσι C.K.O.e.
7. δὲ] τε K.
κύλωνος] χειμῶνος i.
9. ὁ post καὶ om. K.
αὐτοῦ] om. C.L.O.P.e.
Ἐκδιδράσκουσιν] De Cylone idem prodit Schol. Aristoph. Equit. 443. Et Thucydidi potius fidem habendam puto, quam Suidæ in Κυλώνειον ἄγος scribenti, eum, quum in templum Furiarum fugisset, inde abstractum et interfectum esse. Dukr.
10. τ. καὶ] καὶ om. H.q.
ἀπὸ C.L.e.
11. τὸν] τῶν C.
12. Ἀναστήσαντες—αὐτοὺς οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι] Vid. Valckenar. ad Herodot. 5, 71. p. 407.
δὲ] om. A.

ἐπιτετραμμένοι τὴν φυλακὴν, ὡς εἶδον ἀποθήσκοντας ἐν τῷ ἱερῷ, ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσιν, ἀπαγαγόντες ἀπέκτειναν· καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς ἐν τῇ παρόδῳ διεχρήσαντο. καὶ ἀπὸ τούτου ἐναγεῖς καὶ ἀλιτήριοι τῆς θεοῦ ἐκείνοί τε ἐκαλοῦντο καὶ τὸ γένος τὸ ἀπ' ἐκείνων. ἤλασαν μὲν οὖν καὶ οἱ Ἀθηναῖοι τοὺς ἐναγεῖς τούτους, ἤλασε δὲ καὶ Κλεομένης ὁ Λακεδαιμόνιος ὕστερον μετὰ Ἀθηναίων στασιαζόντων, τούς τε ζῶντας ἐλαύνοντες, καὶ τῶν τεθνεώτων τὰ ὀστᾶ ἀνελόντες ἐξέβαλον· κατῆλθον μέντοι ὕστερον, καὶ

ἐπιτροπὴν τῆς φυλακῆς. 3. Τῶν σεμνῶν θεῶν] τῶν Ἐρινύων, κατὰ ἀντίφρασιν· ἃς μετὰ τὸν Ὀρέστην οἱ Ἀθηναῖοι πλησίον τοῦ Ἀρείου πάγου ἱδρύσαντο, ἵνα πολλῆς τιμῆς τύχωσιν. 7. Ἤλασε δὲ καὶ Κλεομένης] βασιλεὺς Λακεδαιμονίων, οὗ μέμνηται Ἡρόδοτος (5, 70). ἀμφίβολον, πότερον ἤλασε μετὰ τῶν στασιαζόντων Ἀθηναίων, τουτέστι καὶ τοὺς στασιάζοντας, ἢ ἤλασε μετὰ τῶν Ἀθηναίων, ὅτι ἐστασίαζον, ἵνα μὴ ὦσιν ἐν τῇ πόλει οἱ ἀλιτήριοι· ὅπερ ἄμεινον. 10. Κατῆλθον] οἱ φυγαδευθέντες.

1. ἐπιτρεψάμενοι d.

Ἐπιτετραμμένοι] Homer. Ὦ λαοί τ' ἐπιτετράφαται. Wass.

2. ποιήσωσιν e.

3. Σεμνῶν θεῶν] Εὐμένιδες a Sicyoniis, σεμναὶ θεαὶ ab Atheniensibus dicebantur, teste Pausania in Corinthiacis. Antiqui (ut inquit Helladius in Chrestomathia) solliciti fuerunt, ne male ominosa dicerent, ideo Ἐρινύας *Eumenides* vel *venerandas deas*, μῦσος *sceleratum* vocabant ἄγος. Sed Grammatici illa per Antiphrasin nominant. Vide Meursii Attic. Lect. l. 4. c. 1. Huds.

4. θεῶν ἐν om. L.O.P. ἐν om. C. διεχρήσαντο C.e.

Διεχρήσαντο] Suidas in ἀνεχρήσαντο. Hesych. Wass. Suidas, ἀνεχρήσαντο, διέφθειραν. οὕτω Θουκυδίδης. Sed v. ibi Kuster. Duk.

5. Ἐναγεῖς καὶ ἀλιτήριοι] Vid. Herodot. Plut. Schol. Aristoph. locis dd. et Pausan. et Achaicor. XXV. Notandum esse, quod etiam posteri eorum sic fuerint dicti, monet Spanhem. Dissert. IX. de Præst. et Usu Numism. p. 670. Et hinc Aristoph. Equit. 443. Ἐκ τῶν ἀλιτηρίων σε φημὶ γεγωνέναι τῆς θεοῦ. Quæ mox de Cleomene dicit, ea pluribus exsequitur Herodot. V. 70. seqq. De ossibus mortuorum extra fines ejectis Plutarch. in Solone. Duk.

ἀλητήριοι C.

6. ἐκείνου C.

7. οἱ] om. A.

καὶ] om. b.

9. Τῶν τεθ.—ἐξέβαλον] Th. Magister semel tantum in ἀνεῖλεν. Wass.

10. ἐξέβαλλον A.B.F.H.h.i. ἐξέλαβον I.

τὸ γένος αὐτῶν ἦστιν ἔτι ἐν τῇ πόλει. * τοῦτο δὴ τὸ ἄγος
127. Hoc piaculum Lacedæmonii Atheniensibus exprobrabant non solum deorum causa, sed multo etiam magis, ut Periclem, ad quem illud piaculum a matre pertinebat, et qui tum Athenienses contra Peloponnesios incitabat, si non depellerent loco, tamen suis odiosum redderent.
οἱ Λακεδαιμόνιοι ἐλαύνειν ἐκέλευον δῆθεν τοῖς θεοῖς πρῶτον τιμωροῦντες, εἰδότες δὲ Περικλέα τὸν Ξανθίππου προσεχόμενον αὐτῷ κατὰ τὴν μητέρα, καὶ νομίζοντες ἐκπεσόντος αὐτοῦ ῥᾷον σφίσι προχωρεῖν τὰ ἀπὸ τῶν Ἀθηναίων. οὐ μέντοι τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο, ὅσον διαβολὴν εἶσειν αὐτῷ πρὸς τὴν πόλιν, ὡς καὶ διὰ τὴν ἐκείνου ξυμφορὰν τὸ μέρος ἔσται ὁ πόλεμος. ὢν γὰρ δυνατώτατος τῶν καθ' ἑαυτὸν καὶ ἄγων τὴν πολιτείαν, ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις, καὶ οὐκ εἴα ὑπείκειν ἀλλ' ἐς τὸν πόλεμον ὥρμα τοὺς Ἀθηναίους. *

128 Ἀντεκέλευον δὲ καὶ οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους τὸ ἀπὸ Ταινάρου ἄγος ἐλαύνειν. οἱ γὰρ Λακεδαιμόνιοι ἀναστήσαντές ποτε ἐκ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἀπὸ Ταινάρου τῶν Εἱλώτων ἱκέτας, ἀπαγαγόντες διέφθειραν· διὸ
128-133. Contra A-

2. Ἐκέλευον ἐλαύνειν] μετὰ τὸν Κλεομένην. 3. Προσεχόμενον] ἔνοχον ὄντα. 4. Αὐτῷ] τῷ ἄγει. Κατὰ τὴν μητέρα] κατὰ τὸ γένος τὸ μητρῷον. 6. Τοῦτο] τὸ ἐκβληθῆναι. 7. Αὐτῷ] τῷ Περικλεῖ. συνέβαινε γὰρ αὐτῷ μὴ πιστεύεσθαι στρατηγίαν τοιούτῳ ὄντι· 8. Τὴν ἐκείνου ξυμφορὰν] τὴν ἀπὸ περιστάσεως δυστυχίαν, καὶ οὐκ ἐξ οἰκείας ἀβουλίας κακοπραγίαν. καὶ ἐν τῇ δημηγορίᾳ "καὶ οὐκ ἴσμεν ὅπως τῶνδε τριῶν τῶν μεγίστων ξυμφορῶν "ἀνήλλακται." ἤτοι κακιῶν. καὶ γὰρ αἱ τῆς φύσεως ἐλαττώσεις καὶ διαπτώσεις κακίαι πάντως εἰσί. καὶ τριῶν ἐν τῇ δημηγορίᾳ Περικλέους ξυμφορὰς τὰς ἀπαντυχίας εἴρηκεν· ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου. Ἄλλως. Διὰ τὸ ἄγος, τουτέστι διὰ τὸ μὴ ἐκβληθῆναι αὐτὸν ὄντα ἐναγῆ. 9. Τῶν καθ' ἑαυτὸν] τῶν ὄντων κατὰ τὴν ζωὴν αὐτοῦ. 13. Ἀπὸ Ταινάρου] Ταίναρον

1. ἦστιν ἔτι A.B.F.G.H.K.Q. g.h. ἔστιν, omisso ἔτι, c.f.i. ἔτι ἐστὶν vulgo.
2. ἐκέλευον ἐλαύνειν C.F.H.K. L.O.P.c.e.f.i.
τοῖς θεοῖς δῆθεν L.O.P.
3. δὲ] δὲ καὶ N. τε L.O.f. om. K.i.
τὸν] τοῦ P.
προσεχόμενον G.N.c.
5. προχωρεῖν A.B.C.F.H.I.K. L.N.O.P.b.c.d.e.f.g.h.i. vulgo προχωρήσειν.
9. ἑαυτοῦ h.
πόλιν K.
13. τὸ] om. d.
ἀπὸ τοῦ ταινάρου d.
ἄγος—ταινάρου] om. H.
15. εἱλώτων ἱκέτας A.B.C.F.G. H.K.N.e.f.g.h.i. vulgo εἱλώτων τοὺς ἱκέτας.

ὃ δὴ καὶ σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγαν σεισμὸν γενέσθαι ἐν Σπάρτῃ. ἐκέλευον δὲ καὶ τὸ τῆς Χαλκιοίκου ἄγος ἐλαύνειν αὐτούς· ἐγένετο δὲ τοιόνδε. ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος τὸ πρῶτον μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν Ἑλλησπόντῳ, καὶ κριθεὶς ὑπ' αὐτῶν, ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν Ἑρμιονίδα ἄνευ Λακεδαιμονίων ἀφικνεῖται ἐς Ἑλλήσποντον. τῷ μὲν λόγῳ ἐπὶ τὸν Ἑλληνικὸν πόλεμον, τῷ δὲ ἔργῳ τὰ πρὸς βασιλέα πράγματα πράσσειν, ὥσπερ καὶ τὸ πρῶτον ἐπεχείρησεν, ἐφιέμενος Ἑλληνικῆς ἀρχῆς. εὐεργεσίαν δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο, καὶ τῶν παντὸς πράγματος ἀρχὴν ἐποιήσατο· Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν (εἶχον δὲ Μῆδοι αὐτὸ καὶ βασιλέως προσήκοντές τινες καὶ ξυγγενεῖς, οἳ ἐάλωσαν ἐν αὐτῷ) τότε τούτους οὓς ἔλαβεν ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων,

thenienses duplex piaculum Lacedæmoniis exprobrant, alterum de Helotibus ex templo Neptuni Tænarii vi depulsis et necatis, alterum de Pausania, ex templo Chalcioeci elato, contractum. Quo loco et proditio illius viri, pugna Platæensi imprimis clari, et Lacedæmoniorum in ea ulciscenda severitas copiosius explicatur, usque ad cap. 134, 135.

ἀκρατήριον Λακωνικῆς, ἱερὸν Ποσειδῶνος. 1. Νομίζουσιν] οἱ Ἀθηναῖοι. 2. Χαλκιοίκου ἄγος] Χαλκίοικος ἡ Ἀθηνᾶ ἐν Σπάρτῃ, ἢ ὅτι χαλκοῦν εἶχεν οἶκον, ἢ διὰ τὸ στερεὸν εἶναι, ἢ διὰ τὸ τοὺς Χαλκιδεῖς τοὺς ἐξ Εὐβοίας φυγάδας αὐτὸν κτίσαι. 6. Τὰ' αὐτῶν] τῶν Σπαρτιατῶν. 7. Ἐξεπέμφθη] εἰς ἀρχὴν τοῦ Ἑλλησποντιακοῦ. Αὐτὸς] Παυσανίας. Ἑρμιονίδα] ἀπὸ Ἑρμιόνης πόλεως Λακωνικῆς. 9. Τὰ πρὸς βασιλέα] βουλόμενος δηλοῦσθαι τὰ τοῦ βασιλέως πράγματα ποιεῖν ἐμηδίζε γάρ. 12. Ἀπὸ τοῦδε] ἀπὸ τούτου τοῦ ἐπιφερομένου, περὶ Βυζαντίου δηλονότι. 14. Μετὰ τὴν ἐκ Κύπρου] ἐνταῦθα τὰ περὶ τῆς πρώτης αὐτοῦ παρουσίας διηγεῖται. 15. Προσήκοντες] διαφορὰ

1. De hoc terræ motu vid. Pausan. VII. 25. Duk.

σεισμὸν] v. Suidam in ἐπέσεισε Ælian. V. H. VII. 7. Pausan. Messen. 24. et Ach. VII. 25. Wass. not. MS.

2. ἐν τῇ σπάρτῃ L.O.P.e.

καὶ] om. K.

6. μὲν οὖν οὐκέτι G.

8. τῷ μὲν—πόλεμον] om. C.

10. quod vulgo post πράγματα legitur βουλόμενος, ante τὰ ponunt C.L.O.P.Q.e. om. A.B.F. H.K.N.c.d.f.g.

11. ἐνεχείρησεν A.B.F.H.N.h. ἐπεχείρησεν K.

ἑλλήνων f.

12. κατέθεντο C.

13. γὰρ] δὲ L.

15. δὲ καὶ μῆδοι P.

16. οἵ] omittendum fortasse hoc pronomen.

ἔλαβον B.

τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτόν. ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ Ἐρετριέως, ᾧπερ ἐπέτρεψε τό τε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους. ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ· ἐνεγέγραπτο δὲ τάδε ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη, " Παυσανίας ὁ ἡγεμὼν τῆς Σπάρτης " τούσδε τέ σοι χαρίζεσθαι βουλόμενος ἀποπέμπει δορὶ " ἑλών, καὶ γνώμην ποιοῦμαι, εἰ καὶ σοὶ δοκεῖ, θυγατέρα " τε τὴν σὴν γῆμαι καί σοι Σπάρτην τε καὶ τὴν ἄλλην " Ἑλλάδα ὑποχείριον ποιῆσαι. δυνατὸς δὲ δοκῶ εἶναι " ταῦτα πρᾶξαι μετὰ σοῦ βουλευόμενος. εἰ οὖν τί σε " τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν, 129. " δι' οὗ τὸ λοιπὸν τοὺς λόγους ποιησόμεθα." * τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου, Ξέρξης δὲ ἥσθη τε τῇ ἐπιστολῇ, καὶ ἀποστέλλει Ἀρτάβαζον τὸν Φαρνάκου ἐπὶ θάλασσαν, καὶ κελεύει αὐτὸν τήν τε Δασκυλῖτιν σατραπείαν παρα-

προσήκοντος καὶ συγγενοῦς. 1. Τῷ δὲ λόγῳ] τῇ φήμῃ. 4. Αὐτῷ] τῷ Πέρσῃ. 10. Σὲ] ἀντὶ τοῦ σοί. Ἀττικὴ δὲ καὶ ἀρχαία ἡ φράσις, ἀντὶ δοτικῆς αἰτιατικὴν συντάξαι. 13. Ἡ γραφὴ] γραφὴ ἡ ζωγραφία καὶ ἡ κατηγορία καὶ ἡ ἐπὶ γραμμάτων ἁπλῶς, ὡς νῦν. 14. Ἐπὶ θάλασσαν] ἐπὶ

2. γογγίλου d.
ᾧ, omissa περ. A.G.H.K.N. c.f.g.h.i.
4. γογγυλον d.i.
αὐτῷ φέροντα i.
τάδε ἐν A.C.F.G.H.L.N.O.Q. c.f.g.h. vulgo τάδε καὶ ἐν.
5. εὑρέθη f.
δ] om. Q.
6. τε] om. L.
χαρίσασθαι L.O.
8. τε] om. g.
τὴν] om. C.e.
τε] om. C.L.O.
9. ποιήεσθαι c. ποιεῖν h.
δὴ c.
δοκεῖ f.
εἶναι] om. c.f.
10. βουλόμενος b.
σοι Q.g.
11. Θάλασσαν] Θάλατταν Sch.

Aristoph. Plut. 69. at hac forma noster vix ullibi. Wass. Thucydidem neque in hoc, neque in aliis quibusdam vocabulis, gemino τ uti, adnotat e vetustis Grammaticis Eustath. ad Homer. Il. κ'. p. 813. Add. Steph. supr. ad cap. XX. Σὲ ἀρέσκει, pro σοὶ, Atticorum esse adnotat Schol. Aristoph. Plut. 353. Ran. 103. Schol. Theocr. ad I. Idyll. 61. et Corinth. in libello de Dialectis. Vid. Spanhem. ad Aristoph. Plut. 353. Duk.
13. δὲ] om. K.d.
τε] om. K.L.O.d.g.
14. θαλάσσης L.O.P.
15. αὐτὸν] om. g.
δασκυλίτην C. δασκυλείτην b.d.e. δασκυλείτιν g.
Δασκυλῖτιν] Δασκυλείτιν, quod

λαβεῖν, Μεγαβάτην ἀπαλλάξαντα ὃς πρότερον ἦρχε, καὶ παρὰ Παυσανίαν ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ ὡς τάχιστα διαπέμψαι, καὶ τὴν σφραγῖδα ἀποδεῖξαι, καὶ ἤν τι αὐτῷ Παυσανίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν ὡς ἄριστα καὶ πιστότατα. ὁ δὲ ἀφικόμενος τά τε ἄλλα ἐποίησεν ὥσπερ εἴρητο, καὶ τὴν ἐπιστολὴν διέπεμψεν· ἀντεγέγραπτο δὲ τάδε, "Ὧδε λέγει βασιλεὺς Ξέρξης Παυσανίᾳ, καὶ τῶν "ἀνδρῶν οὓς μοι πέραν θαλάσσης ἐκ Βυζαντίου ἔσωσας, "κεῖταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐσαεὶ ἀνά- "γραπτος, καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἁρέσκομαι. "καί σε μήτε νὺξ μήθ' ἡμέρα ἐπισχέτω ὥστε ἀνεῖναι "πράσσειν τι ὧν ἐμοὶ ὑπισχῇ, μηδὲ χρυσοῦ καὶ ἀργύ-

τὰ παραθαλάσσια. 2. Ἐς Βυζάντιον] ὄντα δηλονότι. 3. Αὐτῷ] τῷ Ἀρταβάζῳ. Τὴν σφραγῖδα] ἡ σφραγὶς τοῦ Περσῶν βασιλέως εἶχε, κατὰ μέν τινας, τὴν βασιλέως εἰκόνα, κατὰ δέ τινας, τὴν Κύρου τοῦ πρώτου βασιλέως αὐτῶν, κατὰ δέ τινας, τὸν Δαρείου ἵππον, δι' ὃν χρεμετίσαντα ἐβασίλευσεν. 4. Ἀποδεῖξαι] τῷ Παυσανίᾳ. Παραγγέλλῃ] κελεύῃ. 8. Καὶ τῶν ἀνδρῶν] λείπει ἡ ὑπέρ. 10. Κείσεταί σοι εὐεργεσία] διὰ παντὸς εὐεργέτης κληθήσῃ ἐν τῷ ἡμετέρῳ οἴκῳ. 12. Ἀνεῖναι] ῥᾳθυμῆσαι.

est in Reg. fortassis potest esse a Δασκύλειον, quemadmodum Ptolemæus, Strabo, et Steph. in Βρύλλιον hanc urbem vocant. Sed frequentius est Δασκύλιον, unde gentilia Δασκυλίτις et Δασκυλῖτις. Vid. quæ adnotantur ad Stephan. v. Δασκύλιον. Duk.

σατραπίαν C.P.b.d.e.g.

2. περὶ G.M.b.

4. παραγγέλῃ K.Q.g. παραγγέλλει c.

5. ἑαυτῶν i.

6. ὡς προείρητο L.O.

7. ἐπιστολὴν] om. c.

ἀντεπεγέγραπτο C.I.L.M.O. ἀντέγραπτο e.

9. ἔσωσας A.B.C.F.H.I.K.N. c.e.f.g.h. vulgo διέσωσας.

10. κεῖται A.B.N.g.h. cum Thom. M. v. ἀεί. ceteri κείσεται.

Κείσεταί σοι εὐεργ.] Hoc idem est ac si dixisset; εὐεργέτης ἀναγραφθήσῃ καὶ κληθήσῃ ἐν τῷ ἡμετέρῳ οἴκῳ. Nam qui de Rege et regno Persarum bene meriti erant, Ὀροσάγγαι ab iis dicebantur (εὐεργέται Græci vertere) et eorum nomina codicibus regiis inferebantur; ut nos sacri et profani scriptores docent. Vide Herodotum, l. 5. et 8. et c. 6. lib. Estheræ. Huds. Ad ea, quæ hic adnotat Huds. add. Brisson. lib. I. de Regno. Persar. pag. 93. Herald. I. Adversar. 9. et Grot. ad Esther. VI. 1. Duk.

ἄγραπτος K.

13. πράττειν f.

" ρου δαπάνῃ κεκωλύσθω, μηδὲ στρατιᾶς πλήθει, εἴ ποι
" δεῖ παραγίγνεσθαι· ἀλλὰ μετ' Ἀρταβάζου ἀνδρὸς
" ἀγαθοῦ, ὃν σοι ἔπεμψα, πρᾶσσε θαρσῶν καὶ τὰ ἐμὰ
" καὶ τὰ σά, ὅπῃ κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέ-
130. " ροις." *ταῦτα λαβὼν ὁ Παυσανίας τὰ γράμματα, ὧν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν Πλαταιάσιν ἡγεμονίαν, πολλῷ τότε μᾶλλον ἦρτο, καὶ οὐκέτι ἠδύνατο ἐν τῷ καθεστηκότι τρόπῳ βιοτεύειν, ἀλλὰ σκευάς τε Μηδικὰς ἐνδυόμενος ἐκ τοῦ Βυζαντίου ἐξῄει, καὶ διὰ τῆς Θράκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν, τράπεζάν τε Περσικὴν παρετίθετο, καὶ κατέχειν τὴν διάνοιαν οὐκ ἠδύνατο, ἀλλ' ἔργοις βραχέσι προυδήλου ἃ τῇ γνώμῃ μειζόνως ἐσέπειτα ἤμελλε πράξειν. δυσπρόσοδόν τε αὐτὸν παρεῖχε, καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε μηδένα

5. Ὧν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι] ἤγουν τιμώμενος τὰ μεγάλα ὑπὸ τῶν Ἑλλήνων. 8. Ἐν τῷ καθεστῶτι τρόπῳ] τῷ Λακωνικῷ. 11. Ἐδορυφόρουν] μετὰ δοράτων προέπεμπον. ταῦτα πάντα ἐν τῇ πρώτῃ παρουσίᾳ ἐπράχθη. Περσικὴν] τρυφηλήν. 14. Δυσπρόσοδον] δυσέντευκτον. 15. Ἐς

1. εἴπῃ i.
3. θαρρῶν A.C.L.O.P.Q.f.
4. καὶ ἄριστα] om. Q.
6. πρῶτον C.I.L.O.e.
7. πλαταιᾶσιν F.H.Q.g.

Πολλῷ τότε μᾶλλον] Antea edebatur πολλῷ μᾶλλον τότε. Wass. Πλαταιᾶσι quod est in Reg. et Cass. non rejiciendum videtur. Nam adverbia a nominibus facta retinere tonum nominis sui docent Grammatici, ut Θήβησι, Περγασῆσι. Πλαταιᾶσι est etiam in Plutarch. de Herodoti malignit. sub fin. In Pausan. variat scriptura. Vid. Kuhn. ad illius Lacon. C. V. qui Πλαταιάσιν præfert. Duk.

μᾶλλον τότε C.b.c.f.g.h.i.
8. ἐδύνατο K.
καθεστηκότι A.B.F.H.K.b.c.f.g. ceteri καθεστῶτι.
11. περσικὴν] μηδικὴν K.b.c.f.
12. κατέχειν] τείχειν I.
ἐδύνατο G.

14. Δυσπρόσοδόν τε — πάντας] Thomas M. χαλεπῶς legit, non χαλεπῇ. Ὀργὴν Casaub. ad Dion. Halic. IV. 244. hic accipit pro ingenio ac moribus, ut in illo Dionysii l. d. βαρὺς καὶ χαλεπὸς ὀργήν. Ita sæpe sumitur. Vid. Schol. ad cap. 122. et 140. hujus lib. Aristoph. Equit. 41. Sophocl. Ajac. 646. et ad utrumque Schol. nec non Casaub. ad Aristoph. l.d. Add. Cl. Wass. infr. ad cap. 140. Duk.

15. μηδένα] μὴ N.

δύνασθαι προσίεναι· διόπερ καὶ πρὸς τοὺς Ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία μετέστη. * οἱ δὲ Λακεδαιμόνιοι αἰ- 131.
σθόμενοι τό τε πρῶτον δι' αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτὸν, καὶ ἐπειδὴ τῇ Ἑρμιονίδι νηὶ τὸ δεύτερον ἐκπλεύσας
5 οὐ κελευσάντων αὐτῶν τοιαῦτα ἐφαίνετο ποιῶν, καὶ ἐκ τοῦ Βυζαντίου βίᾳ ὑπ' Ἀθηναίων ἐκπολιορκηθεὶς ἐς μὲν τὴν Σπάρτην οὐκ ἐπανεχώρει, ἐς δὲ Κολωνὰς τὰς Τρωάδας ἱδρυθεὶς πράσσων τε ἐσηγγέλλετο αὐτοῖς πρὸς τοὺς βαρβάρους καὶ οὐκ ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος,
10 οὕτω δὴ οὐκέτι ἐπέσχον, ἀλλὰ πέμψαντες κήρυκα οἱ ἔφοροι καὶ σκυτάλην εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι, εἰ δὲ μή, πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. ὁ δὲ

πάντας] κατὰ πάντων. 3. Τό, τε πρῶτον] ἀντὶ τοῦ τὸ πρῶτόν τε. Ἐντεῦθεν ἄρχεται ἡ δευτέρα παρουσία. 6. Ἐκπολιορκηθεὶς] τῇ πολιορκίᾳ ἁλοὺς. 7. Τὰς Τρῳάδας] εἰσὶ γὰρ καὶ Ἀττικαί. 8. Ἱδρυθεὶς] καθεσθείς. Πράσσων] τὰ συμφέροντα ἑαυτῷ. Ἐσηγγέλλετο] ἐμηνύετο. 9. Τὴν μονὴν] τὴν ἀργίαν. Ποιούμενος] τὸ ἐπειδὴ πρὸς τὸ ποιούμενος. 10. Ἐπέσχον] ἑαυτοὺς δηλονότι. 11. Σκυτάλην] ἀντὶ τοῦ ἐπιστολὴν Λακωνικήν. ἦν δὲ ἡ σκυτάλη ξύλων στρογγύλων ἐξεσμένων, ἐπίμηκες. δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι· καὶ τὴν μὲν μίαν κατεῖχον οἱ Ἔφοροι τῶν Λακεδαιμονίων, τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ τῶν στρατηγῶν παρεῖχον. καὶ ὁπότε ἐβούλοντο ἐπιστεῖλαί τι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιελίττουν τὴν σκυτάλην, καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον, καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν, ἵνα μὴ μάθωσιν οἱ ἀποφέροντες τὰ ἐν τῷ ἱμάντι γεγραμμένα. ὁ δὲ στρατηγὸς, λαβὼν τὸν ἱμάντα, τῇ ἑαυτοῦ σκυτάλῃ περιελίττε, καὶ ἐγίγνωσκε τὴν τῶν γραμμάτων περιοχήν. εἰ δέ τις εἴποι, καὶ πῶς εἶχεν ὁ Παυσανίας τὴν σκυτάλην, λάθρα τῆς πόλεως ἐξελθών; ῥητέον, ὅτι ἀπὸ τῆς πρώτης στρατηγίας εἶχε τὴν σκυτάλην. Μὴ λείπεσθαι] τὸν Παυσανίαν δηλονότι. 12. Αὐτῷ] τῷ Παυσανίᾳ.

1. δὲ e.
2. ἡ] καὶ K.
Οἱ δὲ Λακεδαιμόνιοι] Vid. Aristotel. Polit. VII. 14. Mox puto legendum ἀνεκαλέσαντο. Ita certe Thom. Magist. Wass. Et apud Thomam in ἀνακαλεῖμαι, qui et τότε legit, ut Cass. et Gr. non τό, τε. Dux.
3. αὐτὰ] om. C.
ἀνεκαλέσαντο F.H.Q.
6. ἀπὸ O.
7. ἐχόρει c.f.
τρωάδας B.F.H.g.h. τρωιδας e. vulgo Τρωϊάδας.
8. ἱδρυθεὶς C.L.O.P.Q.e.
αὐτοῖς post βαρβάρους ponit P.
πρὸς A.B.F.H.K.N.Q.g.h.i. ceteri ἐς.
10. κήρυκα] om. d.
12. προαγορεύειν B.P.b.d.e.

βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι, καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολήν, ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην. καὶ ἐς μὲν τὴν εἰρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ τῶν ἐφόρων (ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο), ἔπειτα διαπραξάμενος ὕστερον ἐξῆλθε, καὶ κα-
θίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτὸν
132. ἐλέγχειν. * καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ Σπαρτιᾶται σημεῖον, οὔτε οἱ ἐχθροὶ οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιστεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα (Πλεί-
σταρχον γὰρ τὸν Λεωνίδου, ὄντα βασιλέα καὶ νέον ἔτι, ἀνεψιὸς ὢν ἐπετρόπευεν)· ὑποψίας δὲ πολλὰς παρεῖχε, τῇ τε παρανομίᾳ καὶ ζηλώσει τῶν βαρβάρων, μὴ ἴσος βούλεσθαι εἶναι τοῖς παροῦσι, τά τε ἄλλα αὐτοῦ ἀνεσκό-
πουν, εἴ τί που ἐξεδεδιήτητο τῶν καθεστώτων νομίμων,
καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθε-

2. Τὴν παραβολήν] τὴν κατηγορίαν, τὸν κίνδυνον, τὸ γεγονὸς ὑπ' αὐτοῦ παράβολον. 5. Τοῦτο] τὸ κακὸν δηλονότι. καὶ μὴν οὐκ ἦν βασιλεὺς, ἀλλ' ἐπίτροπος. Διαπραξάμενος] χρήμασι δηλονότι καὶ λόγοις διαπραξάμενος, ἤτοι διακρουσάμενος τὴν κατηγορίαν. 6. Περὶ αὐτῶν] τῶν κατηγορημάτων. 9. Γένους τε τοῦ βασιλείου ὄντα] Ἡρακλείδης γὰρ ἦν. 10. Ἐν τῷ παρόντι] καιρῷ δηλονότι. 11. Τὸν Λεωνίδου] οὗτος ὁ Λεωνίδης ὁ ἐν Θερμοπύλαις ἀριστεύσας ἐπὶ τῶν Μηδικῶν. 12. Ἀνεψιὸς ὤν] τοῦ Πλειστάρχου. 13. Τῇ τε παρανομίᾳ] διὰ τὸ μὴ στέργειν τοῖς Λακωνικοῖς νόμοις. 14. Τοῖς παροῦσι] τοῖς ἤθεσι τῶν Λακώνων. 15. Ἐξεδεδιήτητο] ἔξω τῶν Λακωνικῶν διητᾶτο νόμων. 16. Ἐπὶ τὸν τρίποδα] οὐκ ἐν ᾧ ἐμαντεύετο ὁ Ἀπόλλων, ἀλλ' ἕτερόν τινα, ὃν

1. ὡς] om. L.O.P.
2. παραβολὴν C.e.
ἐς τὴν σπάρτην K.
6. αὐτὸν L.O.P.Q.
περὶ] om. g.
αὐτὸν A.B.F.H.N.Q.e.g.h.i. vulgo αὐτῶν.
7. οἱ σπαρτιάται οὐδὲν g.
8. οὔτε οἱ ἐχθροὶ] om. A.B.h.
9. τε] om. g.
12. δὲ] τε C. om. e.
13. τε] om. d.
15. εἴ που τι] K.
16. ποτε] τε B.g.h.
τὸν] τῶν C.

Ἐπὶ τὸν τρίποδα τὸν ἐν Δελφοῖς] Hanc rem, ut et versus repetiit Demosthenes, κατὰ Νεαίρας, p. 1378. Reisk. Versus, quos Græci tripodi inscripserunt, apud Diodorum L. XI. 33. p. 430. reperiuntur: Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ' ἀνέθηκαν, Δουλοσύνης στυγερᾶς ῥῖσάμενοι πέ-

σαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε,

Ἑλλήνων ἀρχηγὸς, ἐπεὶ στρατὸν ἄλεσε Μήδων,
Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο, καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις, ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα· τοῦ μέντοι Παυσανίου ἀδίκημα καὶ τοῦτ' ἐδόκει εἶναι, καὶ ἐπειδὴ ἐν τούτῳ καθειστήκει, πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ διανοίᾳ. ἐπυνθάνοντο δὲ καὶ ἐς τοὺς Εἵλωτας πράσσειν τι αὐτὸν, καὶ ἦν δὲ οὕτως· ἐλευθερωσίν τε γὰρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἣν ξυνεπαναστῶσι καὶ τὸ πᾶν ξυγκατεργάσωνται. ἀλλ' οὐδ' ὡς οὐδὲ τῶν Εἱλώτων μηνυταῖς τισὶ πιστεύσαντες ἠξίωσαν νεώτερόν τι ποιεῖν ἐς αὐτὸν, χρώμενοι τῷ τρόπῳ ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐτοὺς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς Σπαρτιάτου ἄνευ ἀναμφισβητήτων τεκμηρίων βουλεῦσαί τι ἀνήκεστον, πρίν

ἔλαβον οἱ Ῥωμαίων βασιλεῖς καὶ μετέθηκαν ἐπὶ τὸν ἱπποδρόμων τοῦ Βυζαντίου. 5. Ἐξεκολάψαν] ἐξορύξαντες ἀπήλειψαν. 9. Ἐν τούτῳ] ἐν τῇ κατηγορίᾳ τοῦ Μηδισμοῦ· ἀπηλέγχθη γὰρ μὴ ἐμμένειν τοῖς ἤθεσι τῶν Λακεδαιμονίων. 10. Παρόμοιον] τῷ Μηδισμῷ δηλονότι. Τῇ παρούσῃ διανοίᾳ] λείπει ἡ ἐν. 12. Καὶ ἦν δὲ οὕτω] τὸ δὲ ἀντὶ τοῦ γάρ. 13. Πολιτείαν] αὐτονομίαν. Τὸ πᾶν ξυγκατεργάσωνται] κατὰ τῆς Σπάρτης. ἦγουν τὸν Μηδ-

λιας. ubi vid. Wesseling. Gottl.
2. αὐτὸς ἐπιγράψασθαι e. ἐπιγράψαι αὐτὸς f.
ἐλεῖον C.
3. ἀρχὸς B.g.h.
6. τούτου C.e.
7. συγκαθελοῦσαι f.
ἔστησαν τὸ B.H.K.L.N.O.g. vulgo ἀνεστήσαντο.
9. ἐπειδὴ A.B.F.G.H.K.N.c. f.g.h.i ceteri ἐπεί γε δή.
10. παρόμοιον] προοίμιον e.
ἐφαίνετο] ἐβούλετο C.e.
11. ἐπυνθάνετο P.
πράσσειν τι αὐτὸν καὶ εἰς τοὺς εἵλωτας A. αὐτὸν καὶ εἰς τοὺς εἵλ. πράσσειν τι f.g.h.
15. τισι] om. L.P.
16. ᾧ, omissa περ, L.O.P.
εἰάθεσαν Q.
18. ἀμφισβητήτων K.

γε δὴ αὐτοῖς, ὡς λέγεται, ὁ μέλλων τὰς τελευταίας βασιλεῖ ἐπιστολὰς πρὸς Ἀρτάβαζον κομιεῖν, ἀνὴρ Ἀργίλιος, παιδικὰ ποτὲ ὢν αὐτοῦ καὶ πιστότατος ἐκείνῳ, μηνυτὴς γίγνεται, δείσας κατὰ ἐνθύμησίν τινα, ὅτι οὐδείς πω τῶν πρὸ ἑαυτοῦ ἀγγέλων πάλιν ἀφίκετο, καὶ παραποιησάμενος σφραγῖδα, ἵνα, ἢν ψευσθῇ τῆς δόξης ἡ καὶ ἐκεῖνός τι μεταγράψαι αἰτήσῃ, μὴ ἐπιγνῷ, λύει τὰς ἐπιστολὰς, ἐν αἷς ὑπονοήσας τι τοιοῦτο προσπεστάλθαι καὶ
133. αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν. * τότε δὲ οἱ ἔφοροι, δείξαντος αὐτοῦ τὰ γράμματα, μᾶλλον μὲν ἐπίστευσαν, αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου ἐπὶ Ταίναρον ἱκέτου οἰχομένου, καὶ σκηνησαμένου διπλῆν διαφράγματι καλύβην, ἐς ἣν τῶν τε ἐφόρων ἐντὸς τινας ἔκρυψε, καὶ

σμὸν. 1. Τὰς τελευταίας] θᾶλον ὅτι καὶ ἄλλας ἀπέστειλεν. 2. Ἀνὴρ Ἀργίλιος] τινὲς κύριον, τινὲς ἐθνικὸν, ἀπὸ πόλεως Θρᾴκης· ὅπερ ἄμεινον. 3. Παιδικὰ] τὸ παιδικὰ, ἀξυτόνως. ἀμφότερον πληθυντικόν. τοῦτο δέ τινες ἐπὶ ἀγαθοῦ ἔρωτος, τινὲς δὲ ἐπὶ αἰσχροῦ λαμβάνουσι. παιδικὰ ἀντὶ τοῦ ἐράσματος, ᾧ ἐθάρρει. τὸ γὰρ πιστότατος ὤν. 5. Πάλιν ἀφίκετο] ἐπανῆλθε. Παραποιησάμενος] ἀντὶ τοῦ ὁμοίαν ποιησάμενος ὁ Ἀργίλιος. 7. Ἐκεῖνος] ὁ Παυσανίας. 9. Αὐτὸν εὗρεν] ὡσανεὶ ἔλεγεν, εὗρε τοῦτο ἀληθὲς, ὃ ὑπενόει γεγράφθαι. 12. Ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου] ἀπὸ συνθήματος τοῦ Ἀργιλίου. 14. Καλύβην] σκηνήν.

3. αὐτῷ] f.

4. Ἐνθύμησιν] Observat hanc vocem e Thucydide Pollux II. 231. Idem VIII. 27. scribit, Thucydidem παρασημηνάμενος dicere ἐπὶ τῷ παρατυπώσασθαι τὴν σφραγῖδα. Puto veram esse suspicionem Jungermanni, eum memoriæ vitio labi. Duk.

5. αὐτοῦ L.O.

6. καὶ] om. f.g.

7. τι μεταγράψαι A.B.C.F.G. H.K.L.O.P.Q.e.f.g.h. μεταγράψαι, omisso τι, i. μεταγράψαι τι vulgo.

8. τοιοῦτο A.B.F.H. ceteri τοιοῦτον.

9. τότε B.F.G.H.K.L.N.O. c.d.h.i. vulgo τόδε.

δὲ A.F.G.H.K.c.d.i. vulgo δή. om. N.

10. δείξαντες e.

μὲν] ἂν g.

11. βουλευθέντες A.B.H.c.g.

ἔτι] om. L.O.P.

13. οἰχομένου ἱκέτου f.

σκηνησαμένου P.

14. τε] Delet Poppo.

ἐντὸς] om. N. post ἔκρυψε ponunt c.f.

Παυσανίου ὡς αὐτὸν ἐλθόντος καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς ἱκετείας, ἤσθοντο πάντα σαφῶς, αἰτιωμένου τοῦ ἀνθρώπου τά τε περὶ αὐτοῦ γραφέντα καὶ τἄλλ' ἀποφαίνοντος καθ' ἕκαστον, ὡς οὐδὲν πώποτε αὐτὸν ἐν ταῖς πρὸς βασιλέα διακονίαις παραβάλοιτο, προτιμηθείη δ' ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων ἀποθανεῖν, κἀκείνου αὐτὰ ταῦτα ξυνομολογοῦντος καὶ περὶ τοῦ παρόντος οὐκ ἐῶντος ὀργίζεσθαι, ἀλλὰ πίστιν ἐκ τοῦ ἱεροῦ διδόντος τῆς ἀναστάσεως, καὶ ἀξιοῦντος ὡς τάχιστα πορεύεσθαι καὶ μὴ

5. Διακονίαις παραβάλοιτο] ταῖς ἀγγελίαις ταῖς ἄλλαις διαβάλλει. Παραβάλοιτο] παραβάλλω κατηγορήσειεν, ἢ ὑπόπτως διακονήσειε. Προτιμηθείη] ἐν εἰρωνείᾳ τὸ προτιμηθείη λέλεκται. 6. Τοῖς πολλοῖς] ἀντὶ

1. τὴν πρόφασιν] om. L.

4. οὐδὲ g.h.

5. παραβάλλοιτο B.d.f.g. διαβάλλοιτο Q.

Παραβάλοιτο] Huc quidam putant respexisse Suidam in παραβαλέσθαι· παραβαλέσθαι, τὸ ἐξαπατῆσαι. Θουκυδίδης α'. οὕτω καὶ Ὅμηρος παραβλήδην ἀγορεύειν. Eadem habet Thom. Magister in παραβάλλω, et παραβλήδην, quod est apud Homer. Il. δ'. v. 6. exponit ἀπατητικῶς καὶ παραλογιστικῶς. Sed hoc non placét H. Stephano in Thesauro, qui παραβαλέσθαι hic putat esse *in discrimen conjicere*, ut alibi apud Thucydidem, et alios Scriptores. Budæus quoque in Commentar. pag. 452. non magnopere videtur eam significationem hujus vocis probasse. Tamen etiam Hesych. παραβαλλόμενοι exponit ἐξαπατῶσαι. Et Eustath. in Odyss. α'. pag. 1406. Suidæ explicationem τοῦ παραβαλέσθαι memorans addit, inde παραβαλέταιρος dici pro ὁ ἀπατῶν τοὺς φίλους. Credo Suidam hæc, ut pleraque alia, e vetustioribus Grammaticis descripsisse. Nec sententia loci respuit hanc interpretationem; *se nulla re ipsum decepisse:* quod est, quasi dicat, *se omnia ab eo injuncta cum fide obiisse.* Dukr.

6. αὐτὰ ταῦτα A.B.F.H.K.N. c.f.g.h.i. vulgo αὐτά τε ταῦτα.

8. λογίζεσθαι L.O.

τῆς] om. P.

Ἀναστάσεως] Hoc immerito suspectum est Stephano. Mos supplicum erat καθίζεσθαι ἐπὶ τῆς Ἑστίας. quando aram relinquebant, surrexerunt; et hoc est ἀνάστασιν facere. quo fere sensu Sophocles. Noster infra Cap. 136. ὁ δὲ ἀκούσας ἀνίστησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος. III. 28. ἐπὶ τοὺς βωμοὺς καθίζουσι. Πάχης δ' ΑΝΑΣΤΗΣΑΣ αὐτοὺς, ὅστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς Τένεδον, et alibi: Καθίζουσιν ἐς τὸ Ἡραῖον ἱκέται·—ὁ δὲ δῆμος ΑΝΕΣΤΗΣΙΝ αὐτούς. Wass.

9. ὡς] om. C.L.O.e.

134-135. Cum de Medismo Pausaniæ egisset Auctor, ob argumenti similitudinem ad Themistoclem Atheniensem transit, quem Lacedæmonii eo ipso tempore, quo Pausaniæ proditionem cognoverant, ejusdem criminis apud Athenienses accusarunt. Qui cum Themistoclem,

τὰ πρασσόμενα διακωλύειν. * ἀκούσαντες δὲ ἀκριβῶς τότε μὲν ἀπῆλθον οἱ ἔφοροι, βεβαίως δὲ ἤδη εἰδότες ἐν τῇ πόλει τὴν ξύλληψιν ἐποιοῦντο. λέγεται δ' αὐτὸν μέλλοντα ξυλληφθήσεσθαι ἐν τῇ ὁδῷ, ἐνὸς μὲν τῶν ἐφόρων τὸ πρόσωπον προσιόντος ὡς εἶδε, γνῶναι ἐφ' ᾧ ἐχώρει, ἄλλου δὲ νεύματι ἀφανεῖ χρησαμένου καὶ δηλώσαντος εὐνοίᾳ, πρὸς τὸ ἱερὸν τῆς Χαλκιοίκου χωρῆσαι δρόμῳ καὶ προκαταφυγεῖν· ἦν δὲ ἐγγὺς τὸ τέμενος. καὶ ἐς οἴκημα οὐ μέγα, ὃ ἦν τοῦ ἱεροῦ, ἐσελθών, ἵνα μὴ ὑπαίθριος ταλαιπωροίη, ἡσύχαζεν. οἱ δὲ τὸ παραυτίκα μὲν ὑστέρησαν τῇ διώξει, μετὰ δὲ ταῦτα τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον, καὶ τὰς θύρας, ἔνδον ὄντα τηρήσαντες αὐτὸν καὶ ἀπολαβόντες ἔσω, ἀπῳκοδόμησαν, προσκαθεζόμενοί τε ἐξεπολιόρκησαν λιμῷ. καὶ μέλλοντος αὐτοῦ ἀποψύχειν,

τοῦ τοῖς πᾶσι. 1. Ἀκριβῶς] ἀληθῶς. 3. Ἐποιοῦντο] ἔμελλον ποιήσειν, ποιῆσαι ἐβούλοντο. Αὐτὸν] τὸν Παυσανίαν. 5. Ἐφ' ᾧ] οὗ χάριν. Ἄλλου δὲ] Ἐφόρου δηλονότι, ἀφανῶς νεύσαντος, ὅστις ἦν φίλος τῷ Παυσανίᾳ. 7. Χωρῆσαι δρόμῳ] λέγεται τὸν Παυσανίαν. 8. Ἐς οἴκημα οὐ μέγα] φασὶ γάρ, ὅτι, ἡνίκα ἔφραξαν κατ' αὐτοῦ τὸ οἴκημα, ἡ μήτηρ αὐτοῦ Ἀλκιθέα πρώτη λίθον ἐτέθηκε· τοιαῦται γὰρ αἱ Λακωνικαὶ γυναῖκες. τεκμήριον δὲ τοῦτο τοῦ μισοτυράννους εἶναι τοὺς Λάκωνας. 10. Τὸ παραυτίκα] ἤγουν κατὰ τὸ ἐνεστός. Ὑστέρησαν] ἐβράδυναν. 12. Ἔνδον ὄντα τηρήσαντες] ἐξῆει γὰρ εἰς τὸ ἱερὸν πολλάκις. 13. Ἀπολαβόντες ἔσω] μονήσαντες, περιελῤαντες. Ἀπῳκοδόμησαν] τειχίσαντες τὰς θύρας ἀπέφραξαν. 14. Ἐξεπολιόρκησαν λιμῷ] ἵνα δῆθεν μὴ ἀσεβήσωσιν. Ἑτέρῳ δὲ τρόπῳ ἠσέ-

1. τὰ] om. C.L.O.P.f.g.
κωλύειν f.
5. ἴδε K.
7. προκαταφυγεῖν λέγεται δηλονότι ἦν K.
8. τὸ] om. P.
9. ὑπαίθριον f.
ταλαιπωροῖτο f.
10. ὑστέρησαν P.
11. ὄρον A.B.
Ὄροφον] Quasi Glossam ex Nostro adducit Pollux VII. 120. sed pro calami aquatilis genere apud Homerum invenitur. Vid. Eustath. p. 1495. Apud Nostrum alibi ὀροφή, Herodoto στέγη placuit. ὄροφος habes in Aristoph. Lysistr. v. 2. 9. ὀροφὴ Vesp. 1210. Wass.
13. Ἀπολαβόντες ἔσω] Perperam Thom. Magister in ἔσω, Θουκυδίδης ἐν πρώτῃ· ἐντὸς αὐτὸν ἀπολαβόντες. Dux.
προκαθεζόμενοί τε ἐπολιόρκησαν g.
14. ἀποψύχειν C.
Ἀποψύχειν] Agn. Suidas h. v. Wass.

ὥσπερ εἶχεν, ἐν τῷ οἰκήματι, αἰσθόμεναί τε ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα, καὶ ἐξαχθεὶς ἀπέθανε παραχρῆμα. καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν, οὗπερ τοὺς κακούργους, ἐμβάλλειν· ἔπειτα ἔδοξε πλησίον που κατορύξαι. ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς τόν τε τάφον ὕστερον ἔχρησε τοῖς Λακεδαιμονίοις μετενεγκεῖν οὗπερ ἀπέθανε (καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι, ὃ γραφῇ στῆλαι δηλοῦσι,) καὶ ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ ἀποδοῦναι. οἱ δὲ ποιη-

tum temporis ostracismo exsulem, persequerentur,

βησαν, ἐν ἱερῷ αὐτὸν πολιορκήσαντες. 3. Ἐμέλησαν] εἰς δύο ἕτερον. Ἐς τὸν Κεάδαν] ἐμβαλεῖν δηλονότι. τόπος ὁ Κεάδας ὀρωρυγμένος ἐν Λακωνικῇ, ὅπου τοὺς κακούργους εἰώθασι ῥίπτειν. 4. Πλησίον που] τοῦ Κεάδου. 5. Ὁ ἐν Δελφοῖς] ὁ Ἀπόλλων. Τόν τε τάφον] τὸ σῶμα. 7. Ἐν τῷ προτεμενίσματι] ἐν τῷ προνηλαίῳ. 8. Δύο σώματα] τουτέστι δύο Ἔφορους

1. ὡς, omissa περ, c.f.
εἶχεν A.B.F.
αἰσθόμενοί τε ἐξάγουσιν A.B. C.F.H.K.N.Q.g. αἰσθόμενοί τι ἐξάγουσιν h. vulgo αἰσθόμενοι ἐξάγουσιν.

3. ἐμέλισαν e.

Ἐς τὸν Καιάδαν] Καιάδας sive Κεάδας (nam utroque modo scribitur) id ipsum fuit, quod Graecorum aliis Καίετον vel Καιετὸς, *locus effossus*, vel *terræ dehiscentis ruptura*. Hujusmodi rupturæ quum frequentes fuerint in agro Laconico, sunt qui Lacedæmona inde ab Homero (Il. β'. v. 581.) καιετάεσσαν (non ut vulgo scribitur κητάεσσαν dici statuunt. Sc. ὅτι οἱ ἀπὸ τῶν σεισμῶν ῥωχμοὶ (ut ait Strabo) καιετοὶ λέγονται. Vide Strabonem, l. 8. p. 367. Ed. Par. et Eustath. ad Homeri Odyss. δ'. v. 1. Huds. De voce Κεάδας vid. Paul. Leopard. XIII. Emendat. 14. et Meursii Miscellanea Laconica III. 7. Wass. Non solum Καιάδας, et Κεάδας, verum etiam Καιάτας et Καιέτας scribitur. Vid. quos laudant Leopard. et Meursius. Suidam in βάραθρον, Κεάδας, et Καιάδας, Eustath. in Il. β'. p. 294. Casaub. ad Strab. III. 233. et VIII. 367. et Bochart. Hieroz. I. 3. 13. Quod autem Leopard. apud Ammonium in βάραθρον, pro εἰς τὸν Κεάδα emendat εἰς τὸν Καιάδαν, id propius ad scripturam vulgatam corrigi poterat εἰς τὸν Κεάδαν. Schol. Cassell. hic quoque Κεάδας, non Καιάδας, ut editus. Duk.

καιάδαν A.B.b.c.d.e.f.g. χαιάδαν h. κεάδαν reliqui.

4. ἐμβάλλειν] εἰώθασιν ἐμβάλλειν G.K.d. εἰώθεσαν ἐμβάλλειν F. H.c.f. ἐμβάλλειν εἰώθασιν L.O. ἐσβάλλειν εἰώθασιν C.J.P. ἐμβάλλειν B.g. inter versus posito ille εἰώθεσαν, hic εἰώθασιν: vulgo ἐμβάλλειν εἰώθεσαν.

7. προτενίσματι B.

9. ἀνθ' ἑνὸς] om. N.

σάμενοι χαλκοῦς ἀνδριάντας δύο ὡς ἀντὶ Παυσανίου ἀνέ-
135. θεσαν. * οἱ δὲ Ἀθηναῖοι, ὡς καὶ τοῦ θεοῦ ἄγος κρίναντος, ἀντεπέταξαν τοῖς Λακεδαιμονίοις ἐλαύνειν αὐτό.

Τοῦ δὲ Μηδισμοῦ τοῦ Παυσανίου Λακεδαιμόνιοι, πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους, ζυνεπῃτιῶντο καὶ τὸν Θεμιστοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων, ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. οἱ δὲ πεισθέντες (ἔτυχε γὰρ ὠστρακισμένος, καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον) πέμπουσι μετὰ τῶν Λακεδαιμονίων, ἑτοίμων ὄντων ζυνδιώκειν, ἄνδρας οἷς εἴρητο ἄγειν ὅπου ἂν περιτύχωσιν.

136. ille iis evasit, ex Peloponneso Corcyram, inde ad Molossorum

* ὁ δὲ Θεμιστοκλῆς προαισθόμενος φεύγει ἐκ Πελοποννήσου ἐς Κέρκυραν, ὧν αὐτῶν εὐεργέτης. δεδιέναι δὲ φασκόντων Κερκυραίων ἔχειν αὐτὸν ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν

ἀπεθανεῖν ἀντ' αὐτοῦ· οἱ δὲ ἐσοφίσαντο τοὺς ἀνδριάντας. Ἄλλως. ἄνθ' ἑνὸς σώματος τοῦ Παυσανίου δύο στήλας τοῦ Παυσανίου ἀνέθηκαν. 4. Τοῦ δὲ Μηδισμοῦ τοῦ Παυσανίου] παρέκβασις, διὰ τὸ ἀκόλουθα εἶναι ταῦτα τῷ κατὰ Παυσανίαν· οὐδὲν γὰρ ταῦτα πρὸς τὸ ἄγος συμβάλλεται. 8. Ὠστρακισμένος] διὰ τὸ φρόνημα, ὃ εἶχεν Θεμιστοκλῆς περὶ τῆς Σαλαμῖνος, ἐξωστρακίσθη ὑπὸ Ἀθηναίων, ἵνα τὸ φρόνημα αὐτοῦ καθέλωσιν. 11. Οἷς εἴρητο] ἐνετέταλτο. 13. Αὐτῶν εὐεργέτης] ἐπειδὴ γὰρ οὐ συνεμάχησαν οἱ Κερκυραῖοι τῇ Ἑλλάδι κατὰ τοῦ βαρβάρου, ἀλλὰ ἐσοφίσαντο, ἔβελλον αὐτοὺς ἀνελεῖν οἱ πολεμήσαντες· ὁ δὲ Θεμιστοκλῆς ἐκώλυσε, λέγων ὅτι, εἰ τοῦτο γένηται καὶ τὰς μὴ συμμαχησάσας πόλεις ἀνέλωμεν, μεῖζον πάθος ἔσται τῇ Ἑλλάδι ἢπερ ὁ Πέρσης αὐτῆς κυριεύσας ἐπεξῆλθε. καὶ διὰ τοῦτο ἦν εὐεργέτης αὐτοῖς. 15. Ἀπέχθεσθαι] ἐχθροὺς γενέσθαι. Διακομίζεται] ἄγεται. Ἐς τὴν ἤπειρον τὴν καταν-

4. οἱ λακεδαιμόνιοι C.L.O.P.e.
6. τῶν παυσανίου C.e.
7. τε om. e.
τοῖς om. I.L.O,P.c.e.
αὐτοὺς I.L,O.P.
8. Ἔτυχε γὰρ ὠστρακισμ.] De Ostracismo vide Plutarchi Aristiden, Diodorum Siculum, l. XI. et Meursii Attic. Lect. l. 5. c. 13. HUDS. Vid. Diodorum p. 269. d. Plutarch. Apophth. 185. WASS.
11. ξυνδιώξειν c.
ὅπου] ἔνθα g.
περιτέτμωσιν P.
13. φασκόντων κερκυραίων A.B. F.H.L.N.c.d.e.f.g.h.i. vulgo φασκόντων τῶν κερκυραίων.
14. ὥστε ἔχειν αὐτὸν e.
15. ἀπέχεσθαι d.
διακομίζεσθαι B.

ἤπειρον τὴν καταντικρύ. καὶ διωκόμενος ὑπὸ τῶν προστεταγμένων κατὰ πύστιν ἣ χωροίη, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον τὸν Μολοσσῶν βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν, ὁ δὲ τῆς γυναικὸς ἱκέτης γενόμενος διδάσκεται ὑπ' αὐτῆς τὸν παῖδα σφῶν λαβὼν καθίζεσθαι ἐπὶ τὴν ἑστίαν. καὶ ἐλθόντος οὐ πολὺ ὕστερον τοῦ Ἀδμήτου δηλοῖ τε ὅς ἐστι, καὶ οὐκ ἀξιοῖ, εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ, φεύγοντα τιμωρεῖσθαι· καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ ἀσθενεστέρου ἐν τῷ παρόντι κακῶς πάσχειν, γενναῖον δὲ εἶναι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρ-

regem Admetum fugiens, et ab eo fideliter servatus.

τικρὺ] τὴν Θεσπρωτίδα. 2. Πύστιν] φήμην. 4. Οὐ φίλον] πέμψαντος γάρ ποτε Ἀδμήτου Ἀθήναζε περὶ συμμαχίας αἰτήσεως, ὁ Θεμιστοκλῆς ἀνέπεισε τὴν πόλιν μὴ δοῦναι αὐτῷ βοήθειαν· καὶ διὰ τοῦτο οὐκ ἦν αὐτῷ φίλος. Καταλῦσαι] καταλῦσαι μὲν κυρίως ἐπὶ τῶν ὀχουμένων ἐπὶ ἅρματος, κατάγειν δὲ ἐπὶ νεός. 6. Ἐπὶ τὴν ἑστίαν] ἔνθα τὸ πῦρ ἀνάπτεται εἰς τιμὴν θεοῦ τινός. 8. Οὐκ ἀξιοῖ] οὐκ ἄξιον νομίζει εἶναι τῷ Ἀδμήτου. Αὐτὸς] ὁ Θεμιστοκλῆς. Αὐτῷ] τῷ Ἀδμήτῳ. 9. Τπ' ἐκείνου] τοῦ Ἀδμήτου, τὸ δὲ ἑξῆς· ὑπὸ πολλῷ ἐκείνου ἀσθενεστέρου. πᾶς γὰρ ὁ τυχὼν τὸν δυστυχοῦντα

1. *προτεταγμένων* c.

2. ἣ A.B.C.F.G.H.I.K.N.P. Q.c.d.e.f.g.h.i. vulgo οἵ.

ἀναγκάζεται] om. d.

3. *τὸν*] *τῶν* K.g.

4. *Καταλῦσαι*] Suidas h. v. agn. scholia, more suo furtim sublegens, omissa voce *κυρίως*. Etymol. minus accurate *καταλύω, τελῶ τὴν ὁδόν*. Glossæ, *καταλύω εἰς πανδοχεῖον* deverto. Vid. Pollucem I. 73. Wass.

6. *καθέζεσθαι* d.

Καθίζεσθαι ἐπὶ τὴν ἑστίαν] Hoc non erat tam *sedere ad focum* (ut nonnulli putant) quam *hærere illi aræ* vel *lari*, quod ad focum excitari solitum erat, ubi jus esset *ἀσυλίας*, id est, *unde avelli nefas esset*. Nam et *καθίζεσθαι* Hesychius explicat *προσάπτεσθαι, arripere, tenere*, ut solebant, qui ad aras confugiebant. Vide Casauboni Animadvers. in Dionysium Halicarnasseum, l. 8. p. 481. Huds. Scriptura librorum, qui habent *ἐπὶ τῆς ἑστίας*, defendi potest auctoritate Dionys. Halic. l. d. *ἱκέτης τοῦ ἀνδρὸς γίνεται καθεζόμενος ἐπὶ τῆς ἑστίας*. Nam videri potest hæc scribens ante oculos habuisse verba Thucydidis. Admetum inimicum fuisse Themistocli etiam Aristides scribit Tom. III. p. 385. Dux.

τῆς ἑστίας I.Q.P.

8. *τι*] om. c.

ἀθηναίων δεομένων F.O. *δεομένῳ ἀθηναίων* g.

9. *καὶ*] *οὐ* d.

10. *ἀσθενέστερον* g. cum Tusano.

εἶσθαι. καὶ ἅμα αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς, καὶ οὐκ ἐς τὸ σῶμα σώζεσθαι, ἐναντιωθῆναι· ἐκεῖνον δ' ἂν, εἰ ἐκδοίη αὐτὸν (εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται,) σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι. ὁ δὲ ἀκούσας ἀνίστησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος, ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο, καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο. * καὶ ὕστερον οὐ πολλῷ τοῖς Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι καὶ πολλὰ εἰποῦσιν οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει, βουλόμενον ὡς βασιλέα πορευθῆναι, ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ ἐς Πύδναν τὴν Ἀλεξάνδρου. ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης ἐπ' Ἰωνίας καὶ ἐπιβὰς καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων στρατόπεδον, ἃ ἐπολιόρκει Νάξον. καὶ (ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηῒ) δείσας φράζει τῷ ναυκλήρῳ ὅστις ἐστι καὶ δι' ἃ φεύγει, καὶ εἰ μὴ

137. Hinc terra Pydnam profectus, in Asiam ad regem transiturus, navem conscendit, et vitato aegre periculo ad Naxum, quo tempestate actus erat, in Atheniensium manus incidendi,

δύναται τιμωρεῖσθαι. 1. Αὐτὸς] ὁ Θεμιστοκλῆς. Ἐκείνῳ] τῷ Ἀδμήτῳ. Χρείας τινὸς] ἕξωθεν, καὶ οὐχὶ περὶ ζωῆς καὶ θανάτου. 2. Ἐκεῖνον] τὸν Ἄδμητον. 3. Αὐτὸν] τὸν Θεμιστοκλέα. Ἐφ' ᾧ] οὗ ἕνεκα. 4. Ἀποστερῆσαι] ἀπὸ κοινοῦ τὸ οὐκ ἀξιοῖ. 5. Ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο] αὐτῷ τῷ σχήματι. 8. Πολλὰ εἰποῦσιν] ἀντὶ τοῦ ἀπειλήσασιν. 10. Ἐς Πύδναν] ἕως τῆς Πύδνας. Τὴν Ἀλεξάνδρου] πόλιν δηλονότι, τοῦ φιλέλληνος. 11. Καταφέρεται—ἐς τὸ Ἀθηναίων στρατόπεδον] ἄλλο δυστύχημα τοῦ Θεμιστοκλέους. 12. Ἐπολιόρκει Νάξον] διὰ τὴν ἀποστασίαν αὐτῆς. 14. Καὶ δι' ἃ φεύγει] ὅτι καὶ αὐτὸν φησὶ· συνειδὼς ἑαυτῷ προδοσίᾳ φεύγειν τὸν Θεμι-

1. καὶ θεμιστοκλῆς ἅμα A.B.F. g.h.

3. καὶ ἐφ' ᾧ] om. e.

5. αὐτοῦ K.d.
παιδὸς d.i.

6. Μέγιστον ἦν ἱκέτευμα] Apud Molossos scilicet, ut Plutarch. Themist. Duk.

7. τοῖς λακεδαιμονίοις A.B.F. H.K.N.c.f.g.h.i. τοῖς τε λακεδαιμονίοις ceteri.

8. εἰποῦσι πολλὰ g.
ἐνδίδωσιν Q. δίδωσιν b.

9. Ἑτέραν θάλασσαν] Ita et Plutarch. Vit. 124. qui ἑαυτὸν ait ostendisse τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ hunc citans locum, neque discrepant Codices. vid. Diodor. p. 270. d. Wass. In Plutarch. l. d. μέχρις οὗ ἀναδείξειεν εἰς Νάξον ἑαυτὸν τῷ τ. ν. κ. τ. κ. verba illa εἰς Νάξον nullum bonum sensum habent. Videntur irrepsisse e præcedentibus, τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης. Et Interpretes in versione Latina ea non expresserunt. Duk.

11. Ἰωνίαν G.
καὶ] om. P.

14. ὃς, omisso τις, g.
εἰ] om. P.

σώσει αὐτὸν, ἔφη ἐρεῖν ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· venit Ephesum, unde litteras regi Artaxerxi misit.
τὴν δὲ ἀσφάλειαν εἶναι μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς, μέχρι πλοῦς γένηται· πειθομένῳ δ' αὐτῷ χάριν ἀπομνήσεσθαι ἀξίαν. ὁ δὲ ναύκληρος ποιεῖ τε ταῦτα, καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ στρατοπέδου ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον. καὶ ὁ Θεμιστοκλῆς ἐκείνου τε ἐθεράπευσε χρημάτων δόσει (ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων, καὶ ἐξ Ἄργους ἃ ὑπεξέκειτο,) καὶ μετὰ τῶν κάτω Περσῶν τινὸς πορευθεὶς ἄνω ἐσπέμπει γράμματα ὡς βασιλέα Ἀρτοξέρξην τὸν Ξέρξου,

στικλέα. 3. Ἀπομνήσεσθαι] ἀποδοῦναι μνησθέντα. 4. Ἀποσαλεύσας]

1. σώσει f.

3. πειθομένου c.

ἀπομνήσασθαι d. ἀμείψω μνήσασθαι e. μνημονεύσαντα ἀποδοῦναι K.

4. ποιεῖ τε F.H.I.K.L.O.P. Q. g. ceteri ποιεῖται.

Ἀποσαλεύσας] Habet Suidas et Schol. exscripsit. ἐπιτηρήσας exponunt Hesych. Etymol. et Phavorinus. Glossæ, ἀποσαλεύω, *amoveo*, vid. Pollucem I. 103. Demosthenes, ἀποσαλεύειν ἐκ' ἀγκύρᾳ. Diodor. XX. Τὰς ἀγκύρας ἀφέντες, ὡς ἂν δυσὶ σταδίοις ἀπὸ τῆς γῆς ἀποσαλεύειν. absolute, uti noster, Aristot. Hist. An. et Dio, et Dion. Halicarn. VII. 37. Simile quid, et ad hoc exemplum fecit apud Appian. Civ. IV. p. 617. Rebulus. Wass. Add. Steph. Thesaur. Corn. Nepos vertit: *procul ab insula in salo navem tenuit in ancoris.* Quod in Gloss. exponitur *amoveo*, fortassis κατ' ἔλλειψιν dictum est, pro *amoveo a portu.* Duk.

7. ὕστερον αὐτῷ K.

8. ὑπερεξέκειτο K.

10. ὡς G.g. πρὸς C.L.O.P.e. vulgo εἰς.

10. ἀρτοξέρξην A.B.C. ceteri ἀρταξέρξην. Sic infra 4, 50. c. et 8, 5. C.

Ἀρταξέρξην τὸν Ξέρξου] Sic quoque Nepos, Plutarchus, et alii apud eum. Item Cicero X. ad Attic. 8. Diodorus tamen, et eo antiquiores quidam, quos memorat Plutarchus, ad Xerxem venisse tradiderunt. Hos sequitur Petav. Ration. Temp. I. 3. 6. II. 3. 10. et X. de Doctrin. Temp. 26. Sed vid. quæ adversus hanc sententiam adcuratissime disputat *van Alphen* Part. III. cap. 6. Commentar. in Danielis Cap. IX. Unum hoc addo; si quidquam veri est in eo, quod de hac epistola, a Themistocle ad Regem Persarum scripta, prodit Thucydides, non potuisse eum ad Xerxem venisse; nam hoc non patiuntur verba illa, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ ἀνάγκη ἡμυνόμην. Thucydidem autem hoc de suo commentum esse, non facile cuiquam erit ostendere. Duk.

νεωστὶ βασιλεύοντα. ἐδήλου δ' ἡ γραφὴ ὅτι " Θεμιστο-
" κλῆς ἥκω παρὰ σέ, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων
" εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πα-
" τέρα ἐπιόντα ἐμοὶ ἀνάγκη ἠμυνόμην, πολὺ δ' ἔτι πλείω
" ἀγαθὰ, ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν
" ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. καί μοι εὐ-
" εργεσία ὀφείλεται," (γράψας τὴν ἐκ Σαλαμῖνος προ-
άγγελσιν τῆς ἀναχωρήσεως, καὶ τὴν τῶν γεφυρῶν, ἣν

ἀποφυγὼν ἐκ τοῦ λιμένος καὶ σάλῳ ὁμιλήσας, τουτέστι τῷ ἀλιμένῳ τόπῳ, ἔνθα σάλος γίνεται. 1. Θεμιστοκλῆς ἥκω] λείπει ἐν τοῖς τοιούτοις ἡ ὧν μετοχὴ, ὃν ᾖ, Θεμιστοκλῆς ὤν. καὶ, ἥκω Διὸς παῖς ὤν. (Eurip. Bacch. 1.) 4. Πλείω ἀγαθὰ] εἴργασμαι δηλονότι. 5. Ἐν τῷ ἀσφαλεῖ μὲν] τὰ πράγματα ἦσαν δηλονότι. Ἐν ἐπικινδύνῳ] τὰ πράγματα ἦσαν. 6. Ἡ ἀποκομιδὴ] ἡ ὑποστροφή. Εὐεργεσία] ἀντίχαρις. 8. Τὴν τῶν γεφυρῶν—οὐ διάλυσιν] ταῦτα κεῖται παρ' Ἡροδότῳ (8, 110.) ἀκολούθως, ὡς ἐπράχθη.

1. *βασιλεύσαντα* h.

Θεμιστοκλῆς ἥκω παρά σε] Ita legit Priscianus 1071. apud quem licentiæ hujus exempla prostant. Confer Plutarch. in Themist. 125. Ed. Francof. qui hunc locum diligenter expendit. Æm. Probum in Themist. Hæc fere verba usurpat Libanius Demosth. Apolog. 463. Wass. Priscianus dicit, Græcos solita licentia utentes verbis primæ et secundæ personæ conjungere nomina, quum tamen nomina tertiæ personæ sint, eamque licentiam etiam Latinos imitari. At quomodo in his loquendi generibus nomina possunt dici tertiæ personæ esse, quum ipse tradat in his omnibus deesse *Ego?* Vid. Sanct. Minerv. in Ellipsi v. Ens, et Periz. ad Sanct. I. 12. 2. Idem supplementum in Græcis locum habet, ut hic Scholiastes. Duk.

2. *Ὃς κακὰ* etc.] Vid. Herald. I. Adver. 9. *Οἶκον* pro *regno*, vel *regia*, hic et apud alios Græcos dici docet Casaubon. Excitat. XIII. ad Baron. C. III. Corn. Nepos in Themist. *ἐς τὸν ὑμέτερον οἶκον* vertit, *in domum tuam.* Duk.

σοὶ g.

ἑλλήνων] om. Q. *τῶν ἑλλήνων* K.

4. *δέ τι* L.O.

5. *δὲ ἐπὶ κινδύνῳ* K.

6. *ἐγένετο* K.c.

7. *γράψαντι* Q.

τὴν ἐκ A.B.F.H.K.c.g. vulgo *τήν τε ἐκ.*

8. *τὴν*] om. g.

τὴν τῶν γεφυρῶν—οὐ διάλυσιν] Thucydides et ejus exemplo alii sæpe particulam negativam præponunt substantivis. Sic *ἡ οὐ περιτείχισις*, quod e Thucydide adfert Eustath. ad Homer. Il. α'. p. 111. pro *τὸ ἀτείχιστον*, ut ille dicit. Rurs. Thucyd. V. 50. *ἡ οὐκ ἐξουσία τῆς ἀγωνίσεως*, quod Schol. exponit *τὸ μὴ ἐξεῖναι ἀγωνίζεσθαι.* Et Euripid. Hippol. v. 196. *οὐκ ἀπόδειξις.* Hæc et plura hujus generis adnotarunt

ψευδῶς προσεποιήσατο, τότε δι' αὐτὸν οὐ διάλυσιν) " καὶ
" ὧν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι πάρειμι, διωκό-
" μενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν. βούλομαι
" δ' ἐνιαυτὸν ἐπισχὼν αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι."
5 * Βασιλεὺς δὲ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διά- 138.
νοιαν, καὶ ἐκέλευε ποιεῖν οὕτως. ὁ δ' ἐν τῷ χρόνῳ, ὃν
ἐπέσχε, τῆς Περσίδος γλώσσης ὅσα ἠδύνατο κατενόησε
καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας· ἀφικόμενος δὲ μετὰ
τὸν ἐνιαυτὸν γίγνεται παρ' αὐτῷ μέγας καὶ ὅσος οὐδεὶς
10 πω Ἑλλήνων διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν καὶ τοῦ
Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν, μάλιστα
δὲ ἀπὸ τοῦ πεῖραν διδοὺς ξυνετὸς φαίνεσθαι. ἦν γάρ ὁ

Quas cum rex benigne excepisset, sequenti anno ipse regem convenit. De Themistoclis ingenio excellenti Thucydidis judicium. Mortuus est morbo. Re-

1. Δι' αὐτὸν] τὸν Πέρσην. 5. Ἐθαύμασε] ὅτι εἶπεν ἐπειδὴ ἴσχυσε μηχανῇ τινὶ σῶσαι τὸν πατέρα αὐτοῦ. Τὴν διάνοιαν] τὴν γνῶσιν. 6. Ὃν ἐπέσχε] ἐσκόπει γὰρ, εἴπως αὐτὸν ἐν τῷ μεταξὺ ἀνακαλέσοιντο οἱ Ἀθηναῖοι. Ὃν ἐπέσχεν] ἑαυτὸν δηλονότι. 8. τῶν ἐπιτηδευμάτων] τῶν ἐθῶν. 9. Παρ' αὐτῷ] τῷ Πέρσῃ. Ὅσος οὐδείς πω Ἑλλήνων] Ἰστιαῖος καὶ Ἰπτίας καὶ Δημάρατος καὶ ἄλλοι. 10. Τοῦ Ἑλληνικοῦ] ἔθνους δηλονότι. 11. Ὑπετίθει αὐτῷ] ὑπέβαλλε τῷ Πέρσῃ. 12. Διδοὺς] ἀντὶ τοῦ διδόναι. Ἦν γάρ ὁ Θεμι-

Scaliger ad Catull. Carm. LXV. v. 83. Casaubon. ad Dionys. Halic. X. 669. et Henr. Steph. ad Corinth. de Dialect. Art. XL. Sed quod ibi e Thucyd. III. 10. tamquam exemplum hujus Atticismi proponit Corinthus, ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει, id ἀπροσδιόνυσον est: etsi hoc etiam in hanc sententiam laudat e Corintho Ach. Statius Observat. Cap. 19. Vid de hoc genere loquendi etiam Dion. Halicarn. p. 134. Duk.

1. προσεποιεῖτο I.
οὐ] om. d.
2. ἔχω Q.
σοι c.
πάρειμι] παρὰ μήδων d.i.

5. Βασιλεὺς δὲ] Hæc diffusius, et paulo etiam aliter, narrat Diodor. p. 271. c. d. v. et Plutarch. Themist. p. 125. Γλώσσης, non γλώττης, Noster, Æschylus, Sophocles, Euripides. Wass. Vid. ad Cap. 128. Duk.

ὡς] om. i.
6. ἐκέλευε A.B.C.F.G.H.c.g.h.
7. τῆς περσίδος A.B.F.G.K.N. c.d.e.f.g.h.i. vulgo τῆς τε περσίδος. γλώττης L.O.P.
8. δὲ] om. P.
9. τὸν] om. e.
10. πω] τῶν K.
ἑλλήνων—τοῦ] om. g.
τε] om. C.e.
11. ἐπετίθει c.
12. γὰρ δὴ ὁ.
Ἦν γὰρ ὁ Θ. — δηλώσας]

gis beneficia in eum collata.

Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαθών, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής. καὶ ἃ μὲν μετὰ χεῖρας ἔσχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο. τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα. καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει μελέτης δὲ βραχύτητι κράτιστος δὴ

στοκλῆς] ἐγκώμιον Θεμιστοκλέους. Τοὺς μακροὺς ἐπαίνους ἐν τούτοις ἀνέτρεψας, Θουκυδίδη, ἄφρονος ἔργον ἀνδρὸς δεδρακέναι δείξας. εἰ γὰρ τὸ μέλλον, ὡς ἔφης, προέβλεπεν ὁ Θεμιστοκλῆς, πῶς, ἃ μὴ ἦν δυνατὸς τελέσαι, ὑπέσχετο, μὴ προγνοὺς ὡς ἡ τῶν Ἑλλήνων ἰσχὺς ἀκαταγώνιστος ἦν ἐκ τῶν προλαβόντων. 1. Φύσεως] τῆς κοινῆς τῶν ἀνθρώπων, ὅσον δύναται. 2. Ἐς αὐτὸ] εἰς τὴν ἰσχὺν τῆς φύσεως. Θαυμάσαι] ἀντὶ τοῦ θαυμασθῆναι. 3. Οἰκείᾳ] φυσικῇ. Ξυνέσει] ἄνευ μαθήσεως τὴν ξύνεσιν. Καὶ οὔτε προμαθὼν] οὔτε ἀπὸ προμαθήσεως ἀγαγών τι ἐς αὐτὴν, ἤτοι τὴν ἰσχὺν τῆς φύσεως. 4. Τῶν τε παραχρῆμα] τῶν παραπιπτόντων. 5. Γνώμων] κριτής. Ἐπὶ πλεῖστον] καλῶς τὸ ἐπὶ πλεῖστον· θεοῦ γὰρ μόνου τὸ πάντα εἰδέναι. 7. Οἷς τε] ἦν δηλονότι. Ὧν δ' ἄπειρος] ἂν δ' ἄπειρος εἴη, οὐκ ἀπήλλακτο κρῖναι ἱκανῶς. οἷον καὶ ἐν τούτοις τοῖς ἀγνώστοις οὐ διημάρτανε τῆς κρίσεως, ὡς ἔδηλωσε καὶ ἐπὶ τῶν νεῶν τῆς κτίσεως καὶ ἐπὶ τῆς Σαλαμῖνος καὶ ἀλλαχοῦ. 8. Τό τε ἄμεινον ἢ χεῖρον] τὸ συνοῖσον ἢ τὸ βλαπτικόν. 9. Μάλιστα] τῶν ἄλλων

Schol. in Hermogenem inepte γὰρ δὴ Θ. hinc ergo emendandus est. Eadem ad θαυμάσαι adducit Dion. Halic. p. 133. (794.) et p. 136. (807.) ad ἐγένετο, ubi exemplaria ejus μάλιστα omittunt, et ἐπὶ πλεῖστον divisim exhibent. Wass. Dion. Halic. hoc totum ab ἦν γὰρ, usque ad τὰ δέοντα ἐγένετο, proponit tamquam exemplum tortuosæ, implicatæ, et explicatu difficilis enthymematum constructionis. Duk.

2. ἐς—προμαθὼν] om. L.O.
αὐτὸν I.e.
4. τῶν μὲν παρόντων Cic. ad Attic. 10, 8.
5. γνώμῃ e.
καὶ τῶν] τῶν δὲ Cic.
μενόντων I.
6. τοῦ γενησομένου] margo d.i.
7. ἔχει K.P.
εἴη κρῖναι] ἐπικρῖναι Dionysius.
8. τὸ ἄμεινον καὶ τὸ χεῖρον Cic.
9. μάλιστα] om. Dionys.

οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. νοσήσας δὲ τελευτᾷ τὸν βίον· λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτὸν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνη-

δησίᾳ. 1. Αὐτοσχεδιάζειν] ἑτοίμως λέγειν. 2. Φαρμάκῳ ἀποθανεῖν

2. Φαρμάκῳ] Cum Scholiaste Diodor. p. 272. a. Vid. ibi ejus elogium. Euseb. ad Olymp. LXXVIII. Wass. In Diodor. nihil est, unde intelligi possit, eum pro vero habuisse id, quod de sanguine taurino a Themistocle hausto circumferebatur. Nam quum primum dixisset, *καὶ τελευτήσας ἐν τῇ Μαγνησίᾳ*—mox addit, *ἔνιοι δὲ τῶν συγγραφέων φασὶ*, ut hic Thucydides. Cicero in Bruto Cap. 11. a Clitarcho et Stratocle fictum putat. *Hanc enim mortem*, inquit, *rhetorice et tragice ornare potuerunt: illa mors vulgaris nullam præbebat materiam ad ornatum.* Symmachus, vetus Interpres Aristophanis fabulam e male intellectis Sophoclis versibus in Helena ortam dicit apud Schol. Aristoph. Equit. v. 84. vid. ibi Kuster. Duk.

4. Μνημεῖον] Pro *μνῆμα* agnoscit Pollux IX. 15. ut huic peculiare. illud passim apud Demosth. Xenoph. Pausan. Plutarch. et ipsummet Herodotum VII. 167. qui et *μνημήϊον* pro memoriali posuit I. 26. Sic enim ibi ex Baroc. Ms. legendum, uti et Sophocl. Elect. 938. Nam figurate loquitur Isocrates, non proprie, quando in Orat. in Philip. dicit, *τρόπαιον μὲν τῶν Βαρβάρων, μνημεῖον δὲ τῆς ἀρετῆς αὐτῶν.* hoc sensu imagines apud Dion. Halic. Antiq. VIII. 59. et etiam *μνῆμαι* audiunt. Hinc fortasse decepti Suidas in voce *μνημεῖον*, et Eustath. ad Il. ζ'. Hæc de profanis vera aut veris proxima; de Ecclesiasticis alia res est. Noster illa Poëtæ ob oculos habuit *Πατρόκλοιο τάφου* ΜΝΗΜ' *ἔμμεναι*. Quod ad Pollucem adtinet, habes *τελιώνδριον* Strabonis IX. 4. *ἡρῶον* Pausan. II. 17. Wass. Pollux solum inter probatos auctores Thucydidem *μνημεῖον* pro *μνῆμα* dixisse adseverat; et Ammonius discrimen statuit inter *μνῆμα* et *μνημεῖον*· nam *μνῆμα*, inquit, est *τάφος*, *μνημεῖον* est *μνημόσυνον*. Hoc discrimen etiam Eustathius ad Homerum non uno loco adnotat; et tamen, quemadmodum *μνῆμα* etiam idem significat quod *μνημόσυνον*, sic itidem *μνημεῖον* pro *μνῆμα* apud *τοὺς μεθ' Ὅμηρον* dici auctor est. Vid. in Il. ζ'. p. 634. et Il. λ'. p. 1673. Salmasius quoque ad Solin. pag. 859. Ammonii sententiam usu ipso refutatam scribit. Hoc certum est, scriptores recentiores, Diodorum Siculum, Plutarchum, Dionem, Artemidorum, et alios, promiscue *μνῆμα*, *μνημεῖον* et *τάφον* de eadem re dicere. Et sic *μνημεῖον* Sardanapali dixit Aristobulus comes et scriptor rerum gestarum Alexandri M. apud Athen. XII. 7. Duk.

οὖν] om. d.

σίᾳ ἐστὶ τῇ Ἀσιανῇ, ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ Μαγνησίαν μὲν ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ, Λάμψακον δὲ οἶνον (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι,) Μυοῦντα δὲ ὄψον. τὰ δὲ ὀστᾶ φασὶ κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἰκαδε κελεύσαντος ἐκείνου, καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν θάπτειν, ὡς ἐπὶ

αὐτὸν] αἷμα γὰρ ταύρειον πιὼν ἀπέθανεν. 1. Τῇ Ἀσιανῇ] δύο γάρ εἰσι Μαγνησίαι, Θεσσαλὴ καὶ Ἀσιανή. 4. Μυοῦντα] πόλις Καρίας ἡ Μυοῦς.

1. γὰρ] μὲν d.

2. διδόντος A.

ἄρτον i. et mox οἶνόν et ὄψον.

3. Λάμψακον] Hinc ejus ad servulos dictum, Ὦ παῖδες, ἀπολώμεθα ἂν, εἰ μὴ ἀπολώμεθα l. ἀπολώλειμεν, Plutarch. p. 328. Similis Antonii munificentia in Monesem. vid. Appian. B. Parth. p. 270. Duas præterea addunt quidam ex Troade civitates. v. Athenæum I. 23. Canibus regiis quatuor vicos attributos tradit Herodotus I. 192. Πολυοινότατον ex hoc loco habet Pollux VI. 22. Wass. Confer huc quæ de urbibus, Themistocli a Rege Persarum donatis, congessit Brisson. I. de Regn. Persar. pag. 101. Duk.

4. τῶν τότε πολυοινότατον e.

Μυοῦντα δὲ ὄψον] Diodorus Sicul. dicit Myuntem illi cessisse εἰς ὄψον, ἔχουσαν θάλατταν εὐιχθυν. De significatione vocis ὄψον vide Bochartum de Animalibus sacris. Huds. Hieroz. I. 1. 6. ubi multis ostendit, ὄψον Græcis esse *piscem*: quod et alii dudum docuerant. Vid. Scripta contentiosa Rob. Titii et Yuonis Villiomari IV. 14. Casaub. ad Athen. VII. 2. et VIII. 5. Voss. in Etymolog. et Menag. ad Diog. Laërt. VII. 21. cui add. locum Æliani I. V. H. 28. Scholiasten Thucydidis, qui Myunta urbem Cariæ facit, reprehendit Brisson. l. d. pag. 102. at tuetur Lederlin. Quod mox hic legitur, τὰ δὲ ὀστᾶ φασὶ κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε aliorum narrationi adversari recte adnotat Portus. Nam hi ipsos Themistoclis propinquos ossa illius in Atticam reportasse tradiderunt. Vid. Pausan. Attic. Cap. I. et Corn. Nep. Themist. C. X. ibique Interpretes. Duk.

5. αὐτοῦ ὑπὸ τῶν προσηκόντων f.

6. Καὶ τεθῆναι] Confer Cl. Whelerum Itinerar. 419. Wass.

κρύφα ἀθ.] om. Q.

7. ὡς] om. K.

Οὐ γὰρ ἐξῆν θάπτειν etc.] Vide Pausaniam in initio Atticorum. Petiti leges Atticas, p. 562. et Meursii Them. Attic. l. 2. c. 2. Huds. Add. Kirchmann. de Funeribus Rom. Append. C. VII. et Interpretes Æliani IV. V. H. 7. Valesius ad Notas Maussaci in Harpocration. v. Ὀργάς, scribit, sacrilegos et proditores, quos in Attica sepeliri fas non erat, in Ὀργάδα, inter Atticam et Megaridem, projectos fuisse. Non

προδοσίᾳ φεύγοντος. τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, λαμπροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων, οὕτως ἐτελεύτησεν.

139. Præter piacula ultro citroque objecta, Lacedæmonii deinceps postulabant, ut Athenienses a Potidæa absisterent, Æginamque liberam relinquerent; maxime vero, ut legem de Megarensi-

5 * Λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῆς πρώτης πρεσβείας τοιαῦτα ἐπέταξάν τε καὶ ἀντεκελεύσθησαν περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες παρ' Ἀθηναίους Ποτιδαίας τε ἀπανίστασθαι ἐκέλευον καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι, καὶ μάλιστά γε πάντων καὶ ἐνδηλότατα 10 προὔλεγον τὸ περὶ Μεγαρέων ψήφισμα καθελοῦσι μὴ ἂν γίγνεσθαι πόλεμον, ἐν ᾧ εἴρητο αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ Ἀθηναίων ἀρχῇ μηδὲ τῇ Ἀττικῇ ἀγορᾷ. οἱ δ' Ἀθηναῖοι οὔτε τἆλλα ὑπήκουον οὔτε τὸ ψήφισμα καθῄρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς

1. Τὰ μὲν κατὰ Παυσανίαν] ὥσπερ σχετλιάζων καὶ ἀνοιμώζων ταῦτά φησιν ὁ συγγραφεύς. 6. Περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως] καὶ ἄλλας γὰρ ἐποιήσαντό, ἀπελάσαι τοὺς ἐντεῦθεν Ἄρχοντας. 10. Ψήφισμα] ὃ ἔγραψε Περικλῆς. 11. Τοῖς λιμέσιν] οὐ μόνον τοῦ Πειραιῶς, ἀλλὰ παντὸς λιμένος ὧν ἦρχον οἱ Ἀθηναῖοι. 13. Ὑπήκουον] τοῖς Λακεδαιμονίοις. 14. Ἐπικαλοῦντες] ἀντὶ τοῦ ἐγκαλοῦντες. Ἐπ' ἐργασίαν] περιττὴ ἡ ἐπὶ πρόθεσις. Τῆς γῆς τῆς ἱερᾶς] τὴν γῆν λέγει

scio, quo auctore hoc prodiderit. Nam neque ab iis, quos ibi laudat, neque ab aliis, qui de hac pœna proditorum egerunt, quidquam hujusmodi traditum invenio. Ex eo autem, quod e Telete descripsit Stobæus Serm. XL. p. 233. τοὺς ἀσεβεῖς τῶν Ἀθηναίων in Megaride sepeliri, non satis liquet, eos in Orgadem, quem locum Deabus sacrum fuisse dicit Helladius, de quo ad Cap. seq. abjectos fuisse. Nec credo de eodem loco agere Helladium et Teletem. Dukr.

1. φυγόντος L.O.P.

6. ἔπραξαν e.

8. ἐπανίστασθαι d.

10. καθελοῦσι — ψηφίσματα] om. e.

11. γίγνεσθαι vel γίνεσθαι B.F. H.I.L.O.P.Q.g.h. vulgo γενέσθαι.

αὐτοῖς c.d.i.

13. τὸ] om. C.L.O.

14. Non dubium est, quin Stephanus et Portus recte emendent ἐπεργασίαν, quod est etiam in Cass. et Gr. Idem mendum e Poll. VII. 147. sustulerunt Jungerm. et Kuhnius. Thom. Magister in ἐγκαλῶ habet ἐπικαλοῦντες ἐπ' ἐργασίᾳ τοῖς Μεγαρεῦσι.

bus, qua his omnibus portibus Atheniensium interdictum erat, abolerent. Quorum nihil fecerunt Athenienses, firmati a Pericle, inter æqua-

τῆς ἱερᾶς καὶ τῆς ἀορίστου, καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφισταμένων. τέλος δὲ ἀφικομένων τῶν τελευταίων πρέσβεων ἐκ Λακεδαίμονος, Ραμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου, καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε ὅτι "Λακεδαιμόνιοι "βούλονται τὴν εἰρήνην εἶναι, εἴη δ' ἂν εἰ τοὺς Ἕλληνας "αὐτονόμους ἀφεῖτε," ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι

τὴν μεταξὺ Μεγάρων καὶ Ἀττικῆς, ἥτινα ἀνέθεσαν ταῖς Ἐλευσινίαις θεαῖς. τὴν αὐτὴν δὲ λέγει καὶ ἀόριστον. ἀόριστος δέ ἐστιν ἡ μὴ ἔχουσα ὅρους μηδὲ σπειρομένη· ἡ γὰρ σπειρομένη ὅρους ἔχει, ἅτε οὖσα μεμερισμένη, ἕως οὗ ἐστὶν ἑκάστῳ τὸ δίκαιον τῆς διακρατήσεως. 1. Τῆς ἀορίστου] τῆς πολλῆς. Ἀνδραπόδων ὑποδοχήν] ὡς ὅτι δούλους αὐτῶν ἀποφεύγοντας ἐδέχοντο. 4. Ἄλ-

Sed non habeo auctoritatem probatorum Scriptorum, qui ἐγκαλῶ, vel ἐπικαλῶ σοι ὅτι τούτῳ dixerint: quæ etsi esset, tamen propter consensum librorum retinendus foret accusativus. Quam autem Thucydides hic γῆν ἱερὰν, eam Plutarch. Pericl. p. 306. Ed. Steph. ἱερὰν ὀργάδα vocat, et Periclem decreto adversus Megarenses hanc causam prætexuisse dicit, τὴν ἱερὰν ὀργάδα eos ἀποτέμνεσθαι, *intervertisse agrum sacrum*, ut bene Cruserius, non *quod sacrum lucum cecidissent*, ut Xylander: qui non animadvertit, ἀποτέμνεσθαι apud Plutarchum et alios sæpe esse, *sibi aliquid vindicare, auferre, et intervertere*. Idem ager etiam Helladio lib. IV. Chrestomath. apud Phot. in Biblioth. est Ὀργάς. Ὀργὰς μὲν κοινῶς πᾶσα ἡ γῆ, ὅση ἐπιτηδεία πρὸς καρπῶν γονάς. Ὀργάδα δὲ ἰδίως ἐκάλουν οἱ Ἀθηναῖοι τὴν ταῖν θεαῖν ἀνειμένην, τῆς Ἀττικῆς μεταξὺ καὶ τῆς Μεγαρίδος. Τὰ θεὰ apud illum sunt οἱ θεαὶ Ἐλευσίνιοι, ut hic Scholiastes, id est, Ceres et Proserpina, quibus sacra erant Eleusinia. Lucian. Reviviscent. pag. 408. Ed. Amstel. ἦν τινα καὶ τῶν μεμυημένων ἰδὼν ἐξαγορεύοντα ταῖν θεαῖν τὰ ἀπόῤῥητα. Lysis Pythagoreus apud Iamblich. de Vit. Pythag. C. XVII. βεβάλοις τὰ ταῖν Ἐλευσινίαιν θεαῖν μυστήρια διαγεῖσθαι. Atticis τὰ θεώ. Eustath. in Il. θ'. p. 723. et Casaub. ad Athen. V. 14. Duk.

1. ἀόριστον L.O.P.Q.

Ἀνδραπόδων] Aspasiæ servos. v. Athenæum p. 570. et Aristoph. Acharn. 525. et Schol. Vide et Aristotelem Ethic. p. 189. Sylburg. Οἰκέτι γιγνώσκουσιν Ἀθηναῖοι Μεγαρῆας. Wass.

3. μελσήτου K. μελλησίτου B.e. μελλισίτου C. μελησικου g.

4. ἄλλως i.

6. τὴν] om. K.P.d.

εἶναι] ἄγειν εἶναι K.

εἰ] ἢν L.N.P.

7. ἀφῆτε A.B.F.H.I.L.N.O. g.h.

ποιήσαντες δὲν ἐκκλησίαν f.

γνώμας σφίσιν αὐτοῖς προὐτίθεσαν, καὶ ἐδόκει ἅπαξ περὶ ἁπάντων βουλευσαμένους ἀποκρίνασθαι. καὶ παριόντες ἄλλοι τε πολλοὶ ἔλεγον, ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις, καὶ ὡς χρὴ πολεμεῖν καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης, ἀλλὰ καθελεῖν· καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρήνει τοιάδε.

les suos et eloquentissimo et potentissimo. Is oratione

" ΤΗΣ μὲν γνώμης, ὦ Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχο- 140-144.
" μαι, μὴ εἴκειν Πελοποννησίοις, καίπερ εἰδὼς τοὺς ἀν- ostendit, opibus et copiis Atheni-
" θρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν enses Peloponnesiis
" καὶ ἐν τῷ ἔργῳ πράσσοντας, πρὸς δὲ τὰς ξυμφορὰς esse superi-

λε μὲν οὐδὲν] οἷον περὶ τῆς Ποτιδαίας καὶ τῶν ἄλλων. 1. Γνώμας] βουλάς. Ἅπαξ] παντελῶς. 5. Τὸ ψήφισμα] τὸ ψήφισμα φησὶν οὐ τὸ Μεγαρέων, ἀλλὰ τὸ μὴ εἶναι αὐτονόμους τοὺς Ἕλληνας. Καθελεῖν] τὸν πόλεμον. 11. Ὀργῇ] διανοίᾳ, τρόπῳ, σκοπῷ. 12. Πρὸς δὲ τὰς ξυμφορὰς] πρὸς τὰ

2. ἀποκρίνασθαι A.B.C.F.H. L.N.O.Q.e.f.g.h. vulgo ἀποκρίνασθαι.
παρώτες K.L.O.
3. πολλὰ H.
5. τῆς εἰρήνης K.
καθελεῖν τὸν πόλεμον K.c. et inter versus g.
6. ὁ περικλῆς L.O.P.
7. πράττειν K.
8. τάδε A.L.O.P.

9. Τῆς μὲν γνώμης] Laudat hanc orationem, seque eam admirari scribit Dionys. Halic. Judic. de Thucyd. p. 157. Add. Aristid. tom. III. p. 226. Vir magnus non satis apte videtur componere phrasin Aristoph. Nubib. 157. ἑπέτερα τὴν γνώμην ἔχει, cum hac Thucydidea, quasi idem significantem. Nam aliud est in Aristophane ἔχω γνώμην, aliud hic ἔχομαι γνώμης· illud, *sum in sententia*, hoc, *persto in sententia*. Duk.
τῆς αὐτῆς ἀεὶ f.
10. μὴ] om. e.
11. ὀργῇ e.

Ὀργῇ] Huìc locum innuit Suidas in εἰοργήτως. Ὀργὴ, inquit, ὁ τρόπος, ita Schol. Thucyd. et Schol. Nicandri p. 71. Ald. in Ed. Sophocles Ajace pro studio: ἐμφερὴς ἐμοὶ, ΟΡΓΗ'Ν θ' ὁμοιος. Clare Theognis: Κύρνε φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἮΘΟΣ, ΟΡΓΗ'Ν συμμίσγων ἣν τιν' ἕκαστος ἔχει. Πουλύπου ΟΡΓΗ'Ν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ Τῇ προσομιλήσει τοῖος ἰδεῖν ἐφάνη. Vid. Indicem. Alcman. apud Schol. in Hippocr. ὀργὰς τοὺς τρόπους ἐκάλουν, ut Alcman. ἐν μὲν ἀνθρώπῳ ΟΡΓΑΙ' βεβριμέναι μυρίαι. Pindarus Pyth. θ'. Καὶ γάρ σε— Ἔτραπε μείλιχος ΟΡΓΑ' Παρφάμεν τοῦτων λόγων. Suidas iterum in ὀργὴ, pro διανοίᾳ, τρόπῳ, σκοπῷ.

ores, propter navium et pecuniæ multitudinem, quam cum hostium inopia comparat. Hortatur Athenienses, ut exemplum majorum secuti, classibus hostes adoriantur, eorumque agri vastationes contemnant. Denique edocet, quid Lacedæmoniis sit respondendum.

" καὶ τὰς γνώμας τρεπομένους. ὁρῶ δὲ καὶ νῦν ὁμοίαν
" καὶ παραπλήσια ξυμβουλευτέα μοι ὄντα, καὶ τοὺς
" ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ δόξασιν, ἢν ἄρα
" τι καὶ σφαλλώμεθα, βοηθεῖν, ἢ μηδὲ κατορθοῦντας τῆς
" ξυνέσεως μεταποιεῖσθαι. ἐνδέχεται γὰρ τὰς ξυμφορὰς
" τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ
" τὰς διανοίας τοῦ ἀνθρώπου· διόπερ καὶ τὴν τύχην, ὅσα
" ἂν παρὰ λόγον ξυμβῇ, εἰώθαμεν αἰτιᾶσθαι. Λακε-
" δαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες
" ἡμῖν, καὶ νῦν οὐχ ἥκιστα. εἰρημένον γὰρ δίκας μὲν
" τῶν διαφόρων ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἔχειν δὲ
" ἑκατέρους ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας πω ἤτησαν οὔτε
" ἡμῶν διδόντων δέχονται, βούλονται δὲ πολέμῳ μᾶλλον
" ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι, καὶ ἐπιτάσσοντες
" ἤδη καὶ οὐκέτι αἰτιώμενοι πάρεισι. Ποτιδαίας τε γὰρ
" ἀπανίστασθαι κελεύουσι, καὶ Αἴγιναν αὐτόνομον ἀφί-
" εναι, καὶ τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν· οἱ δὲ τε-

συμβαίνοντα. 1. Τρεπομένους] μεταβαλλομένους. 3. Ἀναπειθομένους] πειρωμένους ἢ ἀνά. τουτέστι πειθομένους. Τοῖς κοινῇ δόξασι] βοηθεῖν, καὶ μὴ ἐκ τοῦ ἐναντίου ἀπολογεῖσθαι τὸν πόλεμον, μηδὲ τὸν συμβουλεύσαντα αἰτιᾶσθαι. 4. Ἢ μηδὲ κατορθοῦντας] ἀντὶ τοῦ ἢ μηδὲ κατορθούντων· ἀντίστασις γάρ ἐστι. 5. Τὰς ξυμφορὰς] τὰς ἀποβάσεις. 6. Ἀμαθῶς] ἐσφαλμένως. 9. Πρότερον] ὅτε ἐκώλυων τὸ τεῖχος γενέσθαι. 10. Εἰρημένον] ὑπεσχημένου ὄντος τοῦ πράγματος ἐν ταῖς σπονδαῖς ταῖς τριακοντούτεσι. 11. Διαφόρων] τῶν ὑποθέσεων, ἐξ ὧν διάφορα φρονοῦμεν. 13. Δέχονται] λύειν τὰ διάφορα ταῖς δίκαις. 14. Ἢ λόγοις] διαδικασίαις. 17. Καθαιρεῖν] ἀκυροῦν.

Confer Diodor. XII. 307. a. et Aristoph. Εἰρ. 602. 608. Wass. Suidas in ὀργὴ descripsit Schol. ad h. l. in εὐοργήτως ad cap. CXXX. ubi vid. Duk.

2. ὄντα] εἶναι g.
3. δοξάσασιν K.
4. καὶ] om. d.
σφαλλόμεθα A.B.C.F.H.K.d. vulgo σφαλώμεθα.
5. ἀντιποιεῖσθαι Q.
8. παρὰ λόγον A.F.G.H.N.Q. g. παράλογον B.K.c.f. vulgo παραλόγως.
9. δὲ καὶ πρότερον K.
10. εἰρημένον C.
11. διαφορῶν F.H.L.N.O.g.
12. τω] om. K.
14. τὰ] τε P.
15. οὐκέτι] οὐκ G.
πάρεισι] ἥκουσι L.O.P.
17. τὸ Μεγαρέων ψήφισμα] Vide

" λευταῖοι οἵδε ἥκοντες, καὶ τοὺς Ἕλληνας προαγορεύ-
" ουσιν αὐτονόμους ἀφιέναι. ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ
" βραχέος ἂν πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ
" καθέλοιμεν, ὅπερ μάλιστα προὔχονται, εἰ καθαιρεθείη,
" μὴ ἂν γίγνεσθαι τὸν πόλεμον· μηδ' ἐν ὑμῖν αὐτοῖς
" αἰτίαν ὑπολίπησθε ὡς διὰ μικρὸν ἐπολεμήσατε. τὸ
" γὰρ βραχύ τι τοῦτο πᾶσαν ὑμῶν ἔχει τὴν βεβαίωσιν
" καὶ πεῖραν τῆς γνώμης. οἷς εἰ ξυγχωρήσετε, καὶ ἄλλο
" τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε, ὡς φόβῳ καὶ τοῦτο
" ὑπακούσαντες· ἀπισχυρισάμενοι δὲ σαφὲς ἂν κατα-
" στήσαιτε αὐτοῖς ἀπὸ τοῦ ἴσου ὑμῖν μᾶλλον προσφέ-
" ρεσθαι. * αὐτόθεν δὴ διανοήθητε ἢ ὑπακούειν πρίν τι 141.
" βλαβῆναι, ἢ εἰ πολεμήσομεν, ὡς ἔμοιγε ἄμεινον δοκεῖ
" εἶναι, καὶ ἐπὶ μεγάλῃ καὶ ἐπὶ βραχείᾳ ὁμοίως προ-
" φάσει μὴ εἴξοντες, μηδὲ ξὺν φόβῳ ἕξοντες ἃ κεκτή-

4. Προὔχονται] προβάλλονται. 6. Αἰτίαν ὑπολίπησθε] ἀντὶ τοῦ αἰτιάσησθε. 8. Πεῖραν τῆς γνώμης] εἴτε φοβούμεθα τοὺς Λακεδαιμονίους, εἴτε καὶ μή. Οἷς] τοῖς Λακεδαιμονίοις. 9. Τοῦτο] τὸ καθελεῖν τὸ Μεγαρέων ψηφισμα. 10. Ἀπισχυρισάμενοι] ἰσχυρῶς ἀπαγορεύσαντες. 11. Προσφέρεσθαι] ὁμιλεῖν. 12. Ὑπακούειν] πάντοτε, ὁσάκις ἂν κελευόμεθα. 13. Βλαβῆναι] ἐκ τῆς φύσεως τοῦ πράγματος. 14. Καὶ ἐπὶ μεγάλῃ] κατὰ κοινοῦ τὸ διανοήθητε. 15. Ξὺν φόβῳ] ἐὰν γὰρ ὑπακούσωμεν αὐτοῖς, φησὶν, ἐν

Toll. ad Apollon. Soph. p. 737.

1. οἵδε] ἤδη d.i.
2. δὲ] μὲν L.
3. βραχέος A.B.C.d. vulgo βραχέως.
ἂν] om. d.
Εἰ τὸ Μεγαρέων] Suidas in προὔχοντο, εἰ τὸ M. ψ. μὴ καθέλοιεν ἤπ. μ. προὔχονται. ἀντὶ προβάλλονται, πρατείνουσι. Wass. Add. Thom. Magist. in προῖσχω. Duk.
5. γενέσθαι d.
τὸν] om. K.d.
6. ὑπολείπεσθε L.P. ὑπολείσησθε I.e.
7. βραχύ τι τοῦτο A.B.C.F.H.I. L.N.O.P.d.e.h.i.vulgo βραχὺ τοῦτο.
8. καὶ τὴν πεῖραν d.
10. ὑπακούσαντες A.B.C.F.I.K. L.O.P.c.d.e.g.h.i. vulgo ὑπακούσοντες.
ἀπισχυρισάμενοι c.
καταστήσαιτε B.G.g.h. καταστήσετε A.F.H.K.d. καταστήσατε I. vulgo καταστήσητε.
12. δὲ K.
13. βλαβηθῆναι L.
πολεμήσαιμεν f.g.
ὡς A.B.g.h. vulgo ὅσπερ.
ἐμοὶ H.N.g.
ἄμεινον ἔμοιγε εἶναι δοκεῖ f.
15. εἴξαντες G.

" μεθα· τὴν γὰρ αὐτὴν δύνασαι βούλεσιν ἥ τε μεγίστη
" καὶ ἐλαχίστη δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης
" τοῖς πέλας ἐπιτασσομένη. Τὰ δὲ τοῦ πολέμου καὶ
" τῶν ἑκατέροις ὑπαρχόντων ὡς οὐκ ἀσθενέστερα ἔξομεν,
" γνῶτε καθ' ἕκαστον ἀκούοντες. αὐτουργοί τε γάρ εἰσι
" Πελοποννήσιοι, καὶ οὔτε ἰδίᾳ οὔτε ἐν κοινῷ χρήματά
" ἐστιν αὐτοῖς, ἔπειτα χρεῶν παλαιῶν καὶ διαπειρίων
" ἄπειροι διὰ τὸ βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πε-
" νίας ἐπιφέρειν. καὶ οἱ τοιοῦτοι οὔτε ναῦς πληροῦντες
" οὔτε πεζὰς στρατιὰς πολλάκις ἐκπέμπειν δύνανται,
" ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες καὶ ἀπὸ τῶν αὐτῶν
" δαπανῶντες, καὶ προσέτι καὶ θαλάσσης εἴργόμενοι·
" αἱ δὲ περιουσίαι τοὺς πολέμους μᾶλλον ἢ αἱ βίαιοι
" ἐσφοραὶ ἀνέχουσι. σώματά τε ἑτοιμότεροι οἱ αὐτουργοὶ
" τῶν ἀνθρώπων ἢ χρήμασι πολεμεῖν, τὸ μὲν πιστὸν
" ἔχοντες ἐκ τῶν κινδύνων καὶ περιγενέσθαι, τὸ δὲ οὐ

τούτῳ, λοιπὸν καὶ περὶ τῶν ἄλλων δεδοίκαμεν. 2. Δικαίωσις] κέλευσις, πρόσταξις. τὸ δικαιοῦν διὰ μικρὰν πρόφασιν μὴ δέχεσθαι τέλεμον. 4. Οὐκ ἀσθενέστερα ἔξομεν] οὐκ ἀσθενεστέρως διακεισόμεθα. 5. Αὐτουργοί] δι' ἑαυτῶν τὴν γῆν ἐργαζόμενοι, στάσει δούλων. 8. Ἄπειροι] ἀβίβαστοι. Τὰ πενίας] τῶν τελῶν δηλονότι. 9. Πληροῦντες] ἀνδρῶν δηλονότι. 11. Ἀπὸ τῶν αὐτῶν] ἐξ ὧν ἔχουσιν. 12. Εἰργόμενοι] θαλασσοκράτορες γὰρ οἱ Ἀθηναῖοι. 13. Αἱ βίαιοι ἐσφοραί] οἱ γὰρ Λακεδαιμόνιοι, ἅτε πένητες, βιαίους εἰσέφερον. 14. Ἀνέχουσι] βαστάζουσιν, αὔξάνουσι. Τὸ τῶν σωμάτων] ὡς σώσοντες αὐτὰ ἐκ τῶν πολέμων. δεῖ δὲ ὑποστίξαι εἰς τὸ μέν. 15. Πιστὸν] βέβαιον. 16. Τὸ δὲ] τὸ τῶν χρημάτων οὐκ ἔστι, φησὶ, βέβαιον,

2. καὶ ἐλαχίστη A.B.F.H.K. N.g.h.i. ceteri καὶ ἡ ἐλαχίστη.
δικαίως B.
Δικαίωσις] Hoc inter poëtica apud Thucydidem refert D. Halicarn. περὶ τῶν Θουκυδίδου ῥημάτων pag. 133. Ipsum tamen eo plus semel in Historia usum adnotat Sylburgius. Dux.
3. καὶ τῶν ἑκατέρως] om. pr. g.
4. ὑπαρχόντων ἑκατέρως g.
ὡς] om. d.
5. Αὐτουργοί] Qui proprie ita dicantur ostendit Perizon. ad Ælian. I. Var. Hist. 31. VII. 5. et XII. 43. Quos hic αὐτουργοὺς, cap. 142. γεωργοὺς vocat. Dux.
τε γὰρ] δέ K.
7. εἰσιν K.c.d.i.
αὐτοῖς] om. C.e.
14. Ἀνέχουσι] Pro βαστάζουσι Suidas v. ἀνέχει. Wass.

" βέβαιον μὴ οὐ προαναλώσειν, ἄλλος τε καὶ παρὰ
" δόξαν, ὅπερ εἰκὸς, ὁ πόλεμος αὐτοῖς μεμύηται. μάχῃ
" μὲν γὰρ μιᾷ πρὸς ἅπαντας Ἕλληνας δυνατοὶ Πελο-
" ποννήσιοι καὶ οἱ ξύμμαχοι ἀντισχεῖν, πολεμεῖν δὲ μὴ
" πρὸς ἀμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι, ὅταν μήτε βου-
" λευτηρίῳ ἐνὶ χρώμενοι παραχρῆμά τι ὀξέως ἐπιτελῶσι,
" πάντες τε ἰσάψαφοι ὦσιν καὶ οὐχ ὁμόφυλοι τὸ ἐφ'
" ἑαυτὸν ἕκαστος στεύδῃ· ἐξ ὧν φιλεῖ μηδὲν ἐπιτελὲς
" γίγνεσθαι. καὶ γὰρ οἱ μὲν ὡς μάλιστα τιμωρήσασθαί
" τινα βούλονται, οἱ δὲ ὡς ἥκιστα τὰ οἰκεῖα φθεῖραι.
" χρόνιοί τε ξυνιόντες ἐν βραχεῖ μὲν μορίῳ σκοποῦσί τι
" τῶν καινῶν, τῷ δὲ πλέονι τὰ οἰκεῖα πράσσουσι. καὶ
" ἕκαστος οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν,
" μέλειν δέ τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν, ὥστε

ὅπως μὴ δεσποτηθῶσι. 1. Μὴ οὐ προαναλώσειν] σημείωσαι, μὴ προαναλώσειν τὰ χρήματα περὶ τοῦ πολέμου, τὸ βέβαιον οὐκ ἔχουσιν. οἱ δ' αὐτουργοὶ τῷ πολέμῳ, τὸ πιστὸν ἔχουσιν ὅτι περιγενήσονται, διότι τοῖς κινδύνοις ὑπομένειν ἐμελέτησαν. 4. Πολεμεῖν δὲ] καθὸ μόνοις τοῖς σώμασι θαῤῥοῦσιν· οἱ δὲ Ἀθηναῖοι περὶ τοῖς σώμασι καὶ τοῖς χρήμασι θαῤῥοῦσιν. 5. Ἀντιπαρασκευὴν] ἀφθόνησιν. Μήτε βουλευτηρίῳ ἐνὶ χρώμενοι] αὐτόνομοι γὰρ πάντες. 7. Οὐχ ὁμόφυλοι] οἱ μὲν γὰρ Δωριεῖς, οἱ δὲ Βοιωτοί. 10. Τὰ οἰκεῖα φθεῖραι] ἐκ τῶν πολεμίων τῇ ἀπορίᾳ. 11. Χρόνιοι] διὰ χρόνου πολλοῦ. Μορίῳ] μοίρᾳ ἡμέρας βουλεύονται. Ἐστέον ὅτι τὴν τῆς δημοκρατίας διαβολὴν τῶνδε ἐντεῦθεν ἔθηκε. 13. Βλάψειν] τὰ κοινὰ δηλονότι.

2. ὅπερ εἰκὸς] om. e.
αὐτοῦ d. αὐτοῖς post δόξαν ponit e.
μεμύηται d.e.i.
3. μὲν om. P.
4. οἱ] ἢ c. om. M.
5. παρασκευὴν d.
7. τε] δὲ O. om. M.
Ἰσόψηφοι] Huc spectat Pollux VIII. 15. Wass.
οὐχὶ K.d.i.
ὑφ' L.Q.
8. ἑαυτῶν K.L.O. αὐτῶν C.
στεύδει A.F.H.I.d.e.i.
11. Ἐν βραχεῖ μὲν μορίῳ] Stephanus in Thesauro γ. μορίου putat, deesse χρόνου. In Cass. pro supplemento scriptum est scholion ἡμέρας. Et sic Thucyd. supra cap. 85. ἐν βραχεῖ μορίῳ ἡμέρας· quod cur huic loco non satis convenire existimaverit Stephanus l. d. non scio. Duk.
βραχὺ H.
12. πλέονι A.B.C.F.G.H.Q.e.f.g.h. ceteri πλείονι.
13. περὶ g.
βλάψειν τὰ κοινὰ e.
14. μέλλειν K.c.e.h.i.

" τῷ αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι λανθάνειν τὸ
142. " κοινὸν ἀθρόον φθειρόμενον. * μέγιστον δὲ τῇ τῶν χρη-
" μάτων σπάνει κωλύσονται, ὅταν σχολῇ αὐτὰ πορίζό-
" μενοι διαμέλλωσι· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενε-
" τοί. καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις, οὐδὲ τὸ ναυτικὸν αὐ-
" τῶν ἄξιον φοβηθῆναι. τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν
" εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι, ἥπου δὴ ἐν
" πολεμίᾳ τε καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετει-
" χισμένων. φρούριον δ' εἰ ποιήσονται, τῆς μὲν γῆς βλά-
" πτοιεν ἄν τι μέρος καταδρομαῖς καὶ αὐτομολίαις, οὐ
" μέντοι ἱκανόν γε ἔσται ἐπιτειχίζειν τε κωλύειν ἡμᾶς
" πλεύσαντας ἐς τὴν ἐκείνων, καὶ ἥπερ ἰσχύομεν, ταῖς
" ναυσὶν ἀμύνεσθαι. πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ
" γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας, ἢ ἐκεῖνοι ἐκ τοῦ κατ'
" ἤπειρον ἐς τὰ ναυτικά. τὸ δὲ τῆς θαλάσσης ἐπιστή-
" μονας γενέσθαι οὐ ῥᾳδίως αὐτοῖς προσγενήσεται. οὐδὲ
" γὰρ ὑμεῖς, μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν,

3. Κωλύσονται] ἀντὶ τοῦ κωλυθήσονται. Σχολῇ] βραδέως. 4. Διαμέλλωσι] βραδύνωσιν. 4. Οὐ μενετοί] οὐ μένουσι, φησὶν, ἀλλ' εἰσὶν ἐξεῖς. 5. Οὐδ' ἡ ἐπιτείχισις] ἐπιτείχισίς ἐστι τὸ πόλιν τινὰ ἑτέραν πλησίον ἄλλης τειχίσαι, διὰ τὸ φρουρεῖν καὶ λυμαίνεσθαι τὴν γῆν. 6. Τὴν μὲν] τὴν ἐπιτείχισιν. 8. Ἐκείνοις ἡμῶν] δυνατῶν ὄντων ἡμῶν ἀντεπιτειχίσαι ἐκείνοις. 10. Καταδρομαῖς] ἐφόδοις. Καὶ αὐτομολίαις] δεχόμενοι τοὺς αὐτομόλους δούλους. 17. Ἀπὸ τῶν Μηδικῶν] ἀλλὰ δηλονότι καὶ τρὸ

1. αὐτῷ] om. M.
ἁπάντων οἴεται ἰδίᾳ C.e.
ἰδίῳ K. δια c.
2. ἀθρόως F.
3. σχολῇ] om. e.
4. Τοῦ δὲ—μενετοί.] Magister voc. μενετός. WASS.
7. κατασκευάσασθαι C.L.O.P. e. παρακατασκευάσασθαι d. παρασκευάζεσθαι K. κατασκευάζεσθαι I.
δὴ καὶ ἐν K.
11. γε] om. N. ante ἱκανὸν ponunt d.i.
τε] om. B.h. inferebatur καὶ: id omisi cum A.B.H.c.h.
12. ἐς τὴν] ἐν τῇ C.e.
ἰσχύομεν ἐν ταῖς e.
13. γὰρ ὅμως ἡμεῖς ἔχομεν C. γὰρ ἡμεῖς ὅμως ἔχομεν e.
τοῦ] τὰ G.
14. κεῖνοι C.
15. ἐπιστημονίας B.
16. προσγενήσεται I.
17. αὐτὸ] om. G.
ἐπὶ L.O.Q.

" ἐξείργασθέ πω· πῶς δὴ ἄνδρες γεωργοὶ καὶ οὐ θα-
" λάσσιοι, καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι διὰ τὸ
5 " δὲ θαλάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πελο-
" ποννησίοις ὑπὲρ αὐτῶν ὀργισθέντας πολλῷ πλείοσι μὴ
" διαμάχεσθαι (κρατήσαντές τε γὰρ αὖθις οὐκ ἐλάσσοσι
" μαχούμεθα, καὶ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων,
" ὅθεν ἰσχύομεν, προσαπόλλυται· οὐ γὰρ ἡσυχάσουσι μὴ
10 " ἱκανῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς στρατεύειν), τήν τε ὀλό-
" φυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ τῶν σω-
" μάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄνδρες ταῦ-
" τα κτῶνται. καὶ εἰ ᾤμην πείσειν ὑμᾶς, αὐτοὺς ἂν
" ἐξελθέντας ἐκέλευον αὐτὰ δῃῶσαι, καὶ δεῖξαι Πελο-
15 " ποννησίοις ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε.
" * Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέσε- 144.
" σθαι, ἢν ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολε-
" μοῦντες, καὶ κινδύνους αὐθαιρέτους μὴ προστίθεσθαι·

πολὺ γὰρ μείζων ἡ Πελοπόννησος. 1. Τὸ τῆς θαλάσσης κράτος] ὅπερ ἔχομεν δηλονότι. 2. Εἰ γὰρ ἦμεν νησιῶται] δηλονότι ἡμεῖς. οὐ γὰρ ἔχουσιν οἱ Λακεδαιμόνιοι ναῦς. χρὴ οὖν ἡγήσασθαι ἡμᾶς νησιώτας, καὶ ὡς νῆσον τὴν πόλιν οἰκεῖν, τῶν ἀγρῶν μὴ φροντίζοντας. 4. Οἰκίας] τὰς ἐν τοῖς προαστείοις. 7. Αὖθις] εἰς τὸ μέλλον. 9. Ἡσυχάσουσιν] οἱ Λακεδαιμόνιοι. 10. Τήν τε ὀλόφυρσιν] χρὴ δηλονότι, τὸν θρῆνον, τὴν λύπην. 11. Ἀλλὰ τῶν σωμάτων] τῶν ἀνδρῶν 12. Τάδε] τὰ κτήματα. 15. Οὐχ ὑπακούσεσθε] οὐχ ὑπείξετε. 16. Καὶ ἄλλα] αἰνίττεται Σικελίαν καὶ Ἰταλίαν, ἧς ἐπεθύμουν

1. θαλάττης K.L.O.P.d.
2. εἰ μὲν γὰρ F.H.N.c.g.
5. πελοποννησίους A.F.H.K.O.h.
6. ἐργισθεῖσι margo N.
πλέοσι C.P. πλείονι b.
μὴ] om. g.
7. τε] om. K.N.G.I.
9. μὴ οὐχ ἱκανῶν N.
10. ὄντων ἡμῶν L.
τὴν γὰρ ὀλόφυρσιν g.

Ὀλόφυρσιν] Huc fortassis pertinet, quod adnotat Dionys. Halicarn. Περὶ τῶν Θουκυδ. ἰδιωμάτων p. 134. Thucydidem pro verbis nomina ponere, ut ὀλόφυρσιν pro ἀπολοφύρασθαι. Duk.
12. τάδε I.L.O.P.Q.e.
13. ἡμᾶς K.
14. αὐτὴν L.Q.
18. προτίθεσθαι C.e.

" μᾶλλον γὰρ πεφόβημαι τὰς οἰκείας ἡμῶν ἁμαρτίας
" ἢ τὰς τῶν ἐναντίων διανοίας. ἀλλ' ἐκεῖνα μὲν καὶ ἐν
" ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται· νῦν δὲ τού-
" τοις ἀποκρινάμενοι ἀποπέμψωμεν, Μεγαρέας μὲν ὅτι
" ἐάσομεν ἀγορᾷ καὶ λιμέσι χρῆσθαι, ἢν καὶ Λακεδαι-
" μόνιοι ξενηλασίας μὴ ποιῶσι μήτε ἡμῶν μήτε τῶν ἡμε-
" τέρων ξυμμάχων (οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπον-
" δαῖς οὔτε τόδε), τὰς δὲ πόλεις ὅτι αὐτονόμους ἀφήσο-
" μεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα, καὶ ὅταν
" κἀκεῖνοι ταῖς αὑτῶν ἀποδῶσι πόλεσι μὴ σφίσι τοῖς
" Λακεδαιμονίοις ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλὰ αὐ-
" τοῖς ἑκάστοις, ὡς βούλονται· δίκας δὲ ὅτι ἐθέλομεν
" δοῦναι κατὰ τὰς ξυνθήκας, πολέμου δὲ οὐκ ἄρξομεν,
" ἀρχομένους δὲ ἀμυνούμεθα. ταῦτα γὰρ δίκαια καὶ
" πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι. εἰδέναι δὲ

κρατῆσαι. 2. Διανοίας] ἐπιβουλάς. Ἀλλ' ἐκεῖνα] τὰ περὶ Σικελίαν. 5. Ἦν καὶ Λακεδαιμόνιοι] ἀδύνατον αὐτοῖς ἀντέθηκεν, ὅπερ ἐκεῖνοι ποιεῖν οὐκ ἠνέσχοντο. 7. Οὔτε γὰρ ἐκεῖνο] τὸ περὶ Μεγαρέων ψήφισμα. 8. Τόδε] τὸ ξενηλατεῖν. 10. Τοῖς Λακεδαιμονίοις] οἶμαι τὸ τοῖς Λακεδαιμονίοις ἁμάρτημα τοῦ γραφέως, ἐνθέντος τῷ κειμένῳ, ὅπερ ἦν ἑρμηνεία τοῦ σφίσι, ἔξωθέν

4. ἀποπέμψομεν A. ἀποπέμψωμεν δὲ δεῖ λακεδαιμονίους ἀποκρίνασθαι e.
5. ἀγοραῖς K.
χρήσασθαι L.O.P.
καὶ] om. e.
6. Ξενηλασίας] De ξενηλασίᾳ Lacedæmoniorum multa congesserunt Meurs. II. Miscellan. Laconic. 9. et Crag. de Republ. Lacedæm. III. 3. Sed hic parum recte ex hoc loco Thucydidis scribit, Periclem mittendos censuisse legatos ad Lacedæmonios, petituros inter alia, ne Atheniensibus, sociisque, ac peregrinis aliis usu suæ urbis interdicerent, Locus Dionys. Halic. ad pag. 146. 1. a Stephano indicatus est d. pag. 134. De usu activorum pro passivis Stephan. Animadvers. ad Joann. Grammatic. de Dialectis artic. XXXI. Duk.
μήτε ἡμῶν] om. H.
7. κωλύειν L.O.
ἐν] om. Dionysius.
8. δὲ] τε B.F.G.H.K.c.g.h.i.
9. εἰ δὲ καὶ P.
10. αὐτῶν A.B.F.H.K.N.c.f. g.h. vulgo ἑαυτῶν.
ἐπιδῶσι Q.
11. ἐπιτηδείως] om. f.
14. ἀμυνόμεθα A. ἀμυνώμεθα h.
15. τῇδε om. c.

" χρὴ ὅτι ἀνάγκη πολεμεῖν· ἢν δὲ ἐκούσιοι μᾶλλον δε-
" χώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναντίους ἕξομεν·
" ἔκ τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδιώτῃ
" μέγισται τιμαὶ περιγίγνονται. οἱ γοῦν πατέρες ἡμῶν
" ὑποστάντες Μήδους, καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι
" ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλιπόντες, γνώμῃ τε πλεί-
" ονι ἢ τύχῃ καὶ τόλμῃ μείζονι ἢ δυνάμει τόν τε βάρβα-
" ρον ἀπεώσαντο καὶ ἐς τάδε προήγαγον αὐτά. ὧν οὐ
" χρὴ λείπεσθαι, ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ
" ἀμύνεσθαι, καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ
" μὴ ἐλάσσω παραδοῦναι."

145. In ejus sententiam ab Atheniensibus responsum datur Peloponnesiorum legatis.

*Ὁ μὲν Περικλῆς τοιαῦτα εἶπεν. οἱ δ' Ἀθηναῖοι νομί-
σαντες ἄριστα σφίσι παραινεῖν αὐτὸν ἐψηφίσαντο ἃ ἐκέ-
λευε, καὶ τοῖς Λακεδαιμονίοις ἀπεκρίναντο τῇ ἐκείνου
γνώμῃ, καθ' ἕκαστά τε ὡς ἔφρασε, καὶ τὸ ξύμπαν οὐδὲν
κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἑτοῖμοι
εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ.
καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου, καὶ οὐκέτι ὕστερον
ἐπρεσβεύοντο.

146. Inter has initi-

*Αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις

τινι πρότερον ἐπιτεθεῖσα. 1. Πολεμεῖν] ἡμᾶς δηλονότι. 3. Ἔκ τε τῶν μεγίστων] κατὰ κοινοῦ τὸ εἰδέναι χρή. 5. Ὑποστάντες] δεξάμενοι. Οὐκ ἀπὸ τοσῶνδε] οὐκ ἀπὸ τοσαύτης παρασκευῆς, ἀλλὰ ἐλάσσονος. 6. Γνώμῃ τε πλείονι ἢ τύχῃ] συνίσει, φρονήσει. ἐπὶ πλέον ἐνταῦθα τῶν ἄλλων ἡ Γοργίειος ἐλήφθη παρίσωσις, καὶ ἔστιν οὐκ ἄχαρις διὰ τὴν ταχεῖαν πλοκὴν τοῦ ὀνόματος. 8. Ὧν] τῶν πατέρων. 10. Ἐπιγιγνομένοις] ταυσὶν ἡμῶν δηλονότι. 15. Γνώμῃ] βουλῇ. Ἔφρασε] ἡρμήνευσεν. 17. Ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ] ἐξ ἰσοτιμίας, καὶ οὐχὶ κελευόμενοι. 18. Οἱ μὲν] οἱ Λακεδαιμόνιοι.

6. ἐκλιπόντες A.B.C.F.H.I.K. L.N.O.P.d.f.g.h.i. vulgo ἐκλείποντες.
πλέονι C.
8. ἀπόσαντο e.
9. τρόπῳ παντὶ L.O.P.
14. τοῖς λακεδαιμονίοις C.K.L. N.O.P.e. ceteri τοῖς τε λακεδαιμονίοις.
15. τε] om. N.
16. τὰς] om. K.
17. ἐγκλημάτων καὶ ἴσα καὶ ὅμοια c.
ὅμοιον d.

cusationes et disceptationes commercium quidem adhuc iis erat, sed non sine suspicione.

πρὸ τοῦ πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν Ἐπιδάμνῳ καὶ Κερκύρᾳ· ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς καὶ παρ' ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μὲν, ἀνυπόπτως δὲ οὔ· σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν καὶ πρόφασις τοῦ πολεμεῖν.

2. Ἐν αὐταῖς] ταῖς αἰτίαις καὶ διαφοραῖς. 3. Ἀκηρύκτως] ἄνευ κηρυκείου, ὡς πρὸς φίλους ὄφθαι. οἱ γὰρ πρὸς ἐχθροὺς ἀπιόντες ἀσφαλείας ἕνεκα, ἐπάκτις ἠβούλοντο, μετὰ κηρυκείου ἀπῄεσαν, οὓς ἀνόσιον ἡγοῦντο καὶ ἀσεβὲς κακουργεῖν.

1. ἐν] om. e.
2. ἐπεμίγνυτο C.
Ἐπεμίγνυντο] Suidas in ἀκηρυκτεί, ἐμίγνυντο. Wass.
3. ἀκήρικτα e.
δὲ οὔ] δέον f.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Β.

Ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη Ἀθηναίων καὶ Πελοποννησίων καὶ τῶν ἑκατέρους ξυμμάχων, ἐν ᾧ οὔτε ἐπεμίγνυντο ἔτι ἀκηρυκτὶ παρ' ἀλλήλους, καταστάντες τε ξυνεχῶς ἐπολέμουν· γέγραπται δὲ ἑξῆς ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος καὶ χειμῶνα.

Τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαὶ, αἳ ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν τῷ

Hoc libro complectitur res gestas trium annorum inde ab initio belli.

1. Exponuntur autem ordine temporum digestæ, ita ut ea, quæ aestate facta sunt, ab iis, quæ per hiemen acciderunt, excipiantur.

2. Quinto de-

1. Ἐνθένδε] ἀπὸ τῆσδε τῆς αἰτίας. 2. Ἐν ᾧ] πολέμῳ. ἐν ᾧ, ἀντὶ τοῦ ἐξ οὗ, ἀφ' οὗ. 3. Ἐπεμίγνυντο] ἐπεμιξίαν εἶχον. Ἀκηρυκτεὶ] ἄνευ κηρυκείας, ἃς ἐχθροὶ, ἄνευ κηρυκείου μᾶλλον καὶ προκαταγγέλσεως. Παρ' ἀλλήλους] παρ' ἀλλήλοις ἐρχόμενοι. Καταστάντες τε] ἀρχὴν τοῦ πολέμου ποιήσαντες. 6. Τέσσαρα μὲν γὰρ] τοῦτο πρὸς τὸ ἄρχεται δὲ ὁ πόλεμος· τὰ γὰρ ἄλλα διὰ μέσου. 7. Εὐβοίας ἅλωσιν] ἣν ἐν τῇ τρίτῃ λέγει.

Titulo nonnulli carent: C. solum habet β. θουκυδίδου β. G. θουκυδίδου συγγραφῆς β. B. θουκυδίδου ξυγγραφῆς β. F.H. θουκυδίδου ξυγγραφῆς δεύτερον g. θουκυδίδου ξυγγραφῆς τὸ δεύτερον N. θουκυδίδου ἱστοριῶν ξυγγραφῆς βιβλίον δεύτερον L.

1. ΑΡΧΕΤΑΙ δὲ &c.] Quo anno cœptum hoc bellum, vide A. Gellium 17, 21. et Meursium de Archont. Athen. p. 200. Hudd. Lucianus Pseudom. pag. 752. illa ἄρχεται ὁ πόλεμος ἐνθένδεν ἤδη, quasi proverbii specie transfert ad narrandum principium doli, inter Coeconam et Alexandrum Pseudomantin compositi. Dukr.

2. εἰδὲ f.
3. ἔτι om. e.
ἀκηρυκτὶ C.c.
ἄλλους c.

4. γέγραπται δὲ] καὶ γέγραπται I.L.O.P.e.

Γέγραπται] Thucyd. καθ' ἕκαστον χειμῶνα καὶ θέρος nomen inseruit, inquit Dio Chrys. III. p. 555. ταῦτα ξυνέγραψε Θουκ. 167. Wass. not. MS.

5. Κατὰ θέρος καὶ χειμῶνα] Nomine θέρους comprehendit ver et aestatem, χειμῶνος autumnum et hiemem. Petav. X. de Doctrin. Temp. 28. Sic et alii Græci pariter ac Latini Scriptores annum in duas partes tribuunt. Vid. Serv. et Cerd. ad Virgil. III. Georg. 296. et Gronov. III. Observ. 14. Dukr.

6. τέσσαρα γὰρ καὶ δέκα μὲν L. O.e. τέσσαρα καὶ δέκα μὲν C.P.
αἱ] om. L.O.P.
τριακοντούτεις A.
7. ἐγίγνοντο i.

cimo anno fœdus, quod, Eubœa recepta, inter Græciæ civitates in triginta annos factum erat, palam ruptum est eo, quod Thebanorum circiter trecenti armati Platæas, urbem Atheniensibus sociam, proditione noctu occuparunt.

δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης, καὶ Αἰνησίου ἐφόρου ἐν Σπάρτῃ, καὶ Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος Ἀθηναίοις, μετὰ τὴν ἐν Ποτιδαίᾳ μάχην μηνὶ ἕκτῳ, καὶ ἅμα ἦρι ἀρχομένῳ, Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων (ἦγοῦντο δὲ αὐτῶν Βοιωταρχοῦντες Πυθάγγελός τε ὁ Φυλείδου καὶ Διέμπορος ὁ Ὀνητορίδου) ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων ξυμμαχίδα. ἐπηγάγοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας Πλαταιῶν ἄνδρες, Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, βουλόμενοι ἰδίας ἕνεκα δυνάμεως ἀν-

1. Ἐπὶ Χρυσίδος] ἡ Χρυσὶς ἱέρεια ἦν ἐν Ἄργει. ἠριθμῶν δὲ τοὺς χρόνους οἱ Ἀργεῖοι ἀπὸ τῶν ἱερειῶν. 3. Ἔτι δύο μῆνας] τουτέστι δέκα μῆνας. κατ' ἐνιαυτὸν γὰρ ἠλλάσσοντο. 6. Βοιωταρχοῦντες] οἱ τῶν Βοιωτῶν ἄρχοντες. ἦσαν γὰρ οἱ πάντες ἕνδεκα. 11. Ἰδίας ἕνεκα δυνάμεως] ἀντὶ τοῦ ἕνεκα τοῦ αὐτοῦ

1. Ἐπὶ Χρυσίδος] Memorat hanc rursus lib. IV. in fin. Apud nonnullos Scriptores perperam est Χρυσηΐς, pro Χρυσίς. Vid. Leopard. VI. Emendat. 11. De more Argivorum annos per Sacerdotes computandi, quem hic tangit Schol., multa habent, quos in Notis ad eum laudat Hudsonus. De characteribus temporis, ad quod initium hujus belli adligat Thucydides, consulendi sunt Scalig. V. de Emend. Temp. p. 410. Petav. X. de Doctrin. Temp. 28. Selden. in Apparat. Chronolog. ad Veter. Græcorum Epochas p. 238. Marmor. Arundell. Edit. Oxon. et Petit. IV. Eclog. Chronolog. 12. Porro Salmasium, in Exercit. Plin. p. 111. Ed. Traj. scribentem Græcos numquam dicere Ἄρχοντος τοῦ δεῖνα sine præpositione, sed semper cum præpositione ἐπὶ, recte reprehendit Petav. Exercitat. Miscellan. cap. VII. Duk.

4. ἀθηναίοις δὲ μετὰ G.
μετὰ δὲ τὴν K.d.

5. ἅμα] om. e.

Ἦρι] Totum tempus comprehendit ἀπὸ ἰσημερίης, μέχρι πλειάδων ἐπιτολῆς. Wass.

Θηβαίων—τριακοσίων, et ἐσῆλθον—ξυμμαχίδα.] Theon. Progymn. cap. IV. ubi male συμμαχίδα, cum nostro Diodor. p. 308. a. Wass.

7. φυλείδου C.F.H.I.L.O.e.
φιλίδου K.d. ceteri φυλίδου.
νητορίδου L.O.
περὶ τὸν πρῶτον g.

9. Ἀνέῳξαν—ἄνδρες] T. Magister in ἀνέῳγεν. Confer omnino Demosthenem in Neæram p. 1378. R. Wass.

10. πλαταιῶν A.C.F.H.N. om. h. vulgo πλαταιέων.
ἄνδρες] om. L.O.P.

ἄρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι. ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου τοῦ Λεοντιάδου, ἀνδρὸς Θηβαίων δυνατωτάτου. προϊδόντες γὰρ οἱ Θηβαῖοι ὅτι ἔσοιτο ὁ πόλεμος, ἠβούλοντο τὴν Πλάταιαν, ἀεὶ σφίσι διάφορον οὖσαν, ἔτι ἐν εἰρήνῃ τε καὶ τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος προκαταλαβεῖν. ἢ καὶ ῥᾷον ἔλαθον ἐσελθόντες, φυλακῆς οὐ προκαθεστηκυίας. θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα, τοῖς μὲν ἐπαγομένοις οὐκ ἐπείθοντο ὥστ' εὐθὺς ἔργου ἔχεσθαι καὶ ἴεναι ἐς τὰς οἰκίας τῶν ἐχθρῶν γνώμην δὲ ἐποιοῦντο κηρύγμασί τε χρήσασθαι ἐπιτηδείοις καὶ ἐς ξύμβασιν μᾶλλον καὶ φιλίαν τὴν πόλιν ἀγαγεῖν, καὶ ἀνεῖπεν ὁ κήρυξ, εἴ τις βούλεται κατὰ τὰ πάτρια τῶν πάντων Βοιωτῶν ξυμμαχεῖν, τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα, νομίζοντες σφίσι ῥᾳδίως τούτῳ τῷ τρόπῳ προσχωρήσειν

δυνατοὶ γενέσθαι. 2. Καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι] ἵνα μὴ δημοκρατῆται. 8. Θέμενοι δὲ] ἀντὶ τοῦ περιθέμενοι ἑαυτοῖς. Ὅμηρος· Σάκε' ἄμοισιν ἔθεντο. ἀνόητον γὰρ τὸ, μεταξὺ πολεμίων ὄντας, μὴ περικεῖσθαι τὰ ὅπλα. τοῦτο δὲ εἶπεν ὅτι ἐν τῇ ὁδῷ τυχὸν ἐβάσταζον αὐτὰ, ὡς δ' εἰς τοὺς πολεμίους ἦλθον, ἐνεδύσαντο. 9. Τοῖς μὲν ἐπαγομένοις] τοῖς προδόταις. Ἔργου] φόνου δηλονότι. 10. Γνώμην] βουλήν. 11. Ἐπιτηδείοις] πρὸς φιλίαν. 12. Τὴν πόλιν] δηλονότι τῶν Ἀθηναίων. 13. Κατὰ τὰ πάτρια] ἔθη δηλονότι. 14. Ξυμμαχεῖν] τοῖς Θηβαίοις. Τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα] ἀντὶ τοῦ σὺν αὐτοῖς ὁπλίζεσθαι. 15. Σφίσι] τοῖς Θηβαίοις. Προσχωρή-

1. ἐναντίους e.
2. Καὶ προσποιῆσαι] Τεταττειν exponit Thom. Mag. in προσποιοῦμαι. Non necessaria hic est illa significatio τοῦ προσποιῆσαι. Duk.
4. προϊδότες d.
γὰρ] δὲ Q.
ἔσεται K.
5. ἐβούλοντο C.f.
ἔτι οὖσαν c.
6. μή που b.
καθεστηκότος G.
7. εἰσελθόντας L.O.
8. Θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα] Vide Vigerium, c. 5. sect. 11. Vales. ad Harpocr. p. 186. (Valcken. ad Herodot. 9. p. 717. Wesseling. ad Diodor. 1. p. 524. et 2. p. 428. Huds.
9. ἐπεγομένοις P. ἐπαγαγομένοις C.e.
ἄρχεσθαι Q.
10. ἐπὶ C.O.P.Q.e.
δὲ] τε g.h.
11. τε] om. N.
12. Ἀνεῖπεν] Pro ἀνεβόησε, Th. Magist. in ἀνεῖπον. Vid. Aristoph. Acharn. v. XI. Wass.

3. Primo territi Platæenses datas pacis conditiones accipiunt. Cum autem parvum Thebanorum numerum esse intellexissent, clam ad defensionem parati, eadem nocte sub diluculum eos adoriuntur.

τὴν πόλιν. * οἱ δὲ Πλαταιῆς ὡς ᾔσθοντο ἔνδον τε ὄντας τοὺς Θηβαίους καὶ ἐξαπιναίως κατειλημμένην τὴν πόλιν, καταδείσαντες καὶ νομίσαντες πολλῷ πλείους ἐσεληλυθέναι (οὐ γὰρ ἑώρων ἐν τῇ νυκτὶ) πρὸς ξύμβασιν ἐχώρησαν, καὶ τοὺς λόγους δεξάμενοι ἡσύχαζον, ἄλλως τε καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐνεωτέριζον. πράσσοντες δέ πως ταῦτα κατενόησαν οὐ πολλοὺς τοὺς Θηβαίους ὄντας, καὶ ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατῆσαι· τῷ γὰρ πλήθει τῶν Πλαταιῶν οὐ βουλομένῳ ἦν τῶν Ἀθηναίων ἀφίστασθαι. ἐδόκει οὖν ἐπιχειρητέα εἶναι, καὶ ξυνελέγοντο διορύσσοντες τοὺς κοινοὺς τοίχους παρ' ἀλλήλους, ὅπως μὴ διὰ τῶν ὁδῶν φανεροὶ ὦσιν ἰόντες, ἁμάξας τε ἄνευ τῶν ὑποζυγίων ἐς τὰς ὁδοὺς καθίστασαν, ἵν' ἀντὶ τείχους ᾖ, καὶ τἆλλα ἐξήρτυον, ᾗ ἕκαστον ἐφαίνετο πρὸς τὰ παρόντα ξύμφορον ἔσεσθαι. ἐπεὶ δὲ ὡς ἐκ τῶν δυνατῶν ἕτοιμα ἦν, φυλάξαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περίορθρον ἐχώρουν ἐκ τῶν οἰκιῶν ἐπ' αὐτοὺς, ὅπως μὴ κατὰ φῶς θαρσα-

σειν] προσνεύσειν. 2. Ἐξαπιναίως] ἀπροσδοκήτως. 5. Δεξάμενοι] παρὰ τῶν Θηβαίων. 6. Οὐδὲν ἐνεωτέριζον] οἱ Θηβαῖοι δηλονότι. Πως] κατά τινα τρόπον· συντακτέον δὲ οὕτω, πράσσοντες δὲ κατενόησαν πως. 8. Ἐπιθέμενοι] μετὰ βάρους ἐπελθόντες τοῖς Θηβαίοις. 9. Οὐ βουλομένῳ] Ἀττικὴ ἡ φράσις. 11. Τοὺς κοινοὺς τοίχους] τοὺς μεταξὺ τῶν οἰκιόντων. 13. Ἵν' ἀντὶ τείχους ᾖ] ἵνα μὴ ἐν ταῖς οἰκίαις μόνον ξυλλεγῶσι. 17. Κατὰ φῶς] ἐν τῷ

1. Οἱ δὲ Πλαταιῆς] Rem narrat Demosth. in Neæram p. 551. C. Wass. not. MS.

τε] om. L.O.P.

5. τοὺς] om. K.L.O.P.

7. τοὺς] om. K.

Conjectura Stephani, pro κρατῆσαι legentis κρατήσειν, confirmatur auctoritate Æneæ in Tactico cap. II. ubi in pauca contrahit narrationem Thucydidis. Duk.

10. γοῦν e.

13. καθίστασαν P.

ἀντι τοῦ τείχους L.O.P.

15. ὡς] om. I.L.O.e.

16. Φυλάξαντες—περίορθρον] Th. Magist. in ὀρθρεύω, qui τηρήσαντες ἔτι legit, contra MSS. In Schol. ad Οὐδὲν ἐνεωτ. pro Ἀθηναῖοι repone Θηβαῖοι. Wass. In Cass. hoc scholion refertur ad πράσσοντες, sed ne sic quidem recte, pro οἱ Πλαταιεῖς. Duk.

περὶ ὄρθρον B.h.

17. Ὅπως—ἐμπειρίας] Thom. Magister in εἰ. ubi etiam προσφέροιντο. Duk.

λευτέροις οὖσι προσφέρουται καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνονται, ἀλλ' ἐν νυκτὶ φοβερώτεροι ὄντες ἅσσους ὦσι τῆς σφετέρας ἐμπειρίας τῆς κατὰ τὴν πάλιν. προσέβαλόν τε εὐθὺς καὶ ἐς χεῖρας ἦσαν κατὰ τάχος. * οἱ δ' ὡς ἔγνωσαν ἠπατημένοι, ξυνεστρέφοντό τε ἐν σφίσιν αὐτοῖς, καὶ τὰς προσβολὰς, ἣ προσπίπτοιεν, ἀπεωθοῦντο. καὶ δὶς μὲν ἢ τρὶς ἀπεκρούσαντο, ἔπειτα πολλῷ θορύβῳ, αὐτῶν τε προσβαλλόντων, καὶ τῶν γυναικῶν καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων λίθοις τε καὶ κεράμῳ βαλλόντων, καὶ ὑετοῦ ἅμα διὰ νυκτὸς πολλοῦ ἐπιγενομένου, ἐφοβήθησαν, καὶ τραπόμενοι ἔφυγον διὰ τῆς πόλεως, ἄπειροι μὲν ὄντες οἱ πλείους, ἐν σκότῳ καὶ πηλῷ τῶν διόδων ἡ χρὴ σωθῆναι

4. Itaque impetu facto, multi ex Thebanis, viarum ignari, intra urbis muros occiduntur, præsertim cum ea ipsa porta, qua intraverant, a Platæensi quodam clausa esset; plurimi in ædificium, mu-

φωτί. 1. Σφίσιν ἐκ τοῦ ἴσου γίγνονται] ἰσοπαλὴς ἡ μάχη γένηται. 2. Φοβερώτεροι] φοβερότεροι, οἱ Θηβαῖοι. σφετέρας δὲ, τῆς Πλαταιέων. 3. Προσέβαλον] προσέπεσον. 5. Ἐξηπατημένοι] καθὸ ἀνέμιμναν προσχωρήσειν αὐτοῖς τοὺς Πλαταιεῖς. 6. Τὰς προσβολὰς] τῶν Πλαταιέων. Ἢ] τὸ ἤ ἀντὶ τοῦ ὅπου. 7. Αὐτῶν] τῶν ἀνδρῶν δηλονότι. 12. Ἄπειροι] ἀδίδακτοι. 13. Ἢ]

1. προσφέρουτο C.I.L.O.P.b.e. γίγνοιντο I.L.Q.

2. Φοβερώτεροι ὄντες] Auctor Etym. M. φοβερὸς, ὁ φοβούμενος, παρὰ Θουκυδίδῃ. Sic et Suidas, qui addit καὶ παρὰ Φερεκράτει καὶ Ἀβδιασῇ. Dux.

3. τὴν] om. L.O.P.g.

προσέβαλόν] A.e.g. προσεβάλλοντό N. vulgo προσέβαλλόν.

4. τε] δ' N.

5. ἠπατημένοι A.B.F.H.K.N. d.g.h.i. ceteri ἐξηπατημένοι.

6. ἤ] οἳ c.

8. τε] om. g.

προσβαλλόντων g. ceteri προσβαλόντων.

ἑαυτῶν K.

9. ἀπὸ τῶν οἰκιῶν] om. L.O.P. Ἀπὸ τῶν οἰκιῶν] Sic. III. 74. βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ. Itaque hæc non recte a quibusdam MSS. absunt. Æneas l. d. ἡ γύναια καὶ οἱ οἰκέται ἦσαν ἐπὶ ταῖς κεράμοις, quod Casaubonus vertit, *in tectis stabant*. Κέραμον pro tecto dici docet Pollux VII. 162. Sed quæro, quis ἡ κέραμος dixerit. Dux.

Κραυγῇ — βαλλόντων] Theon Progymn. p. 55. qui κεράμους inemendate legit. infra l. 13. pro σκότῳ Cl. σκότει, ex adscripto ι error. Wass. Tamen etiam ita Æneas l. d. et Theon eadem declinatione διά τε πηλοῦ καὶ σκότους. Dux.

10. βαλόντων A.

11. νυκτὸς γενομένου β.

12. ἔφευγον C.I.L.O.

13. σκότει N. cum Æneæ Tact. 2. Conf. Pierson. ad Mœr. p. 355.

καὶ πηλῷ] om. e. καὶ πολλῷ πηλῷ L.

ro impositum, concurrentes se dedunt, viviquе capiuntur.

(καὶ γὰρ τελευτῶντος τοῦ μηνὸς τὰ γιγνόμενα ἦν), ἐμπείρους δὲ ἔχοντες τοὺς διώκοντας τοῦ μὴ ἐκφεύγειν ὥστε διεφθείροντο πολλοί. τῶν δὲ Πλαταιῶν τις τὰς πύλας, ἣ ἐσῆλθον καὶ αἴπερ ἦσαν ἀνεῳγμέναι μόναι, ἔκλεισε στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος ἐς τὸν μοχλόν, ὥστε μηδὲ ταύτῃ ἔτι ἔξοδον εἶναι. διωκόμενοί τε κατὰ τὴν πόλιν, οἱ μέν τινες αὐτῶν ἐπὶ τὸ τεῖχος ἀναβάντες ἔρριψαν ἐς τὸ ἔξω σφᾶς αὐτοὺς, καὶ διεφθάρη-

ησαν. 1. Τελευτῶντος τοῦ μηνὸς] γινόμενος ἦν ὁ πάλεμος φθινούσης σελήνης. τοῦ κατὰ σελήνην λέγει μηνός. τουτέστιν ἐν συνόδῳ. 5. Στυρακίῳ] στυράκιον λαβών τις, φησὶ, τῶν Πλαταιέων ἐν τῷ μοχλῷ τῆς θύρας ἐνέβαλεν. Ἀντὶ βαλάνου] βάλανος δέ ἐστι τὸ βαλλόμενον εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. ὅθεν καὶ ἡ κλεὶς καλεῖται βαλανάγρα παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. εἰκὸς δὲ ταύτας τὰς πύλας οὕτως ἠμελῆσθαι, ὡς εἰρήκην ἀγόντων αὐτῶν καὶ οὐ δεδοικότων ἐπιβουλήν. ἄλλοι δὲ τὸ στυράκιον ἔλαβον τὸ ξύλον τοῦ ἀκοντίου, ἀνοήτως. πᾶν μὲν γὰρ οὐκ ἐδύνατο ἐν τῷ μοχλῷ κατακρυφθῆναι· εἰ δὲ ὑπερεῖχεν, ἀνεσπάσθη ἂν ὑπό τινος τῶν Θηβαίων. Ἄλλως. στυράκιόν ἐστιν ὁ καλούμενος σαυρωτὴρ τῶν δοράτων.

2. ἐκφυγεῖν f.

3. πολλοὶ A. vulgo οἱ πολλοί.

δὲ] τε H.K.N.Q.f.g.h.i.

4. μόναι] om. b. ante ἀνεῳγμέναι ponunt C.L.O.P.e.

5. Στυρακίῳ] Sic legit atque explicat Eustath. Il. κ'. 795. item Theon Progymn. 55. Pollux X. 27. εἰς τὸν Harpocrat. p. 324. antea ἐς. Vid. Athenæum. Hesych. exponit λόγχην. Etymol. corrupte ἀκοντίῳ. Vid. eundem in σαυρωτὴρ, et Suidam, qui locum adducit. Ab arbore nomen tractum ait Eustath. ad Il. β'. 281. φυτὸν, ἐξ οὗ τὰ ἀκοντίσματα ἐοικότα τοῖς κρανείνοις. Et bona bello cornus. Adi Stapelium ad Theophrast. θηλυκῶς θυμίαμα inquit Ammonius p. 72. χρησάμενον Theon. Wass. Sed Theon obliqua oratione utitur. Vid. etiam, quæ de voc. στύραξ et στυράκιον habent Casaub. ad Æneam Tactic. cap. XVIII. et Bochart. Hieroz. II. 4. 12. et de βάλανος Casaub. ibid. et Salmas. ad Solin. p. 650. Athenæi locum hic significari puto eum, qui est lib. XII. p. 514. ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες. Εἰς, quod hic pro ἐς edi voluit Wass., habent etiam Suidas in στύραξ, et Theon. sed veteres in laudandis verbis Thucydidis Attica illa ἐς, ξύν, et alia plerumque mutant in communia. Pollux ἐς retinet cum MSS. Thucydidis. Dux.

6. μὴ, omissa δὲ B.

ἔτι] om. Q.c. post εἶναι ponit A. post ἔξοδον C.L.O.P.e.

τε A.B.H.K.N.Q.c.f.g.h.i. vulgo δὲ.

7. τὴν] om. g.

8. τὰ g.

σαν οἱ πλείους, οἱ δὲ κατὰ πύλας ἐρήμους, γυναικὸς δούσης πέλεκυν, λαβόντες καὶ διακόψαντες τὸν μοχλὸν ἐξῆλθον οὐ πολλοὶ (αἴσθησις γὰρ ταχεῖα ἐπεγένετο), ἄλλοι δὲ ἄλλη τῆς πόλεως σποράδην ἀπώλλυντο. τὸ δὲ πλεῖστον καὶ ὅσον μάλιστα ἦν ξυνεστραμμένον, ἐσπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ τείχους καὶ αἱ πλησίον θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῦ, οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι καὶ ἄντικρυς δίοδον ἐς τὸ ἔξω. ὁρῶντες δ' αὐτοὺς οἱ Πλαταιῆς ἀπειλημμένους, ἐβουλεύοντο εἴτε κατακαύσωσιν ὥσπερ ἔχουσιν, ἐμπρήσαντες τὸ

1. Ἐρήμους] ἀφυλάκτους. 3. Ἐπεγένετο] τοῖς Πλαταιεῦσι. 5. Ξυνεστραμμένον] ὁμοῦ συνηγμένον. 6. Εἰς οἴκημα] πύργος ἦν τοῦ τείχους, ἔχων ἔνδοθεν ἀπὸ τῆς πόλεως εἴσοδον, οὐκέτι δὲ καὶ ἔξοδον. 7. Πύλας] θύρας αἱ τοῦ οἴκου, πύλαι αἱ τοῦ τείχους. 8. Ἄντικρυς] τὸ ἄντικρυς ἐνταῦθα μὲν ἐξεναντίας, ἀεὶ δὲ ἐπὶ τοῦ φανεροῦ κεῖται. 9. Ἀπειλημμένους] περι-

1. Πύλας ἐρήμους] Agnoscit Suidas et ad Schol. respicit, qui nescio an hic satis recte distinguat. Phœnix, canes suos πυλαώρους vocat, et Apollonius aulæ regiæ fores, πύλας. Denique θυρωρὸς, ὁ τῶν πυλῶν φύλαξ juxta Etymologum, et θυραυλοῦν dicuntur, qui extra urbem in stativis agunt. Dionys. Halic. IX. 15. Hesych. πύλη, θύρα. Rem extra dubium ponit Sophocles Œd. Tyr. 1268. videatur Theon p. 65. 76. 89. Wass.

2. λαβόντες g.

3. οὐ] οἱ C.

4. σποράδες C.I.

ἀπώλυντο I.

Σποράδην] Σποράδες maxime placet. Wass.

5. ξυνεσταμένων c. διεστραμμένον K.

6. Οἴκημα] Citat Pollux ex III. Lib. corrupte, omittit μέγα, et δεσμωτήριον, non ut Schol. πύργον, interp. et idem fere Hesychius. Hoc sensu Dinarchus et Æsch. apud Harpocrat. p. 259.

ejusque compilatorem Suidam. Apud Herodotum I. et Pindarum Ol. II. 16. pro cubiculo, et urbis sedibus, et certe pro cella Aristot. περὶ θαυμ. p. 93. minus Attice οἰκία. De altera vocis apud Pollucem significatione vide Xenoph. Mem. II. 741. Harpocrat. Ælian. VI. 1. et Ezek. xvi. 23. Wass. Add. Jungerm. ad Polluc. IX. 45. Duk.

πλησίον recepi ex A.B.F.G.H. K.N.Q.c.d.f.g.h.i.

7. θύραις B.

ἐτύγχανον Q.

8. εἶναι οἰκήματος, omisso articulo, L.O.P.

ἀντικρὺ Schol. Platon. p. 89.

9. δ' αὐτοὺς οἱ πλατ. B.C.b.e. δὲ οἱ πλατ. αὐτοὺς A.F.G.H.K.c. d.h.i. δὲ οἱ πλατ. omisso pronomine f.g. vulgo αὐτοὺς δὲ οἱ πλατ.

10. εἴτι C.

κατακαύσωσιν A.B.I.K.b.c.f.g. καύσωσιν C. καὶ κακαύσουσιν L.O. vulgo κατακαύσουσιν.

ἔχωντες L.

οἴκημα, εἴτε τι ἄλλο χρήσωνται. τέλος δὲ οὗτοί τε καὶ ὅσοι ἄλλοι τῶν Θηβαίων περιῆσαν κατὰ τὴν πόλιν πλανώμενοι, ξυνέβησαν τοῖς Πλαταιεῦσι παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα, χρήσασθαι ὅ τι ἂν βούλωνται. οἱ μὲν δὴ ἐν τῇ Πλαταίᾳ οὕτως ἐπεπράγεσαν.

5. Majores Thebanorum copiæ, illis in subsidium missæ, pluvia retardantur in itinere, et Asopo, qui erat transeundus. Certiores facti de cæde suorum et fortuna reliquorum, conditiones, a Plataeensibus propositas, accipiunt domumque revertuntur, pacti tantummodo

* Οἱ δὲ ἄλλοι Θηβαῖοι, οὓς ἔδει ἔτι τῆς νυκτὸς παραγενέσθαι παυστρατιᾷ, εἴτι ἄρα μὴ προχωροίη τοῖς ἐσεληλυθόσι, τῆς ἀγγελίας ἅμα καθ' ὁδὸν αὐτοῖς ῥηθείσης περὶ τῶν γεγενημένων ἐπεβοήθουν. ἀπέχει δ' ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα, καὶ τὸ ὕδωρ τὸ γενόμενον τῆς νυκτὸς ἐποίησε βραδύτερον αὐτοὺς ἐλθεῖν· ὁ γὰρ Ἀσωπὸς ποταμὸς ἐρρύη μέγας καὶ οὐ ῥαδίως διαβατὸς ἦν. πορευόμενοί τε ἐν ὑετῷ, καὶ τὸν ποταμὸν μόλις διαβάντες, ὕστερον παρεγένοντο, ἤδη τῶν ἀνδρῶν τῶν μὲν διεφθαρμένων, τῶν δὲ ζώντων ἐχομένων. ὡς δ' ἠσθοντο οἱ Θηβαῖοι τὸ γεγενημένον, ἐπεβούλευον τοῖς ἔξω τῆς πόλεως τῶν Πλαταιῶν· ἦσαν γὰρ καὶ ἄνθρωποι κατὰ τοὺς ἀγροὺς καὶ κατασκευὴ, οἷα ἀπροσδοκήτου κακοῦ ἐν εἰρήνῃ γενομένου· ἐβούλοντο γὰρ σφίσιν, εἴ τινα λάβοιεν,

εἰργμένους. 2. Περιῆσαν] ἔξω. 3. Ξυνέβησαν τοῖς Πλαταιεῦσι] ἀπὸ συνθήκης δηλονότι. 5. Οὕτως ἐπεπράγεσαν] ἐδυστύχησαν. 8. Ἅμα] τὸ ἅμα πρὸς τὸ ἐπεβοήθουν. 15. Ἐχομένων] κρατηθέντων. 16. Τὸ γεγενημένον] κατὰ τὴν πόλιν δηλονότι. 18. Καὶ κατασκευὴ] πραγματικὴ

1. τι] ὅτι F.H.I.L.O.
χρήσωνται A.B.C.K.c.d.f.g. ceteri χρήσονται.
2. ὅσοι] om. O.
3. παραδοῦναι σφᾶς αὐτοὺς A.B.F.G.H.c.d.f.g.h.i. παραδοῦναι σφᾶς τε αὐτοὺς C.L.O.P. vulgo σφᾶς τε αὐτοὺς παραδοῦναι.
4. τὰ] om. C.P.e.
ὅτι βούλονται b.f.
5. δὴ] οὖν L.d.
6. ἔτι om. N.
7. προσχωροίη A.B.F.H.N.b. ἐπεληλυθόσι L.O.P.
9. ἐβοήθουν C.e.
11. τῆς] om. L.P.
αὐτοὺς βραδυτέρους L.O.P.
12. ποταμὸς] om. c.
16. τὰ γεγενημένα f.
τοῖς] om. i.
18. παρασκευὴ c.
οἱ P.
19. ἐβούλοντο A.C.b.c.f. ceteri ἠβούλοντο.
Ἐβούλοντο] Sic loquuntur Scriptores probatissimi, non ἠβουλό-

ὑπάρχειν ἀντὶ τῶν ἔνδον, ἢν ἄρα τύχωσί τινες ἐζωγρημένοι. καὶ οἱ μὲν ταῦτα διενοοῦντο· οἱ δὲ Πλαταιῆς, ἔτι διαβουλευομένων αὐτῶν ὑποτοπήσαντες τοιοῦτόν τι ἔσεσθαι, καὶ δείσαντες περὶ τοῖς ἔξω, κήρυκα ἐξέπεμψαν παρὰ τοὺς Θηβαίους, λέγοντες ὅτι οὔτε τὰ πεποιημένα ὁσίως δράσειαν, ἐν σπονδαῖς σφῶν πειραθέντες καταλαβεῖν τὴν πόλιν, τά τε ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν. εἰ δὲ μή, καὶ αὐτοὶ ἔφασαν αὐτῶν τοὺς ἄνδρας ἀποκτενεῖν, οὓς ἔχουσι ζῶντας· ἀναχωρησάντων δὲ πάλιν ἐκ τῆς γῆς ἀποδώσειν αὐτοῖς τοὺς ἄνδρας. Θηβαῖοι μὲν ταῦτα λέγουσι, καὶ ἐπομόσαι φασὶν αὐτούς· Πλαταιῆς δ' οὐχ ὁμολογοῦσι τοὺς ἄνδρας εὐθὺς ὑποσχέσθαι ἀποδώσειν, ἀλλὰ λόγων πρῶτον γενομένων, ἤν τι ξυμβαίνωσι, καὶ ἐπομόσαι οὗ φασιν. ἐκ δ' οὖν τῆς γῆς ἀνεχώρησαν οἱ Θηβαῖοι οὐδὲν ἀδικήσαντες· οἱ δὲ Πλαταιῆς, ἐπειδὴ τὰ ἐκ τῆς χώρας κατὰ τάχος ἐσεκομίσαντο, ἀπέκτειναν τοὺς ἄνδρας εὐθύς. ἦσαν δὲ ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέν-

do (ut ipsi, negantibus Platæensibus, asseverant,) captivorum restitutionem. At hi statim post illorum discessum a Platæensibus cæsi sunt omnes.

ὕλη. 1. Ὑπάρχειν ἀντὶ τῶν ἔνδον] λείπει ἐνέχυρον. 6. Ἐν σπονδαῖς] ταῖς τριακοντούτεσιν. 7. Αὐτοῖς] τοῖς Θηβαίοις. 11. Φασὶν αὐτούς] οἱ Θηβαῖοι τοὺς Πλαταιεῖς. 12. Εὐθύς] τὸ εὐθὺς οὐκ ἔστι παραχρῆμα, ἀλλ' ἐξ εὐθείας καὶ ἀσκόπως. 13. Ξυμβαίνωσι] συμφωνῶσιν. 14. Τῆς γῆς] τῶν Πλαταιέων. 15. Ἀδικήσαντες] βλάψαντες τῶν Πλαταιέων. 16. Εἰσ-

μεν, nec ἠδύναμην, si quid Thom. Magistro credimus. At Joann. Grammaticus et Corinthus dicunt Atticos in his η pro ε ponere. Duk.

1. τῶν] τοῦ L.O.
4. κήρυκας L.O.e.
5. οὔτε om. P.
6. ὅσια C.I.L.O.P.b.
πειράσαντες C.I.L.O.e.
Πειραθέντες] Thom. Magist. in πειρῷ, Mœris p. 36. et Index. Wass.
8. ἀποκτείνειν C.
12. εὐθὺς] om. K.h. αὐτοῖς G.
13. πρώτων I.
τι] τινα B.h.
14. δ' οὖν A.B.C.F.H.K.L.O. c.e.f.g.h.i. vulgo γοῦν.
16. ἐκ τῆς] αὐτῆς c.
ἐκομίσαντο d.i.
Ἀπέκτειναν τοὺς ἄνδρας] Cum Thucydide pugnat Diodorus, qui captivos non jugulatos, sed receptos fuisse tradit, p. 308. Ed. Steph. Huds.

τες, καὶ Εὐρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες. * τοῦτο δὲ ποιήσαντες ἔς τε τὰς Ἀθήνας ἄγγελον ἔπεμπον, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Θηβαίοις, τά τ' ἐν τῇ πόλει καθίσταντο πρὸς τὰ παρόντα, ᾗ ἐδόκει αὐτοῖς. τοῖς δ' Ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ περὶ τῶν Πλαταιῶν γεγενημένα, καὶ Βοιωτῶν τε παραχρῆμα ξυνέλαβον ὅσοι ἦσαν ἐν τῇ Ἀττικῇ, καὶ ἐς τὴν Πλάταιαν ἔπεμψαν κήρυκα, κελεύοντες εἰπεῖν μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν οὓς ἔχουσι Θηβαίων, πρὶν ἄν τι καὶ αὐτοὶ βουλεύσωσι περὶ αὐτῶν· οὐ γὰρ ἠγγέλθη αὐτοῖς ὅτι τεθνηκότες εἶεν. ἅμα γὰρ τῇ ἐσόδῳ γιγνομένῃ τῶν Θηβαίων ὁ πρῶτος ἄγγελος ἐξῆλθε, ὁ δὲ δεύτερος ἄρτι νενικημένων τε καὶ ξυνειλημμένων· καὶ τῶν ὕστερον οὐδὲν ἤδεσαν. οὕτω δὴ οὐκ εἰδότες οἱ Ἀθηναῖοι ἐπέστελλον· ὁ δὲ κήρυξ ἀφικόμενος εὗρε τοὺς ἄνδρας διεφθαρμένους. καὶ μετὰ ταῦτα οἱ Ἀθηναῖοι στρατεύσαντες ἐς

6. Hoc factum erat, priusquam Athenis, quo has res statim nuntius pertulerat, præco venisset cum monito, ut captivos vivos conservarent. Athenienses præsidium Plateis imponunt, mulieresque, pueros, et senes ex urbe dimittunt.

ἐκομίσαντο] συνέκλεισαν. 1. Πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες] πρὸς ὃν ἐλθόντες οἱ προδιδόντες ἔπραξαν τὰ κατὰ σκοπόν. 2. Ἄγγελον ἔπεμπον] ὅτι ἐφώνευσαν Θηβαίους. λέγει δὲ τρίτον τοῦτον· τὸν γὰρ πρῶτον ἀπέστειλαν δηλοῦντα τὴν εἰσβολὴν Θηβαίων, τὸν δὲ δεύτερον τὴν σύλληψιν αὐτῶν, τοῦτον δὲ δηλοῦντα τὴν ἀναίρεσιν. 4. Ἐν τῇ πόλει] τῇ Πλαταίᾳ. Καθίσταντο] τουτέστι πρὸς πολιορκίαν ἠτρεπίζοντο, φκονόμουν, ἅπερ καὶ ἐγένετο μετ' ὀλίγον. 7. Ἐν τῇ Ἀττικῇ·] γῇ θηλυκότι. 10. Περὶ αὐτῶν] τῶν κατασχεθέντων θηλυκότι. Οὐ γὰρ ἠγγέλθη αὐτοῖς] τοῖς Ἀθηναίοις θηλυκότι. οὔπω ἦν ὁ τρίτος ἄγγελος ἐλθών. 13. Καὶ τῶν ὕστερον οὐδὲν ἤδεσαν] τοῦτο καθ' ἑαυτὸ ἀναγιγνωσκέσθω. ἐὰν γὰρ τοῖς ἀνωτέρω ἐπισυναφθῇ, δοκεῖ ἀσύντακτον εἶναι. ὤφειλε γὰρ εἰπεῖν αἰτιατικῶς, εἰ πρὸς τὸν ἄγγελον τὸν λόγον ἐποιεῖτο. πρὸς ὃ λέγομεν, ὅτι πρὸς τοὺς Ἀθηναίους ἐστὶν ὁ λόγος. φησὶ γὰρ ὅτι αὐτοὶ, στείλαντες τοὺς περὶ τούτου δύο ἀγγέλους, οὐδὲν ἔτι τῶν συμβησομένων ἐπίσταντο. μέχρι οὖν παντὸς τοῦ ἔργου ἀποβάντος καὶ τὸν τρίτον ἀπέστειλαν. 15. Ὁ δὲ κήρυξ] τῶν Ἀθηναίων. 16. Στρατεύσαντες] τὸ στρατεύσαντες ἰδίως

1. εἷς]. om. C.L.O.e.
4. τῇ] om. C.
6. περὶ A.F.H.K.Q.g. ceteri παρά.
8. κελεύωντες εἰπεῖν A.B.F.H. N.h. vulgo κελεύωντες αὐτοῖς εἰπεῖν.
μὴ δὲ O.
9. ἔχωσι C.K.
10. βουλεύσωνται. F.
14. δὴ] om. i.
ἀπέστελλαν I.L.O.P.e.f.

Πλάταιαν σῖτόν τε ἐσήγαγον καὶ φρουροὺς ἐγκατέλιπον, τῶν τε ἀνθρώπων τοὺς ἀχρειοτάτους ξὺν γυναιξὶ καὶ παισὶν ἐξεκόμισαν.

7. Quibus factis, jam utraque pars bellum cummaxime parat, et necessaria ad bellum, socios, arma, argentum.

* Γεγενημένου δὲ τοῦ ἐν Πλαταιαῖς ἔργου, καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν, οἱ Ἀθηναῖοι παρεσκευάζοντο ὡς πολεμήσοντες. παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν, πρεσβείας τε μέλλοντες πέμπειν παρὰ βασιλέα καὶ ἄλλοσε ἐς τοὺς βαρβάρους, εἴ ποθέν τινα ὠφελίαν ἤλπιζον ἑκάτεροι προσλήψεσθαι, πόλεις τε ξυμμαχίδας ποιούμενοι, ὅσαι ἦσαν ἐκτὸς τῆς ἑαυτῶν δυνάμεως. καὶ Λακεδαιμονίοις μὲν, πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις ἐξ Ἰταλίας καὶ Σικελίας τοῖς

νῦν εἴρηται, ἀντὶ τοῦ μετὰ στρατιᾶς ἀφικόμενοι· οὐ γὰρ, ὡς ἔθος, ἐπὶ πολέμου. τῷ αὐτῷ δὲ τρόπῳ χρόμενοι οἱ Ἀθηναῖοι ἠμείψαντο καὶ αὐτοὶ τοὺς Πλαταιέας, καὶ ἔπεμψαν τά τε πρὸς τροφὴν συντελοῦντα καὶ δὴ καὶ τὰ πρὸς ἀσφάλειαν, καὶ ὑπεδέξαντο τὰς γυναῖκας αὐτῶν καὶ τοὺς παῖδας μετὰ τῶν ἀχρειοτάτων ἀνθρώπων. φησὶ δὲ τοιούτους τοὺς μὴ δυναμένους δηλονότι ἐξελθεῖν εἰς πόλεμον, οἷον τοὺς νοσοῦντας, τοὺς γέροντας. 1. Ἐγκατέλιπον] ἀντὶ τοῦ ἐν τῇ Πλαταίᾳ κατέλιπον, οἵτινες καὶ συνεπολιορκήθησαν Πλαταιεῦσι. 2. Τοὺς ἀχρειοτάτους] τοὺς ἀχρήστους πρὸς πόλεμον. 5. Λαμπρῶς] φανερῶς, ἀναμφισβητήτως. τὸ ἐξῆς οὕτω, παρεσκευάζοντο πέμπειν πρεσβείας, εἴποθεν ἤλπιζον ἑκάτεροι ὠφέλειαν προσλήψεσθαι. 7. Πρεσβείας τε μέλλοντες πέμπειν] περὶ ἀμφοτέρων λέγει, Λακεδαιμονίων καὶ Ἀθηναίων δηλονότι. 8. Καὶ ἄλλοσε ἐς τοὺς βαρβάρους] οἱ μὲν Λακεδαιμόνιοι πρὸς τοὺς Πέρσας, οἱ δὲ Ἀθηναῖοι πρὸς τοὺς Θρᾷκας. καὶ γὰρ ἐν τῇ ἀρχῇ τῆς πρώτης λέγει " καὶ μέρει τινὶ τῶν βαρβάρων." 10. Ὅσαι ἦσαν ἐκτὸς τῆς] Ὅσαι μὴ ἦσαν ὑπήκοοι,

1. πλαταιέαν C. qui sic pluribus locis.
φρουρὰν Q.
4. γενομένου L.O.P.
5. Λαμπρῶς] Agnoscit Suidas h. v. et Schol. sequitur. Glossæ clare. Dion. Halic. Antiq. IX. 25. λαμπρῶς ἠγωνίσαντο, καὶ ἀνέπνευσαν ἐκ τοῦ δέους. Sic fere Hippocrates Prorrh. II. p. 416. Synes. Ep. LXVII. et III. in malam partem, ut hic et alibi apud Nostrum. Horatius audacter, " splendide *mendax*." Ita, " *probe* madidus" et similia, quæ Comice dici solent, ut καλὴν δικὴν apud Aristophanem. Wass.
παρεσκευάζοντο ὡς πολεμήσοντες] om. L.O.P.
6. οἱ] om. C.P.e.
7. αὐτῶν] om. C.L.O.P.e.
8. ἐς] πρὸς C.I.L.O.P.e.
9. ὁπόθεν Q.
10. συμμαχίδας i.
11. λακεδαιμόνιοι B.L.O.
12. αὐτῶν] I.

τἀκείνων ἑλομένοις, ναῦς ἐπετάχθησαν ποιεῖσθαι κατὰ μέγεθος τῶν πόλεων, ὡς ἐς τὸν πάντα ἀριθμὸν πεντακοσίων νεῶν ἐσομένων, καὶ ἀργύριον ῥητὸν ἑτοιμάζειν, τά τ' ἄλλα ἡσυχάζοντας καὶ Ἀθηναίους δεχομένους μιᾷ νηΐ, ἕως ἂν ταῦτα παρασκευασθῇ. Ἀθηναῖοι δὲ τήν τε ὑπάρχουσαν ξυμμαχίαν ἐξήταζον, καὶ ἐς τὰ περὶ Πελοπόννησον μᾶλλον χωρία ἐπρεσβεύοντο, Κέρκυραν καὶ Κεφαλληνίαν καὶ Ἀκαρνᾶνας καὶ Ζάκυνθον, ὁρῶντες, εἰ σφίσι φίλια ταῦτ' εἴη, βεβαίως περιξ τὴν Πελοπόννησον καταπολεμήσοντες. * ὀλίγον τε ἐπενόουν οὐδὲν ἀμφότεροι, ἀλλ' ἐῤῥωντο ἐς τὸν πόλεμον, οὐκ ἀπεικότως· ἀρχόμενοι γὰρ πάντες ὀξύτερον ἀντιλαμβάνονται, τότε δὲ καὶ νεότης πολλὴ μὲν οὖσα ἐν τῇ Πελοποννήσῳ, πολλὴ δ' ἐν ταῖς Ἀθήναις, οὐκ ἀκουσίως ὑπὸ ἀπειρίας ἥπτετο τοῦ πολέμου, ἥ τε ἄλλη Ἑλλὰς πᾶσα μετέωρος ἦν ξυνιουσῶν τῶν πρώτων πόλεων. καὶ πολλὰ μὲν λόγια ἐλέγετο, πολλὰ

8. Omnes autem homines per totam Græciam magno impetu in hoc bellum ruebant; oracula et vaticinia multa canebantur.

ἀλλ' αὐτόνομοι. 2. Ὡς ἐς τὸν πάντα ἀριθμὸν] μετὰ τῶν ἐν Λακεδαίμονι οὐσῶν νεῶν. 3. Ῥητὸν] ὡρισμένον. Ἑτοιμάζειν] ἐπετάχθη δηλονότι. 4. Μιᾷ νηΐ] μετὰ κηρυκείου δηλονότι. 5. Ταῦτα] τὰ ὡρισμένα κατὰ τὸν πόλεμον. 6. Ἐξήταζον] ἐδοκίμαζον. 7. Ἐπρεσβεύοντο] πρίσβεις ἀπέστελλον. Κέρκυραν] οἱ γὰρ Κερκυραῖοι ἐπιμαχίαν μόνον εἶχον. νῦν δὲ καὶ ξυμμαχίαν ποιεῖ. 10. Ὀλίγον τε ἐπενόουν οὐδέν] ἀντὶ τοῦ οὐδὲν μικρὸν ἐφρόνουν. 11. Οὐκ ἀπεικότως] ἀλλ' εὐλόγως καὶ εὐπροσώπως. 12. Ὀξύτερον] ὥστε διὰ τοῦτο μᾶλλον ὀξύτερον συνέβαινεν αὐτοὺς ἀντιλαμβάνεσθαι. Ἀντιλαμβάνονται] περιέχονται. 14. Ἡ ἀπειρίας] παροιμία, γλυκὺς ἀπείρῳ πόλεμος. 15. Ἡ τε ἄλλη Ἑλλὰς] οἱ ἄλλοι Ἕλληνες οἱ μηδετέροις βοηθοὶ ἐκεκίνηντο καὶ οὐχ ἡσύχαζον. Μετέωρος ἦν] ταῖς ἐλπίσι δηλονότι. 16. Λόγια] λόγιά ἐστι τὰ παρὰ τοῦ θεοῦ λεγόμενα καταλογάδην, χρησμοὶ δὲ,

1. ἐτάχθησαν L. ἐπετάχθη I.
2. ὥστε τὸν C.I.L.Q.e.
3. ἑτοιμάζειν] ἑνομάζειν c.
6. περὶ] om. K.
7. κεφαληνίαν C.
12. ἀντελαμβάνοντο I.L.O.P.e.
14. ἀπὸ e.
τοῦ πολέμου] πόλεων K.
15. ἅπασα C.I.L.O.e.
Μετέωρος] Agnoscit Suidas h. v. et exempla ex Josepho aliisque adducit. Wass.
συνιουσῶν H.e.f.i.
16. ἐλέγοντο A.B.F.c.d.f.h. ἔλεγον H.K.g.

δὲ χρησμολόγοι ᾖδον ἔν τε τοῖς μέλλουσι πολεμήσειν καὶ ἐν ταῖς ἄλλαις πόλεσιν. ἔτι δὲ Δῆλος ἐκινήθη ὀλίγον πρὸ τούτων, πρότερον οὔπω σεισθεῖσα ἀφ' οὗ Ἕλληνες μέμνηνται· ἐλέγετο δὲ καὶ ἐδόκει ἐπὶ τοῖς μέλλουσι γενήσεσθαι σημῆναι. εἴ τέ τι ἄλλο τοιουτότροπον ξυνέβη γενέσθαι, πάντα ἀνεζητεῖτο. ἡ δὲ εὔνοια παρὰ πολὺ ἐποίει τῶν ἀνθρώπων μᾶλλον ἐς τοὺς Λακεδαιμονίους, ἄλλως τε καὶ προειπόντων ὅτι τὴν Ἑλλάδα ἐλευθεροῦσιν. ἔῤῥωτό τε πᾶς καὶ ἰδιώτης καὶ πόλις, εἴ τι δύναιτο καὶ λόγῳ καὶ ἔργῳ ξυνεπιλαμβάνειν αὐτοῖς· ἐν τούτῳ τε κεκωλῦσθαι ἐδόκει

οἵτινες ἐμμέτρως λέγονται, θεοφορουμένων τῶν λεγόντων. 3. Πρότερον οὔπω] καὶ μὴν Ἡρόδοτος λέγει ὅτι ἐκινήθη ἐν τοῖς Μηδικοῖς. Ἀφ' οὗ Ἕλληνες μέμνηνται] ἀφ' οὗ διὰ μνήμης ἐστὶ τὸ τῶν Ἑλλήνων ὄνομα. 5. Σημῆναι] σημεῖον εἶναι. Τοιουτότροπον] ὁποῖον ἐν Δήλῳ, ἤγουν διοσημείαν. 6. Ἀνεζητεῖτο] ἀνεσκοπεῖτο. Ἡ δὲ εὔνοια παραπολὺ ἐπῄει τῶν ἀνθρ.] περιφραστικῶς, ἀντὶ τοῦ εὐνοϊκῶς εἶχον τοῖς Λακεδαιμονίοις. 7. Μᾶλλον] τῶν Ἀθηναίων. 8. Ἔῤῥωτό τε πᾶς] ἀντὶ τοῦ προεθυμεῖτο· οὐ γὰρ ἐπὶ ἰσχύος κεῖται, ἀλλ' ἐπὶ σπουδῆς. 10. Αὐτοῖς] τοῖς Λακεδαιμονίοις. Ἐδόκει ἑκάστῳ] ἕκα-

2. ἐν] om. G.

ὀλίγον A.B.C.I.K.N.d.e.f.h.i. ὀλίγων c. om. G. vulgo ὀλίγῳ.

Ὀλίγῳ] Ὀλίγον, Cl. Gr. sed ὀλίγῳ πρὸ τούτων alibi apud Thucyd. Cæterum fallitur Schol. Callimachi, ut inspicienti patebit. Denique voces ὀλίγῳ πρὸ τούτων non possunt extendi ad Medici belli tempora, hoc est Per. Jul. 4224. cum secundus annus hujusce belli cadat in 4284. Itaque Noster prioris istius motus oblitus est. vid. Herodot. VI. 98. Plin. IV. 12. Ad Marci Varronis ætatem Mucianus prodidit BIS concussam. Seneca N. Q. VI. 26. Thucydides ait, *circa* Peloponnesiacum bellum tremuisse. Callisthenes et alio tempore ait hoc accidisse. Vel legendum, οὐχ οὕτω σεισθεῖσα. Wass.

3. Σεισθεῖσα] Hoc spectant Schol. Aristoph. Acharn. v. 12. et Schol. Callimach. Hymn. in Del. v. 11. Wass. Add. Spanhem. ad Callim. l. d. et Cerd. ad Virgil. III. Æneïd. v. 77. Duk.

οἱ ἕλληνες O.

5. ἄλλον d.

6. παρὰ πολὺ] πολλὴ e.

ἐποίει A.B.C.H.b.c.f.g.

9. πόλις] πολίτης A.B.h.

Πολίτης] Fortassis præferendum est πόλις, quod est in plerisque MSS. et Edit. Nam Thucydides ἰδιώτῃ magis opponit πόλιν, quam πολίτην. Vid. I. 124. et 144. II. 65. Καὶ λόγῳ—αὐτοῖς. Thom. Mag. in συλλαμβάνει. Duk.

10. τε] δὲ K.

Ἐν τούτῳ] Non multo aliter Thucydid. IV. 14. Καὶ ἐν τούτῳ κεκωλύσθαι ἐδόκει ἕκαστος, ᾧ

ἑκάστῳ τὰ πράγματα, ᾧ μή τις αὐτὸς παρέσται. οὕτως ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους, οἱ μὲν τῆς ἀρχῆς ἀπολυθῆναι βουλόμενοι, οἱ δὲ μὴ ἀρχθῶσι φοβούμενοι. παρασκευῇ μὲν οὖν τοιαύτῃ καὶ γνώμῃ ὥρμηντο, * πόλεις δ' ἑκάτεροι τάσδ' ἔχοντες ξυμμάχους ἐς τὸν πόλεμον καθίσταντο. Λακεδαιμονίων μὲν οἵδε ξύμμαχοι, Πελοποννήσιοι μὲν οἱ ἐντὸς ἰσθμοῦ πάντες, πλὴν Ἀργείων καὶ Ἀχαιῶν (τούτοις δ' ἐς ἀμφοτέρους φιλία ἦν· Πελληνῆς δὲ Ἀχαιῶν μόνοι ξυνεπολέμουν τὸ πρῶτον, ἔπειτα δὲ ὕστερον καὶ ἅπαντες), ἔξω δὲ Πελοποννήσου Μεγαρῆς, Φωκῆς, Λοκροὶ, Βοιωτοὶ, Ἀμπρακιῶται, Λευκάδιοι, Ἀνακτόριοι. τούτων ναυτικὸν παρείχοντο Κορίνθιοι, Μεγαρῆς, Σικυώνιοι, Πελληνῆς, Ἠλεῖοι, Ἀμπρακιῶται, Λευκάδιοι, ἱππέας δὲ Βοιωτοὶ, Φωκῆς, Λοκροί· αἱ δ' ἄλλαι πόλεις πεζὸν παρεῖχον. αὕτη Λακεδαιμονίων

Ad Lacedæmonios, tamquam Græciæ liberatores, voluntas hominum propensior erat.

9. Enumerantur socii Lacedæmoniorum, quibus subjungitur recensus earum civitatum, quæ a parte Atheniensium stabant.

στος, φησὶν, ᾤετο ἐμποδισθήσεσθαι τῶν Λακεδαιμονίων τὸ ἔργον, τουτέστι τὸν πόλεμον, ἐὰν μὴ παραγένηται αὐτός. δηλοῖ δὲ τὴν μεγίστην προθυμίαν αὐτῶν. 2. Ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους] ὠργίζοντο τοῖς Ἀθηναίοις. 4. Πόλεις δ' ἑκάτεροι—] ὁ κατάλογος τῶν συμμάχων ἑκατέροις. 8. Πελληνεῖς] δώδεκα πόλεις εἶχεν ἡ Ἀχαΐα, ἓν μία ἦν ἡ Πελλήνη. 9. Ξυνεπολέμουν] τοῖς Λακεδαιμονίοις. 10. Ἅπαντες] οἱ Ἀχαιοί· οὐ γὰρ οἱ Ἀργεῖοι.

μή τινι καὶ αὐτὸς ἔργῳ παρῇ. Alium locum Thucyd. laudat Steph. ad Dionys. Halic. Cap. 16. Καὶ ἐδόκει κωλύεσθαι πᾶν ἔργον, ᾧ μή τις παρῇν. Duk.

1. ἑκάστῳ] ante ἐδόκει ponit c. ante ᾧ A.

οὕτως ὀργῆς εἶχον οἱ πλείους ἐς τοὺς ἀθηναίους Valckenar. ad Herodot. 5. p. 412.

2. πλείους A.B.C.F.G.H.I.K. L.O.P.f.g.h.i. vulgo πλέους.

3. ἀχθῶσι] H.

4. τοιαύτῃ καὶ γνώμῃ A.B.g.h. pronomen om. f. vulgo καὶ γνώμῃ τοιαύτῃ.

6. Λακεδαιμονίων] Confer Diodor. 308. d. qui minus distincte copias recenset. Wass.

μὲν] δὲ C.K.e.

7. ἐντὸς τοῦ ἰσθμοῦ e.

8. τούτοις—ἀχαιῶν] om. B.h.

ἐπ' ἀμφοτέρους O.P. ἐπ' ἀμφοτέροις L.Q.

πεληνῆς F.K. πελῃεῖς e.

10. μεγαρῆς] om. e.

11. φωκῆς (vel φωκεῖς) λοκροὶ βοιωτοὶ A.B.H.g.h. βοιωτοὶ λ. φ. C.P.e. vulgo λοκροὶ β. φ.

ἀμβρακιῶται B.h.

14. λευκάδιοι] om. K.d.

φωκῆς] om. A.B.h.

δ'] τε K.

15. αὕτη λακεδαιμονίων A.B.F. H.g.h. vulgo αὕτη μὲν λακεδαιμονίων.

ξυμμαχία, Ἀθηναίων δὲ Χῖοι, Λέσβιοι, Πλαταιῆς, Μεσσήνιοι οἱ ἐν Ναυπάκτῳ, Ἀκαρνάνων οἱ πλείους, Κερκυραῖοι, Ζακύνθιοι, καὶ ἄλλαι πόλεις αἱ ὑποτελεῖς οὖσαι ἐν ἔθνεσι τοσοῖσδε, Καρία ἡ ἐπὶ θαλάσσῃ, Δωριῆς Καρσὶ πρόσοικοι, Ἰωνία, Ἑλλήσποντος, [τὰ] ἐπὶ Θρᾴκης, νῆσοι ὅσαι ἐντὸς Πελοποννήσου καὶ Κρήτης πρὸς ἥλιον ἀνίσχοντα, πᾶσαι αἱ ἄλλαι Κυκλάδες πλὴν Μήλου καὶ Θήρας. τούτων ναυτικὸν παρείχοντο Χῖοι, Λέσβιοι, Κερκυραῖοι, οἱ δ' ἄλλοι πεζὸν καὶ χρήματα. ξυμμαχία μὲν αὕτη ἑκατέρων καὶ παρασκευὴ ἐς τὸν πόλεμον ἦν.

10. Convocatis sociis, cum, copiis trifariam di-

* Οἱ δὲ Λακεδαιμόνιοι μετὰ τὰ ἐν Πλαταιαῖς εὐθὺς περιήγγελλον κατὰ τὴν Πελοπόννησον καὶ τὴν ἔξω ξυμμαχίαν στρατιὰν παρασκευάζεσθαι ταῖς πόλεσι τά τε

3. Αἱ ὑποτελεῖς οὖσαι] τοῖς Ἀθηναίοις. 4. Ἡ ἐπὶ θαλάσσῃ] ἡ παραθαλασσία. Δωριεῖς] Δωρίδες νῆσοι Ῥόδος, Κῶς, Κνίδος. 5. Τὰ ἐπὶ Θρᾴκης] οἷον Βυζάντιον, Περίνθος. 6. Ἐντὸς Πελοποννήσου] οὐ λέγει ἐντὸς Κρήτης καὶ Πελοποννήσου, πρὸς ἀνίσχοντα ἥλιον, ἀλλὰ δεῖ στίξαι εἰς τὸ Πελοποννήσου, καὶ ἀπὸ κοινοῦ τὸ ὅσαι λαβεῖν, ἵν' ᾖ, καὶ ὅσαι τῆς Κρήτης πρὸς ἥλιον ἀνίσχοντα, οἷον Κάρπαθος, Κάσος, Χάλκη, καὶ ὅσαι ἄλλαι. 12. Ἔξω] τῆς Πελοποννήσου.

1. ἀθηναῖοι C.
δὲ οἵδε χῖοι L.O.P.Q.
2. οἱ ante ἐν om. K.
πλεῖστοι L.O.P.
3. καὶ ζακύνθιοι K.i.
καὶ ἄλλαι] ἄλλας L.O.
αἱ] om. B.h.
5. τὰ] om. A.B.F.H.g.h.
Τὰ ἐπὶ Θρᾴκης] Inter quæ apud Schol. Πέρινθος, nunc Heraclea, Ammian. XXVII. 4. Idem tamen XXXI. 16. Perinthum vocat, et ante omnes Ptolemæus. Ita etiam Zosimus p. 56. Numi Severi a Whelero et aliis adducti. vid. Dionem LXXIV. 847. Numus etiam Getæ apud Harduinum, et circa an. Christi 1358. Cantacuzenus III. 28. διὰ Πειρίνθου. Vide Motraium Itin. I. p. 301. Insc. apud Reinesium III. 35. Situm ejus dabit Diodorus XVI. 77. Wass.
6. ὅσαι ἦσαν ἐντὸς F.H. ὅσοι ἦσαν ἐντὸς N. ἐντὸς περὶ τὰ δυτικώτερα πελοποννήσου I.
7. ἄλλαι om.
8. Θήρας] Vid. Plin. II. 87. Senecam N. Q. VI. 21. Niceph. Constant. p. 37. Sch. Callimachi Ap. 37. 74. Cer. 110. Olim Calliste Herodot. IV. 147. Pausan. p. 724. Θηράσι ταῖς νήσοις Athenæus, hoc est, insulis Thera et Therasia. Adi Sponium Miscell. p. 342. Wass.
παρεῖχον C.c.
12. προήγγελλον e.
κατὰ] παρὰ g.
ξυμμαχίαν A.B.F.G.H.K.c.f. g.h.i. ceteri ξυμμαχίδα.
13. παρασκευάσασθαι g.

visis, quæque civitas duas partes in isthmum misisset, Archidamus rex, qui toto exercitui præerat, ad duces congregatos verba facit.

ἐπιτήδεια, οἷα εἰκὸς ἐπὶ ἔξοδον ἔκδημον ἔχειν, ὡς ἐσβαλοῦντες ἐς τὴν Ἀττικήν. ἐπειδὴ δὲ ἑκάστοις ἑτοῖμα γίγνοιτο κατὰ τὸν χρόνον τὸν εἰρημένον, ξυνῆεσαν τὰ δύο μέρη ἀπὸ πόλεως ἑκάστης ἐς τὸν ἰσθμόν. καὶ ἐπειδὴ πᾶν τὸ στράτευμα ξυνειλεγμένον ἦν, Ἀρχίδαμος ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῆς ἐξόδου ταύτης, ξυγκαλέσας τοὺς στρατηγοὺς τῶν πόλεων πασῶν καὶ τοὺς μάλιστα ἐν τέλει καὶ ἀξιολογωτάτους παρεῖναι, τοιάδε ἔλεξεν.

II. Primum docet, gravissimum et maximum fore bellum, quod homi-

* "ΑΝΔΡΕΣ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, καὶ "οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ τῇ Πε"λοποννήσῳ καὶ ἔξω ἐποιήσαντο, καὶ αὐτῶν ἡμῶν οἱ πρεσ"βύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅμως δὲ τῆσδε

1. Ἔκδημον] ὑπερόριον, μακρὰν πόλεμον. 3. Τὸν εἰρημένον] ὡς τῶν Λακεδαιμονίων ὁρισάντων τὴν προθεσμίαν τῆς συνόδου. Ξυνῆεσαν τὰ δύο μέρη] ἵνα ἑκάστη πόλις τὸ μὲν δίμοιρον στρατεύσῃ, τὸ δὲ τρίτον ἑαυτῆς κατάσχῃ πρὸς φυλακήν. αὐτοὶ γὰρ οἱ Λακεδαιμόνιοι τὰς πόλεις ἐμέριζον εἰς τρία μέρη, καὶ τὸ τρίτον εἶων ἐν ταῖς πόλεσιν, ἵνα μὴ, πάντων ἐξελθόντων εἰς τὸν πόλεμον, ἐρήμους εὑρόντες οἱ Ἀθηναῖοι τὰς πόλεις χειρώσωνται. 4. Ἐς τὸν ἰσθμόν] ὁ γὰρ ἰσθμὸς καὶ μέσος τόπος καὶ πλησίος τῆς Ἀττικῆς. 8. Ἐν τέλει] τέλη τὰ ἀξιώματα καὶ οἱ ἄρχοντες. 10. Ἄνδρες Πελοποννήσιοι] ἡ στάσις πραγ-

2. ἕτοιμοι γίγνοιντο C.

4. ἑκάστοις H.

6. Ἡγεῖτο τῆς ἐξόδου] Unde decem priores anni hujus belli apud Lysiam (Harpocrationis) Ἀρχιδάμιος πόλεμος, uti postremum decennium Δεκελεικός. vid. Xenoph. Isocr. Harpocrat. Etymologum, et Suidam. Noster ad hanc partitionem respicit V. 26. Wass.

συγκαλέσας B.

8. τέλει] τάξει L.

ἀξιωτάτους C.I.L.O.

Ἀξιολογωτάτους] Malim ἀξιωτάτους παρεῖναι· neque enim (ut opinor) ἀξιολογωτάτους cum hac adjectione diceret. Steph. At vide I. 73. Schol. et Lib. IV. Cap. 23. de rebus potius, quam de hominibus, ἐγκλήματα καὶ ἄλλα οὐκ ἀξιόλογα δοκοῦντα εἶναι. Et sic fere Xenophon aliique. Noster I. 1. ἀξιολογώτατον πόλεμον. De homine tamen, licet rarius. Lib. III. καὶ ὅσοι αὐτῶν ἦσαν ἀξιολογώτατοι· unde nihil movendum. Recte ergo Glossæ vertunt, *dignissimus, perfectissimus*. Wass.

9. ἔλεξε τοιάδε f.

10. οἱ] om. C.I.L.O.P.Q.e.

καὶ] om. A.C.F.

11. τῇ] om. A.B.C.H.K.N. Q.c.e.g.h.

12. αὐτῶν ἡμῶν A.B.G.H.K. Q.c.d.f.g.h.i. vulgo ἡμῶν αὐτῶν.

13. οὔτω τῆσδε K.i. τῆσδε οὔτε L.O.

" οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν, ἀλλὰ
" καὶ ἐπὶ πόλιν δυναμωτάτην νῦν ἐρχόμεθα, καὶ αὐτοὶ
" πλεῖστοι καὶ ἄριστοι στρατεύοντες. δίκαιον οὖν ἡμᾶς
" μήτε τῶν πατέρων χείρους φαίνεσθαι μήτε ἡμῶν αὐτῶν
" τῆς δόξης ἐνδεεστέρους. ἡ γὰρ Ἑλλὰς πᾶσα τῇδε τῇ
" ὁρμῇ ἐπῆρται καὶ προσέχει τὴν γνώμην, εὔνοιαν ἔχου-
" σα διὰ τὸ Ἀθηναίων ἔχθος πρᾶξαι ἡμᾶς ἃ ἐπινοοῦμεν.
" οὔκουν χρὴ, εἴ τῳ καὶ δοκοῦμεν πλήθει ἐπιέναι καὶ
" ἀσφάλεια πολλὴ εἶναι μὴ ἂν ἐλθεῖν τοὺς ἐναντίους
" ἡμῖν διὰ μάχης, τούτου ἕνεκα ἀμελέστερόν τι παρε-
" σκευασμένους χωρεῖν, ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγε-
" μόνα καὶ στρατιώτην τὸ καθ' αὑτὸν ἀεὶ προσδέχεσθαι
" ἐς κίνδυνόν τινα ἥξειν. ἄδηλα γὰρ τὰ τῶν πολέμων,
" καὶ ἐξ ὀλίγου τὰ πολλὰ καὶ δι' ὀργῆς αἱ ἐπιχειρήσεις
" γίγνονται· πολλάκις τε τὸ ἔλασσον πλῆθος δεδιὸς
" ἄμεινον ἠμύνατο τοὺς πλέονας, διὰ τὸ καταφρο-

num memoria gestum sit. Neque enim ipeorum apparatum unquam fuisse majorem, et urbem hostium longe potentissimam esse. Quocirca decere, eos patrum et sua ipeorum gloria dignos se præstare. Quam in rem maxime vigilantiam et disciplinam militarem commendat.

ματικὴ, ἄγραφος, συμβουλευτικοῦ εἴδους, κεφάλαιον ἔχουσα τὸ συμφέρον. 2. *Αὐτοὶ*] *ἡμεῖς δηλονότι.* 5. *Τῇδε τῇ ὁρμῇ*] *τῇ ἡμετέρᾳ.* 6. *Εὔνοιαν ἔχουσα*] *τὸν σκοπόν.* 8. *Οὔκουν χρὴ*] *τὸ ἐξῆς, οὔκουν χρὴ ἀμελέστερον χωρεῖν. τὰ δὲ ἄλλα διὰ μέσου.* 12. *Προσδέχεσθαι*] *ἀπὸ κοινοῦ τὸ χρή.* 14. *Καὶ ἐξ ὀλίγου τὰ πολλὰ*] *Ὅμηρος· Ἦτ' ὀλίγη μὲν πρῶτα κορύσσεται.* (Il. 5, 442.) *Δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται*] *τουτέστιν ὅτι ὀργισθέντες*

6. Εὔνοιαν] Eleganter opponitur τῷ ἔχθος. Wass. not. MS.

Εὔνοιαν etc.] Scholiastes ἔννοιαν se legisse aperte ostendit: sed εὔνοιαν libenter retineo, ut perinde sit, ac si diceretur, διὰ τὴν εἰς ἡμᾶς εὔνοιαν ἐπιθυμοῦσα, ut si Gallice dicas, *aiant affection que nous aions bonne issue.* Nam istud *affection* respondet alioqui Græco εὔνοια. At ἔννοια et σκοπὸς (nam hoc exponit illud Scholiastes) quem locum habere possunt in iis rebus, quæ in potestate nostra positæ non sunt, sed pro quibus vota facere tantum possumus? Steph.

9. ἀσφαλείᾳ πολλῇ A.H.I. ἀσφάλεια, omisso πολλὴ L.O.
ἐλθεῖν] ἐθέλειν M.
10. μάχης ἔχειν G.
τούτου A.B.F.G.H.K.L.N.O. P.Q.c.f.g.h.i. vulgo τούτων.
14. τὰ πολλὰ] om. e.
15. δὲ f.
τὸ] om. f.
ἔλαττον c.f.
16. ἀμύνον K.
πλείονας B.g.h.

" νοῦντας ἀπαρασκεύους γενέσθαι. χρὴ δὲ ἀεὶ ἐν τῇ
" πολεμίᾳ τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δὲ
" ἔργῳ δεδιότας παρασκευάζεσθαι· οὕτω γὰρ πρός τε
" τὸ ἐπιέναι τοῖς ἐναντίοις εὐψυχότατοι ἂν εἶεν, πρός τε
" τὸ ἐπιχειρεῖσθαι ἀσφαλέστατοι. ἡμεῖς δὲ οὐδ' ἐπὶ 5
" ἀδύνατον ἀμύνεσθαι οὕτω πόλιν ἐρχόμεθα, ἀλλὰ τοῖς
" πᾶσιν ἄριστα παρεσκευασμένην, ὥστε χρὴ καὶ πάνυ
" ἐλπίζειν διὰ μάχης ἰέναι αὐτοὺς, εἰ μὴ καὶ νῦν ὥρμην-
" ται, ἐν ᾧ οὔπω πάρεσμεν, ἀλλ' ὅταν ἐν τῇ γῇ ὁρῶσιν
" ἡμᾶς δηοῦντάς τε καὶ τἀκείνων φθείροντας. πᾶσι 10
" γὰρ ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾶν πά-
" σχοντάς τι ἄηθες ὀργὴ προσπίπτει· καὶ οἱ λογισμῷ
" ἐλάχιστα χρώμενοι θυμῷ πλεῖστα ἐς ἔργον καθίστα-
" ται. Ἀθηναίους δὲ καὶ πλέον τι τῶν ἄλλων εἰκὸς
" τοῦτο δρᾶσαι, οἳ ἄρχειν τε τῶν ἄλλων ἀξιοῦσι, καὶ 15
" ἐπιόντες τὴν τῶν πέλας δηοῦν μᾶλλον ἢ τὴν ἑαυτῶν
" ὁρᾶν. ὡς οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες, καὶ
" μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις καὶ ἡμῖν

οἱ Ἀθηναῖοι πάντως ἐξελεύσονται. 1. Ἐν τῇ πολεμίᾳ] τῇ γῇ δηλονότι. 8. Ἐλπίζειν] φοβεῖσθαι. 9. Ἐν ᾧ] τόπῳ δηλονότι. 10. Καὶ τἀκείνων φθείροντας] ὀρμηθήσονται δηλονότι. 11. Ὁρᾶν πάσχοντάς τι] καὶ οἱ ὀργιζόμενοι, ἅτε δὴ ἧττον λογιζόμενοι, μᾶλλον δὲ θυμούμενοι, εἰς τὸ πολεμεῖν ἐπείγονται βιαιοκινδύνως· καὶ πάνυ ἀόργητος, ἐπειδὰν τὰ αὐτοῦ θεάσηται ὑφ' ἑτέρου φθειρόμενα πρὸς ὀργὴν διεγείρεται καὶ ἀμύνειν ἐπείγεται. Σημείωσαι τὸ σχῆμα, πᾶσι πάσχοντας, ἀντὶ τοῦ πάσχουσιν. 17. Ὡς οὖν] οἱ ἐπίλογοι

3. ἔργῳ ὡς δεδιότας i.
παρασκευάζεσθαι A.B.F.H.I.K. L.N.O.c.d.e.f.g.h.i. ceteri παρεσκευάσθαι.
Παρεσκευάσθαι] Vid. Kusterum de Usu verb. Mediorum p. 44. Wass.
4. εὐψυχότατοι H.K.
5. ἐπιχειρῆσαι Q.
8. μάχης ἡμῖν ἰέναι f.
11. πάσχοντα, ut videtur, C.
12. τι] τε C.H.P.
16. ἐπιόντας K.i.
αὐτῶν C.L.O.P.e.
17. ὡς μὲν οὖν K.
τοιαύτην L.O.P. τὴν τοσαύτην f. τὴν ἄλλην A.B.g.h. sed A.B additis his γρ. τοσαύτην, ὃ καὶ βέλτιον.
18. οἰόμενοι B.

" αὐτοῖς ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἔπεσθ' ὅπῃ
" ἄν τις ἡγῆται, κόσμον καὶ φυλακὴν περὶ παντὸς ποι-
" ούμενοι, καὶ τὰ παραγγελλόμενα ὀξέως δεχόμενοι·
" κάλλιστον γὰρ τόδε καὶ ἀσφαλέστατον, πολλοὺς
" ὄντας ἐνὶ κόσμῳ χρωμένους φαίνεσθαι."

12. Cum Athenienses, auctore Pericle, missum ab Archidamo praeconem, postulata Peloponnesiorum repetituram, non admisissent, Archidamus in agros eorum processit.

* Τοσαῦτα εἰπὼν καὶ διαλύσας τὸν ξύλλογον ὁ Ἀρχίδαμος Μελήσιππον πρῶτον ἀποστέλλει ἐς τὰς Ἀθήνας τὸν Διακρίτου, ἄνδρα Σπαρτιάτην, εἴ τι ἄρα μᾶλλον ἐνδοῖεν οἱ Ἀθηναῖοι ὁρῶντες ἤδη σφᾶς ἐν ὁδῷ ὄντας. οἱ δὲ οὐ προσεδέξαντο αὐτὸν ἐς τὴν πόλιν οὐδ' ἐπὶ τὸ κοινόν· ἦν γὰρ Περικλέους γνώμη πρότερον νενικηκυῖα, κήρυκα καὶ πρεσβείαν μὴ προσδέχεσθαι Λακεδαιμονίων ἐξεστρατευμένων· ἀποπέμπουσιν οὖν αὐτὸν πρὶν ἀκοῦσαι, καὶ ἐκέλευον ἐκτὸς ὅρων εἶναι αὐθημερόν, τό τε λοιπὸν ἀναχωρήσαντας ἐπὶ τὰ σφέτερα αὐτῶν, ἤν τι βούλωνται, πρεσβεύεσθαι. ξυμπέμπουσί τε τῷ Μελησίππῳ ἀγωγοὺς, ὅπως μηδενὶ ξυγγένηται. ὁ δὲ ἐπειδὴ ἐπὶ τοῖς ὁρίοις ἐγέ-

ἐντεῦθεν. 1. Ἐπ' ἀμφότερα] καὶ εὐκλείας καὶ δυσκλείας. 2. Τὶς] στρατηγὸς δηλονότι. 3. Ὀξέως] συντόμως. 10. Τὸ κοινὸν] βουλευτήριον δηλονότι. 11. Γνώμη] βουλή. Πρότερον] πρὸ τῆς πρεσβείας. 12. Ἐξεστρατευμένων] κατὰ τῶν Ἀθηναίων. 13. Πρὶν ἀκοῦσαι] μὴ ἀκούσαντες αὐτὰ ἃ ἔλεγεν. 16. Ἀγωγοὺς] ὁδηγούς. 17. Ἐπὶ τοῖς ὁρίοις] ὅρια λέγει τὴν

1. ὅπῃ A.B.C.F.G.H.K.N.e. f.g.h.i. vulgo ὅποι.

2. τις στρατηγὸς ἡγῆται L.O.P. Περὶ παντός] Herodotus de Lacedæm. VII. 104. ἐλεύθεροι ἐόντες οὐ πάντα ἐλεύθεροί εἰσι. ἔπεστι γάρ σφι ΔΕΣΠΟΤΗΣ, ΝΟΜΟΣ, τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι μᾶλλον ἢ οἱ σοὶ σέ· ποιεῦσι γῶν τὰ ἂν ἐκεῖνος ἀνώγῃ. ἀνώγει δὲ τωὐτὸ αἰεί, οὐκ ἐῶν φεύγειν—ἀλλὰ μένοντας ἐν τῇ τάξει ἐπικρατέειν, ἢ ἀπόλλυσθαι. Wass.

6. ὁ μὲν οὖν ἀρχίδαμος τοσαῦτα—ξύλλογον μελήσιππον f.

7. μελλήσιππον B.H.

8. διακρίτου K.d.

9. σφᾶς ἤδη C.L.O.P.d.

11. πρότερον πρὸ τῆς πρεσβείας νενικηκυῖα c.

12. δέχεσθαι C.

13. οὖν] om. b.

14. ἐκέλευον αὐτὸν ἐκτὸς C.L.O. P.e.

ἀναχωρήσαντας A.B.C.b.c.f.g.i. vulgo ἀναχωρήσαντες.

16 μελλησίπῳ B.

Ἀγωγοὺς] Cum Schol. explicat Phrynichus, et huic esse proprium innuit: id quod non

νετο καὶ ἔμελλε διαλύσεσθαι, τοσόνδε εἰπὼν ἐπορεύετο ὅτι " ἤδε ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν ἄρξει." ὡς δὲ ἀφίκετο ἐς τὸ στρατόπεδον, καὶ ἔγνω ὁ Ἀρχίδαμος ὅτι οἱ Ἀθηναῖοι οὐδέν πω ἐνδώσουσιν, οὕτω δὴ ἄρας τῷ στρατῷ προὐχώρει ἐς τὴν γῆν αὐτῶν. Βοιωτοὶ δὲ μέρος μὲν τὸ σφέτερον καὶ τοὺς ἱππέας παρείχοντο Πελοποννησίοις ξυστρατεύειν, τοῖς δὲ λειπομένοις ἐς Πλάταιαν ἐλθόντες τὴν γῆν ἐδῄουν.

13. Pericles autem, veritus, ne, si ipsius agris ab Archidamo propter hospitium, quod cum eo ipsi intercesserat, parceretur, in populi invidiam et odium incurreret, pronuntiavit, se agros suos, nisi ab

*Ἔτι δὲ τῶν Πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν ἰσθμὸν καὶ ἐν ὁδῷ ὄντων, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικήν, Περικλῆς ὁ Ξανθίππου, στρατηγὸς ὢν Ἀθηναίων, δέκατος αὐτὸς, ὡς ἔγνω τὴν ἐσβολὴν ἐσομένην, ὑποτοπήσας, ὅτι Ἀρχίδαμος αὐτῷ ξένος ὢν ἐτύγχανε, μὴ πολλάκις ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι τοὺς ἀγροὺς αὐτοῦ παραλίπῃ καὶ μὴ δηώσῃ, ἢ καὶ Λακεδαιμονίων κελευσάντων ἐπὶ διαβολῇ τῇ ἑαυτοῦ γένηται τοῦτο, ὥσπερ καὶ τὰ ἄγη ἐλαύνειν προεῖπον ἕνεκα ἐκείνου, προηγόρευε τοῖς Ἀθηναίοις ἐν τῇ ἐκκλησίᾳ ὅτι Ἀρχίδαμος μέν οἱ ξένος

ἀρχὴν τῆς Βοιωτίας. 1. Διαλύεσθαι] ἀφίστασθαι τῶν ἀγωγῶν. 2. Κακῶν ἄρξει] ἀρχὴ γενήσεται. 3. Ἐς τὸ στρατόπεδον] τῶν Λακεδαιμονίων. 4. Ἐνδώσουσιν] ταπεινωθήσονται. 5. Μέρος μὲν τὸ σφέτερον] τὸ δίμοιρον, ὡς καὶ πρότερον εἴρηται. 9. Ἔτι δὲ] πάλιν ἀνατέρω ἐπανατρέχει. 10. Ἐν ὁδῷ ὄντων] ἑτοίμων ὄντων ἰέναι. 14. Ἰδίᾳ] ἀντὶ τοῦ ἐξ ἰδίας προαιρέσεως.

ita est. vid. Aristid. Panath. προπομποὺς non male Suid. vid. Poll. III. 95. X. 55. Wass.

1. διαλύσεσθαι A.F.H.I.K.L. N.O.f.g.h.i.
ἐπορεύετο] om. F.H.Q.
4. ἐκδώσουσιν h.i.
5. ἐχώρει c.
7. ξυνστρατεύειν H.
πλαταιέαν C.
14. αὐτοῦ] om. N.
16. αὐτοῦ A.F.H.K.N.f.g.
17. τὸ ἄγος L.O.P.
ἐλαμβάνειν B.
ἐκείνου] τούτου L.O.
προηγόρευσε L.
Προηγόρευε τοῖς Ἀθ.] Idem refert Justinus, l. 3. c. 7. Simili prudentia Annibalis astutiam elusit Fabius. Huds.
18. οἱ] εἰ d.
19. γε] om. f.

εἴη, οὐ μέντοι ἐπὶ κακῷ γε τῆς πόλεως γένοιτο, τοὺς δ' ἀγροὺς τοὺς ἑαυτοῦ καὶ οἰκίας ἦν ἄρα μὴ δηώσωσιν οἱ πολέμιοι ὥσπερ καὶ τὰ τῶν ἄλλων, ἀφίησιν αὐτὰ δημόσια εἶναι καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι. παρῄνει δὲ καὶ περὶ τῶν παρόντων, ἅπερ καὶ πρότερον, παρασκευάζεσθαί τε ἐς τὸν πόλεμον, καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐσκομίζεσθαι, ἔς τε μάχην μὴ ἐπεξιέναι, ἀλλὰ τὴν πόλιν ἐσελθόντας φυλάσσειν, καὶ τὸ ναυτικὸν, ἥπερ ἰσχύουσιν, ἐξαρτύεσθαι, τά τε τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν, λέγων τὴν ἰσχὺν αὐτοῖς ἀπὸ τούτων εἶναι τῶν χρημάτων τῆς προσόδου, τὰ δὲ πολλὰ τοῦ πολέμου γνώμῃ καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι. θαρσεῖν τε ἐκέλευε προσιόντων μὲν ἑξακοσίων ταλάντων ὡς ἐπὶ τὸ πολὺ φόρου κατ' ἐνιαυτὸν ἀπὸ τῶν ξυμμάχων τῇ πόλει, ἄνευ τῆς ἄλλης προσόδου, ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων (τὰ γὰρ

hostibus una cum ceteris vastarentur, civitati permittere. Idem Atheniensis denuo exhortatus est, copias ipsorum omnes tum præsentes, tum quotannis redeuntes, demonstrans, et magna belli gerendi subsidia.

1. Γένοιτο] ἀντὶ τοῦ ἐγένετο. 4. Κατὰ ταῦτα] διὰ τὸ μὴ δηῶσαι. 8. Ἥπερ] ἐν ᾧ. 9. Διὰ χειρὸς] δι' ἐπιμελείας, ἵνα μὴ ἀποστῶσι. 10. Τὴν ἰσχὺν] τὸ ἐξῆς, τὴν ἰσχὺν ἀπὸ τῶν χρημάτων τῆς προσόδου. 11. Τοῦ πολέμου] λέγων δηλονότι. Γνώμῃ] γνώσει. 12. Κρατεῖσθαι] νικᾶσθαι. 14. Τῆς ἄλλης προσόδου] οἷον τῆς εὐφορίας τῆς γῆς καὶ τῶν καταδικαζομένων καὶ τῶν λιμένων καὶ μετάλλων, καὶ ἄλλων. 16. Ἐπισήμου] οἷον σημεῖον

2. αὐτοῦ e.
3. ἀφίημι f.
4. οἱ] τοι A.B. om. F.H.K. L.Q.i.
7. ἐκκομίζεσθαι O.
τε μάχην A.B.C.F.H.K.L.O. b.c.f.g.h.i. vulgo τε τὴν μάχην.
8. ἐλθόντας d.i.
φυλάττειν C.G.K.L.O.P.e.i.
ἔπερ d.
9. Διὰ χειρὸς ἔχειν] Wass. ad Sallust. Jug. XIV. putat idem esse, quod Latini dicunt *in manu habere*, i. e. *in potestate*; nec probat interpretationem Scholiastæ. Vid. tamen Stephan. Thes. Dux.
12. παρουσία C.I.e.
13. μὲν] om. d.
Ἑξακοσίων] Huc respicit Plutarch. Aristid. Vid. Meurs. de Fortun. Attic. Cap. 7. Dux.
ἐπὶ πολὺ c.f.
15. Ὑπαρχόντων — ἀπανηλώθη] Descripsit Sch. Aristoph. Plut. v. 1196. ubi pro ἔτι τότε ἀργυρ. legit ἀπὸ τοῦ ἀργυρ. pro μύρια ἐγένετο, περιεγένετο; pro ἀφ' ὧν ἕς τε, ἀφ' ὧν τε. denique καὶ ἐς ἄλλα, et εἰς Ποτίδαιαν ἐπανηλώθη. Wass.
τε c.
16. Ἐπισήμου] Confer Andocidem Orat. III. p. 269. Wass.

πλεῖστα τριακοσίων ἀποδέοντα μύρια ἐγένετο, ἀφ' ὧν ἔς τε τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ τἆλλα οἰκοδομήματα καὶ ἐς Ποτίδαιαν ἀπανηλώθη,) χωρὶς δὲ χρυσίου ἀσήμου καὶ ἀργυρίου ἔν τε ἀναθήμασιν ἰδίοις καὶ δημοσίοις, καὶ ὅσα ἱερὰ σκεύη περί τε τὰς πομπὰς καὶ τοὺς ἀγῶνας καὶ σκῦλα Μηδικὰ καὶ εἴ τι τοιουτότροπον, οὐκ ἐλάσσονος [ἦν] ἢ πεντακοσίων ταλάντων. ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προσετίθει χρήματα οὐκ ὀλίγα, οἷς χρήσεσθαι αὐτούς, καὶ ἦν πάνυ ἐξεἰργωνται πάντων, καὶ αὐτῆς τῆς θεοῦ τοῖς περικειμένοις χρυσίοις· ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου, καὶ περιαιρετὸν εἶναι ἅπαν. χρησαμένους τε ἐπὶ σωτηρίᾳ ἔφη χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι πάλιν. χρήμασι μὲν οὖν οὕτως ἐθάρσυνεν αὐτούς, ὁπλίτας δὲ τρισχιλίους καὶ μυρίους εἶναι, ἄνευ τῶν ἐν τοῖς φρουρίοις καὶ τῶν παρ' ἔπαλξιν ἑξακισχιλίων καὶ μυρίων. τοσοῦτοι γὰρ ἐφύλασσον τὸ πρῶτον, ὁπότε οἱ πολέμιοι ἐσβάλοιεν, ἀπό τε τῶν πρεσβυτάτων καὶ τῶν νεωτάτων, καὶ μετοίκων ὅσοι ὁπλῖται ἦσαν. τοῦ τε γὰρ

ἔχοντος βασιλικόν. 1. Τριακοσίων ἀποδέοντα μύρια] τουτέστιν ἐννεακισχίλια ἑπτακόσια. 3. Χρυσίου ἀσήμου] μὴ ἔχοντος σημεῖον, οἷον μαζία τινά. 6. Σκῦλα Μηδικὰ] τὸν ἀργυρόπεδα θρόνον καὶ τὸν ἀκινάκην τὸν χρυσοῦν. 7. Ἢ] τὸ ἢ περιττόν. 10. Αὐτῆς τῆς θεοῦ] τῆς Ἀθηνᾶς. 11. Τὸ ἄγαλμα] ὅπερ ὁ Φειδίας κατεσκεύασε μετὰ τὰ Μηδικά. 12. Ἀπέφθου] πολλάκις ἐψηθέντος, ὥστε γενέσθαι ὄβρυζον. Ἅπαν] τὸ κόσμιον τοῦ ἀγάλματος. 13. Χρῆναι] χρεὼν εἶναι. 17. Οἱ πολέμιοι ἐσβάλοιεν] ἀντὶ τοῦ ἐσέβαλον οἱ Λακεδαιμόνιοι. 18. Ἀπό τε πρεσβυτάτων] οἱ γὰρ ἐν τοῖς φρουρίοις γέροντες καὶ

2. πόλεως I.L.O.e.
6. Καὶ σκῦλα Μηδ] Vide Meursii Cecropiam, c. 21. Huds.
7. ἔλασσον O. ἐλάσσων I. Verbum ἦν omittebat Abreschius.
10. χρυσείοις K.
ἀπέφηνε c.
13. τε om. d.
14. οὖν] om. i.
17. ὅτε e.
18. ἐσβεβλήκοιεν e.f.
καὶ τῶν νεωτάτων] om. K. καὶ νεωτάτων g. καὶ τῶν νεῶν P.
19. Μετοίκων] Inquilinos inter ceteros ὁπλίτας militasse e Xenophonte ostendit Petit. Leg. Attic. pag. 546. Τῶν παρ' ἔπαλξιν etiam in Aristoph. Acharn. v. 72. mentio est. Duk.

Φαληρικοῦ τείχους στάδιοι ἦσαν πέντε καὶ τριάκοντα πρὸς τὸν κύκλον τοῦ ἄστεος, καὶ αὐτοῦ τοῦ κύκλου τὸ φυλασσόμενον τρεῖς καὶ τεσσαράκοντα· ἔστι δὲ αὐτοῦ ὃ καὶ ἀφύλακτον ἦν, τὸ μεταξὺ τοῦ τε μακροῦ καὶ τοῦ Φαληρικοῦ. τὰ δὲ μακρὰ τείχη πρὸς τὸν Πειραιᾶ τεσσαράκοντα σταδίων, ὧν τὸ ἔξωθεν ἐτηρεῖτο· καὶ τοῦ Πειραιῶς ξὺν Μουνυχίᾳ ἑξήκοντα μὲν σταδίων ὁ ἅπας περίβολος, τὸ δ' ἐν φυλακῇ ἦν ἥμισυ τούτου. ἱππέας δ' ἀπέφαινε διακοσίους καὶ χιλίους ξὺν ἱπποτοξόταις, ἑξακοσίους δὲ καὶ χιλίους τοξότας, καὶ τριήρεις τὰς πλοίμους τριακοσίας. ταῦτα γὰρ ὑπῆρχεν Ἀθηναίοις, καὶ οὐκ ἐλάσσω ἕκαστα τούτων, ὅτε ἡ ἐσβολὴ τὸ πρῶτον ἔμελλε Πελοποννησίων ἔσεσθαι καὶ ἐς τὸν πόλεμον καθίσταντο. ἔλεγε δὲ καὶ ἄλλα, οἷά περ εἰώθει, Περικλῆς ἐς ἀπόδειξιν τοῦ περιέσεσθαι τῷ πολέμῳ.

14. Eo auctore, Athenienses res suas ex agris in urbem comportant, aedificia diruunt, pecudes et jumenta in Euboeam

* Οἱ δὲ Ἀθηναῖοι ἀκούσαντες ἀνεπείθοντό τε, καὶ ἐσεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας καὶ τὴν ἄλλην κατασκευὴν ἣ κατ' οἶκον ἐχρῶντο, καὶ αὐτῶν τῶν οἰκιῶν καθαίρεσιν· καὶ τὰ ἱερὰ χρήματα ἅπαντα ἐκτὸς ὀλίγων ἀνεκομίσαντο· καὶ ἄγαλμα οὐδὲν ἱδρύσαντο, ἀλλὰ καὶ τὰ ἄλλα ἐλπίζουσι τὰ περὶ τὸν πρὸ τοῦ πόλεμον ἕξειν ὡς ἐπὶ μακρὸν ἐσβεβηκότες. καὶ ἐπιτηδεύσαντες ἐν τῷ παρόντι ἐπὶ τὸν πόλεμον ἐτράποντο, καὶ τοὺς ἐν τῇ Εὐβοίᾳ καὶ τὴν Εὔβοιαν ξυγκαλέσαντες ἐβουλεύσαντο περὶ τοῦ πολέμου τὰ ὑπάρχοντα.

νέοι ἦσαν ἅμα. 2. Πρὸς τὸν κύκλον] ἕως τοῦ κύκλου. Αὐτοῦ] τοῦ κύκλου. 3. Ὃ καὶ ἀφύλακτον] μέρος δηλονότι. τουτέστι στάδιοι δεκαεπτά· ὁ γὰρ ὅλος κύκλος σταδίων ἦν ἑξήκοντα. 6. Ὧν] τῶν μακρῶν τειχῶν. Τὸ ἔξωθεν] τὸ γὰρ μέσον οὐκ ἐδεῖτο. 8. Τὸ δ' ἐν φυλακῇ ὂν] τοῦ Πειραιέως τὸ νεῶν ἐς τὴν ἤπειρον.

1. φαλληρικοῦ I.L.O.e.
Στάδιοι ἦσαν πέντε καὶ τριάκ.] Pausan. VIII. 619. Ἀθηναίοις μὲν δὴ σταδίους μάλιστα εἴκοσιν ἀφέστηκε τῆς πόλεως ἡ πρὸς Φαληρῷ θάλασσα. WASS.
2. ἄστεος A.B.H.K.L.O.b.c.g. h.i.vulgo ἄστεως.
δὲ τοῦ κύκλου αὐτῶ g.
6. πειραιέως C.b.c f.
7. πᾶς C.L.O.P.
8. φυλακῇ ἦν B. φυλακῇ ὂν A. C.F.L.O.P.g.h. ceteri φυλακῇ ὂν ἦν.
9. ὑποτοξόταις d.
ἑξακοσίους] διακοσίους Q.
10. Τριακοσίας] Ita recte emendatum est in Reg. pro διακοσίας. Vid. Meurs. de Fortun. Attic. C. 7. et Petit. Leg. Attic. pag. 214. Ἱπποτοξότας in militia Atheniensi ex hoc loco observavit Spanhem. ad Julian. Orat. I. p. 114. Respicit etiam ad eos ludens Aristoph. Avib. v. 1179. DUK.
18. παρασκευὴν I.P.e.
ἐχρῶντο] om. e.

transmittunt; segre hoc facientes, cum antiquitus consuessent, rure vivere,

οἰκιῶν καθαιροῦντες τὴν ξύλωσιν· πρόβατα δὲ καὶ ὑποζύγια ἐς τὴν Εὔβοιαν διεπέμψαντο καὶ ἐς τὰς νήσους τὰς ἐπικειμένας. χαλεπῶς δὲ αὐτοῖς, διὰ τὸ ἀεὶ εἰωθέναι τοὺς πολλοὺς ἐν τοῖς ἀγροῖς διαιτᾶσθαι, ἡ ἀνάστασις ἐγίγνετο. * ξυνεβεβήκει δὲ ἀπὸ τοῦ πάνυ ἀρχαίου ἑτέρων μᾶλλον Ἀθηναίοις τοῦτο. ἐπὶ γὰρ Κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο πρυτανεῖά τε ἔχουσα καὶ ἄρχοντας, καὶ ὁπότε μή τι δείσειαν, οὐ ξυνήεσαν βουλευσόμενοι ὡς τὸν βασιλέα, ἀλλ' αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβουλεύοντο· καί τινες καὶ ἐπολέμησάν ποτε αὐτῶν, ὥσπερ καὶ Ἐλευσίνιοι μετ' Εὐμόλπου πρὸς Ἐρεχθέα. ἐπειδὴ δὲ Θησεὺς ἐβασίλευσε, γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ δυνατὸς τά τε ἄλλα διεκόσμησε τὴν χώραν, καὶ καταλύσας τῶν

primoque a Theseo in unam civitatem conjuncti, Athenas, cujus urbis antiquissimam esse partem acropoli versus meridiem subjectam, demonstratur.

1. Τὴν ξύλωσιν] τὴν ἀπὸ ξύλων κατασκευήν. σημείωσαι ξύλωσιν· ἰδία λέξις τοῦ Θουκυδίδου αὕτη. 4. Ἡ ἀνάστασις] ἡ μετοίκησις. 5. Ἀπὸ τοῦ πάνυ ἀρχαίου] ἐξ ἀρχῆς. 6. Ἑτέρων] Ἑλλήνων. Τοῦτο] τὸ ἐν ἀγροῖς διαιταν ἔχειν. 7. Ἐς Θησέα] ἀντὶ τοῦ ἕως Θησέως. Ἀεὶ κατὰ πόλεις] ἀδιαστάτως. 8. Πρυτανεῖά τε ἔχουσα] πρυτανεῖόν ἐστιν οἶκος μέγας, ἔνθα αἱ σιτήσεις ἐδίδοντο τοῖς πολιτευομένοις. ἐκαλεῖτο δὲ οὕτως, ἐπειδὴ ἐκεῖ ἐκάθηντο οἱ Πρυτάνεις οἱ τῶν ὅλων πραγμάτων διοικηταί. ἄλλοι δέ φασιν ὅτι τὸ πρυτανεῖον πυρὸς ἦν ταμιεῖον, ἔνθα καὶ ἦν ἄσβεστον πῦρ, καὶ ηὔχοντο. Ὁπότε μή τι δείσειαν] ἀντὶ τοῦ ὅτε μὴ εἰς φόβον τινὰ ἔλθοιεν καὶ κίνδυνον, οὐκ ἤρχοντο πρὸς τὸν βασιλέα. 10. Αὐτοὶ ἕκαστοι] καθ' ἑαυτούς. 12. Μετ'

1. Ξύλωσιν] *Tigna* verti, Polluce fretus, qui non, ut Schol. *supellectilem*, sed *asseres* intelligit, τὰ ἐρέψιμα ξύλα VII. 124. *Materiaturam* Vitruv. hujus loco ξυλίαν adhibet Herodian. VII. Glossæ reddunt *materiam*, *lignetum*. Suidas in ξύλων ἐρεψίμων interpretis interpretem agit, quod Kustero inobservatum. Wass. In Eubœam missa fuisse pecora, quod ea pascuis abundabat, observat Bochart. Hieroz. II. 1. 19. Duk.

2. ἐς] om. C.L.O.P.e.

5. συνεβεβήκει F.H.c.g. συνεπεβεβήκει B.
ἀπὸ correctus G.
7. πρώτων] ἄλλων K.q.
8. τε] om. C.L.O.
ἀρχὰς N.e.
9. μή] om. L.Q.
ὡς] ἐς L.
10. ἐπολίτευον C.I.
καὶ ἐβουλεύοντο] om. L.
11. ποτε καὶ αὐτῶν g.
καὶ] om. C.P.e.
14. χώραν] πόλιν L.O.P.
Καταλύσας τῶν ἄλλ.] Idem refert Plutarchus in Theseo. Vide

ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς ἐς τὴν νῦν πόλιν οὖσαν, ἓν βουλευτήριον ἀποδείξας καὶ πρυτανεῖον, ξυνώκισε πάντας, καὶ νεμομένους τὰ αὑτῶν ἕκαστους, ἅπερ καὶ πρὸ τοῦ, ἠνάγκασε μιᾷ πόλει ταύτῃ χρῆσθαι, ἣ ἁπάντων ἤδη ξυντελούντων ἐς αὐτὴν μεγάλη γενομένη παρεδόθη ὑπὸ Θησέως τοῖς ἔπειτα· καὶ ξυνοίκια ἐξ ἐκείνου Ἀθηναῖοι ἔτι καὶ νῦν τῇ θεῷ ἑορτὴν δημοτελῆ ποιοῦσι. τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα πόλις ἦν, καὶ τὸ ὑπ' αὐτὴν πρὸς νότον μάλιστα τετραμμένον. τεκμήριον δέ· τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει καὶ ἄλλων θεῶν ἐστι, καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται, τό τε τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ τὸ Πύθιον καὶ τὸ τῆς Γῆς καὶ τὸ ἐν Λίμναις Διονύσου,

Εὐμόλπου] ἀφ' οὗ Εὐμολπίδαι φυλὴ ἐν τῇ Ἀττικῇ. 3. Ξυνώκισε] τὸ ξυνώκισεν οὐκ ἔστιν ἐπὶ τοῦ ὁμοῦ ξυνοικισθῆναι ἐποίησεν, ἀλλ' ἐπὶ τοῦ μίαν πόλιν, τουτέστι μητρόπολιν, ἔχειν αὐτήν. 6. Ἐξ ἐκείνου] ὁ δὲ μὴν ἐκεῖνος ὠνομάσθη Μεταγειτνιών. 7. Τῇ θεῷ] τῇ Ἀθηνᾷ· ἀπροσδιορίστως γὰρ οὕτω φασὶν οἱ Ἀθηναῖοι, καὶ τὸν Ἀπόλλωνα ὁμοίως. 11. Πρὸς τοῦτο τὸ μέρος] τὸ νότιον. 13. Τῆς Γῆς] τῆς Δήμητρος. Ἐν Λίμναις] Λίμναι τόπος ἐν τῇ

Meursii Theseum, c. 16. et Athen. Att. l. 1. c. 8. Huds. De mutata a Theseo forma Reipubl. Atheniensis rursus Meurs. de Fortun. Attic. cap. III. Dux.

1. πόλεων] om. K.

6. Ξυνοίκια] Plutarchus in Theseo id festum non *ξυνοίκια* sed *μετοίκια* vocat. Palmerius Exerc. p. 47. Vide Meursii Theseum, et Græciam feriatam. Stephanum in voce Ἀθῆναι. Petr. Castellanum de Festis. p. 198. Scaligeri animadvers. in Eusebium, p. 47. et Notas Histor. in Chronicon Marmor. p. 189. Huds.

7. ἑορτὴν τῇ θεῷ c.

8. τούτου] τοῦ C.I.L.O.P.e.g.

Ἡ ἀκρόπολις] Vide Meursii Att. Lect. p. 367. Huds. Lib. VI. c. 33. et Cecrop. c. III. Dux.

9. νότον] ἄρκτον Valla.

10. ἱερὰ] om. c.

ἀκροπόλει τῆς τε ἀθηνᾶς καὶ G.

12. μᾶλλον] om. L.O.P.

13. λίμνῃ] L.O.

Ἐν Λίμναις] Λίμνῃ Ar. C. At Stephanus, qui, suppresso auctoris nomine, huc respexit, Λίμναι repræsentat. Vid. Holstenium, cui addas licet Eustath. 119. Athenæum XI. p. 465. De Λιμναίᾳ vide Polyb. 494. Nostrum III. 106. Wass. Scholiasten, qui Limnas in arce fuisse scribit, erroris arguit Meurs. III. de Athen. Attic. 4. ex eo, quod Thucydides ipse inter templa, quæ extra arcem erant, templum

ᾧ τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι, ὥσπερ καὶ οἱ ἀπ᾽ Ἀθηναίων Ἴωνες ἔτι καὶ νῦν νομίζουσιν. ἵδρυται δὲ καὶ ἄλλα ἱερὰ ταύτῃ ἀρχαῖα. καὶ τῇ κρήνῃ τῇ νῦν μὲν τῶν τυράννων οὕτω σκευασάντων Ἐν-

ἀκροπόλει τῶν Ἀθηνῶν. 1. Τὰ ἀρχαιότερα] ἀρχαιότερα εἶπε, διότι ἔστι καὶ νεώτερα ἄλλα. Τῇ δωδεκάτῃ] τοῦ μηνός. 2. Καὶ οἱ ἀπ᾽ Ἀθην.] καὶ οἱ ἄποικοι τῶν Ἀθηναίων. 3. Νομίζουσι] κατὰ νόμον ποιοῦσι. Ταύτῃ] πρὸς νότον. 4. Τῶν τυράννων] τῶν Πεισιστρατιδῶν.

Bacchi in Limnis memorat. Duk.

1. Ὃ τὰ ἀρχαιότερα Διων.] Vide Palmer. in Gr. Auct. p. 618. et Casaub. in Athenæum 6, 15. Huds. Conf. quæ in hunc locum Thucydidis scribunt Scalig. I. de Emendat. Tempor. p. 30. Luisin. I. Parerg. 15. Selden. ad Marm. Arundell. pag. 36. Ed. Oxon. Petit. Leg. Att. pag. 43. et Spanhem. ad argument. Aristophanis Ranar. Duk.

2. ἀνθεστεριῶνι C.

ἀπ᾽ om. L.O.

καὶ ante νῦν om. g.

3. ταύτῃ ἀρχαῖα A.B.C.F.H. K.L:O.P.b.c.d.e.f.g.h. vulgo ἀρχαῖα ταύτῃ.

4. κατασκευασάντων c.f. κατασκευασθέντων i. κελευσάντων C.I.L. O.P.

Ἐννεακρούνῳ] Ἐννέα quandoque Græce pro *multis*, non præcise pro *novem*. Sic quum dicit Nicander σφόνδυλοι ἐννεάδεσμοι, dicit Scholiastes ἐννεάδεσμοι idem esse quod πολύδεσμοι. in Hesychio ἐννεάκροσσον, πολλοὺς κροσσοὺς ἔχον. in Arato ἐννεάγηρα κορώνη, id est πολύγηρα. et Timavo amni Virgilius tribuit ora novem, cum non habeat nisi septem. Fortasse etiam eodem sensu Callirhoë dicta ἐννεάκρουνος. ejus enim aquæ non ex novem præcise fistulis erumpebant, sed ex duodecim, ut ex Cratino probat Suidas in voce δωδεκάκρουνος. Vide Hesychium, et Etymologici Auctorem. Huds. Vid. Harpocrat. A Pisistrato exornatum tradit Pausan. 34. Vid. Etymol. 343. 42. De eodem Cratinus apud Tzetzem in Chil. Ἄναξ Ἀπόλλων τῶν ἱερῶν τῶν ῥευμάτων Κατασχῶσι πηγαὶ, Δωδεκάκρουνον στόμα, Ἰλισσὸς ἐν φάρυγγι. Unde duodecim fontium os fuisse subinfert miselllus. Sed Comicus, huc spectans, uberius quiddam et exundantius invenit. Pro κατασχῶσι leg. cum Kustero ad Suid. in δωδεκάκρ. καναχοῦσι. Vide Philostratum de V. Soph. pag. 525. et Whelerum Itinerar. 383. Wass. Kusterus quoque l. d. miratur, unde Suidas expiscari potuerit, eumdem hunc fontem etiam δωδεκάκρουνον vocatum fuisse. Ita præter Suidam tradunt Hesychius in δωδεκάκρουνος, et Tzetzes Chil. VIII. 184. quorum auctoritati etiam Harduin. ad Plin. IV. H. N. 7. aliquid tribuit, nec non Olear. ad Philostrat. l. d. qui suspicatur, forte deinde, accedentibus tribus novis scatebris, etiam δωδεκάκρουνον dictum fuisse. At Meurs. in Ceramic. Gem. cap. XIV. scribit, neminem Veterum umquam dixisse, quod tradit Suidas, et putat, errorem natum esse e male intellectis Cratini

νεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν οὐσῶν Καλλιῤῥόη ὠνομασμένη, ἐκείνη τε ἐγγὺς οὖση τὰ πλείστου ἄξια ἐχρῶντο, καὶ νῦν ἔτι ἀπὸ τοῦ ἀρχαίου πρό τε γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι

1. Τῶν πηγῶν] τῶν ἀναδόσεων τοῦ ὕδατος. 2. Ἐγγὺς οὖσῃ] τῆς ἀκροπόλεως δηλονότι. Τὰ πλείστου ἄξια ἐχρῶντο] λείπει ἡ εἰς, ἢ ᾗ, εἰς τὰ πλείστου ἄξια. τὸ δὲ ἐξῆς, τῇ κρήνῃ τὰ πλείστου ἄξια ἐχρῶντο. 4. Καὶ ἐς ἄλλα

versibus apud Scholiasten Aristoph. Equit. 523. in quibus se ipse laudans Cratinus dicat, eam sibi versuum esse copiam, ut os simile fonti esse videatur, qui per duodecim tubos aquas effundit. Hanc sententiam probabo, quamdiu Suidam, Hesychium, et Tzetzen veterum Scriptorum testimoniis defensos non videbo. Duk.

1. φανερῶν] λαμυρῶν Hemsterhus. ad Thom. M. v. λαμυρία.

2. οὐσῶν τῶν πηγῶν O.

καλλιῤῥόῃ A. καλλιῤῥόῃ B.C.P. καλλιῤῥόῳ L.

Καλλιῤῥόη] Ex hoc loco Plinium, apud quem IV. H. N. 7. legebatur *Enneacrunos, Callirhoë*, sublata distinctione emendant, et Solinum, qui Callirhoën et Enneacrunon duos fontes facit, reprehendunt Hermol. Barbarus et Harduinus ad Plin. et Meurs. Ceramic. Gemino cap. XIV. Defendit tamen Solinum Vir doctus. Jac. Nic. Loënsis VI. Epiphyll. 15. et multis disputat, e verbis Thucydidis non posse ostendi Callirrhoën eumdem esse, qui deinde Enneacrunos dictus fuit. Et Barth. ad Stat. XII. Theb. 629. sententiam illius memorans, scribit, non facile decidi posse, unus fons, an duo fuerint. Mihi magis obscura et perplexa, quam vera esse videtur illa disputatio Loënsis. Etenim si Thucydides hic omisisset verba illa φανερῶν τῶν πηγῶν οὐσῶν, nemo dubitaret, quin unus ab eo fons significatus fuerit, non duo. Jam vero in eorum adjectione, quocumque demum modo ea interpreteris, nihil est, unde quisquam intelligere possit, non unum, sed duos fontes fuisse Callirrhoën et Enneacrunon. Et sic hunc locum acceperunt Harpocration, Hesychius, Suidas, et plerique alii Grammatici veteres apud Meursium l. d. eumdemque fontem, qui olim Callirhoë, postea Enneacrunon vocatum tradiderunt: quorum testimonia quum elevare non posset, tacitus praeterire maluit Loënsis. Ceterum Καλλιῤῥόη, quod hic quidam MSS. habent, etiam in Poll. III. 47. est. In Suida, Etymol. M. et Tzetze scriptura variat. Duk.

ὠνομασμένη] καλουμένη L.O.P.

ἐκείνη] Aptius videtur ἐκεῖνοι.

3. πλεῖστα B.e.

Πρό τε γαμικῶν] Aquam hinc petitam ad lavacra nuptialia virginibus nubentibus, refert Pollux l. 3. c. 3. nec nubentibus tantum id factum, sed et ante nuptias morientibus. Vide Meursii Ceramicum Geminum, c. 14. Etymologici Auctorem, et Harpocrat. in voce λουτροφόρος. Huds. Add. Vales. ad Harpocrat. Quod nuptias inter ἱερὰ

χρῆσθαι. καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτῃ κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις.

16. Cur moleste tulerint migrationem Attici, * τῇ τε οὖν ἐπὶ πολὺ κατὰ τὴν χώραν αὐτονόμῳ οἰκήσει μετεῖχον οἱ Ἀθηναῖοι, καὶ ἐπειδὴ ξυνῳκίσθησαν, διὰ τὸ ἔθος ἐν τοῖς ἀγροῖς ὅμως οἱ πλείους τῶν ἀρχαίων καὶ τῶν ὕστερον μέχρι τοῦδε τοῦ πολέμου πανοικησίᾳ γενόμενοί τε καὶ οἰκήσαντες οὐ ῥᾳδίως τὰς μεταναστάσεις ἐποιοῦντο, ἄλλως τε καὶ ἄρτι ἀνειληφότες τὰς κατασκευὰς μετὰ τὰ Μηδικά, ἐβαρύνοντο δὲ καὶ χαλεπῶς ἔφερον οἰκίας τε καταλιπόντες καὶ ἱερὰ, ἃ διὰ παντὸς ἦν αὐτοῖς ἐκ τῆς κατὰ τὸ ἀρχαῖον πολιτείας πάτρια, δίαιταν τε μέλλοντες μεταβάλλειν, καὶ οὐδὲν ἄλλο ἢ πόλιν τὴν αὐτοῦ ἀπολείπων ἕκαστος.

17. et quomodo tanta multitudo Athenis domicilia invenerit. * ἐπειδὴ τε ἀφίκοντο ἐς τὸ ἄστυ, ὀλίγοις μέν τισιν ὑπῆρχον οἰκήσεις καὶ παρὰ φίλων τινὰς ἢ οἰκείων καταφυγὴ, οἱ δὲ πολλοὶ τά τε ἔρημα τῆς πόλεως ᾤκησαν καὶ τὰ ἱερὰ καὶ τὰ ἡρῷα πάντα, πλὴν τῆς ἀκροπόλεως καὶ τοῦ Ἐλευσινίου καὶ

τῶν ἱερῶν] καὶ γὰρ ὁ γάμος ἱερός. 1. Διὰ τὴν παλαιὰν ταύτην] τὴν εἰρημένην δηλονότι. 3. Τῇ τε οὖν] ἀντίστασις, ἀντὶ τοῦ τῆς τε οὖν. Αὐτονόμῳ οἰκήσει] αὐτονόμου οἰκήσεως. 4. Ξυνῳκίσθησαν] εἰς μίαν πόλιν συνῆλθον. 6. Πανοικησίᾳ] πανοικησίᾳ καὶ οὐ πανοικία λέγεται. 9. Ἐβαρύνοντο] καλῶς εἶπεν ἐβαρύνοντο. οὐ δεῖ γὰρ λέγειν ὅτι ἐβαρεῖντο ἢ βαρεῦμαι ἢ βαρούμενος, οὐδὲ ἄλλῳ τινὰ κλίσιν ποιεῖσθαι τοῦ βαρεῦμαι ῥήματος· ἀλλὰ βαρύνομαι καὶ βαρυνόμενος, καὶ τὰ ἄλλα ὁμοίως κλινόμενα. 14. Ὀλίγοις μέν τισιν] τοῖς πλουσιωτέροις ἰδίᾳ δηλονότι. 15. Τά τε ἔρημα] τὰ ἀνηγάνθρωπα.

ponit Thucyd. id illustrat Spanhem. Dissert. XI. de Præst. et Us. Numism. p. 292. Dux.

1. ταύτῃ] A.B.F.H.K.c.f.g.

3. τὴν] om. g.
πατριῶν

4. μετεῖχον K.
οἱ] om. N.

5. τῶν ἀρχαίων A.B.H.L.O.P. ceteri τῶν τε ἀρχαίων.

6. πανοικεσίᾳ c.d.e. cum Thoma M.

7. μεταστάσεις F.N.P.c. ἀναστάσεις C.e.

12. οὐδὲ B.

13. ἀπολείπειν Q. ἀπολιπὼν C.e.
ἕκαστος] om. g.
τε A.B.H.c.d.f.g.h.i. ceteri δὲ,

15. τινων f.
ᾗ] om. e.
καταφυγαὶ I.

16. τε] om. i,
οἴκησαν C.

εἴ τι ἄλλο βεβαίως κλειστὸν ἦν· τό τε Πελασγικὸν καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν, ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν καί τι καὶ Πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε, λέγον ὡς τὸ Πελασγικὸν ἀργὸν ἄμεινον, ὅμως ὑπὸ τῆς παραχρῆμα ἀνάγκης ἐξωκήθη. καί μοι δοκεῖ τὸ μαντεῖον τοὐναντίον ξυμβῆναι ἢ προσεδέχοντο· οὐ γὰρ διὰ τὴν παράνομον ἐνοίκησιν αἱ ξυμφοραὶ γενέσθαι τῇ πόλει, ἀλλὰ διὰ τὸν πόλεμον ἡ ἀνάγκη τῆς οἰκήσεως, ὃν οὐκ ὀνομάζον τὸ μαντεῖον προήδει μὴ ἐπ' ἀγαθῷ ποτὲ αὐτὸ

1. Κλειστὸν ἦν] πανταχόθεν κλείεσθαι ἠδύνατο. Τό τε Πελασγικὸν καλούμενον] οἱ γὰρ Πελασγοὶ αὐτὸ οἰκήσαντες, ἐπεβούλευσαν τοῖς Ἀθηναίοις· οὓς διώξαντες πάλιν οἱ Ἀθηναῖοι, κατηράσαντο τὸν τόπον μὴ οἰκισθῆναι. 3. Ἀκροτελεύτιον τοιόνδε] καλῶς τὸ ἀκροτελεύτιον ἀντὶ τοῦ τὸ ἄκρον, τὸ τέλος τοῦ στίχου. καλεῖται δὲ καὶ ἄκρον ἡ ἀρχὴ τοῦ στίχου. 6. Προσε-

1. κληστον c.

Κλῃστὸν] Noster Homerum sequens alibi κλῄσειν, et agn. Schol. Wass. Sic pro κλεὶς κλεῖδος, κλῆις κληίδος, καὶ συναιρέσει κλῆδος. Eustath. ad Homer. Il. β'. p. 174. κλῄσειν pro κλείσειν est infr. IV. 8. Duk.

πελαργικὸν C. πελαγικὸν g.

Πελασγικόν] Vid. Hesych. v. Πελαργικοί, et Schol. in Lucianum, Strabonem p. 221. Schol. Aristoph. Ὄρν. 833. Wass. In Aristoph. et Schol. l. d. est Πελαργικὸν, de quo etiam monet Schol. Lucian. Bisaccus. pag. 219. Duk.

2. ὑπὲρ G.

Ὃ καὶ ἐπάρατόν τε, &c.] Diris devoverunt Athenienses, si quis illic habitaret; causa devotionis istius, quia insidias ex illo loco Atheniensibus Pelasgi struxissent, ut docet Schol. Vide Meursii Att. Lect. l. 6. c. 1. Ejusdemque Cecropiam, pag. 11. Huds. Add. quæ adnotantur ad Polluc. VIII. 101. Duk.

3. Ἀκροτελεύτιον] Agn. Suidas. Cicero ad Attic. V. "etsi "bellum ἀκροτελεύτιον *habet illa* "*tua epistola.*" Laudat etiam Pollux II. 161. Wass. Stephan. Append. ad Script. de Dial. p. 201. putat, Pollucem hoc vocabulum habuisse inter ea, quæ Thucydidi peculiaria, aut cum paucis communia essent. Duk.

4. διεκώλυε τοιόνδε e.

πελαργικὸν C.

ἄργος B.

5. ἐξῳκίσθη f.

6. τοὐναντίον] om. b. ante μαντεῖον ponit i.

ἦ] ᾗ A.B.

προσεδέχετο I.

7. οἴκησιν G.K.c.f.

8. ὃν] ὃ A.B.C.G.H.h.

9. ὠνόμαζον C.

ποτε] om. e.

αὐτῷ C.

κατοικισθησόμενον. κατεσκευάσαντο δὲ καὶ ἐν τοῖς πύργοις τῶν τειχῶν πολλοὶ, καὶ ὡς ἕκαστός που ἐδύνατο· οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις, ἀλλ' ὕστερον δὴ τά τε μακρὰ τείχη ᾠκησαν κατανειμάμενοι καὶ τοῦ Πειραιῶς τὰ πολλά. ἅμα δὲ καὶ τῶν πρὸς τὸν πόλεμον ἥπτοντο, ξυμμάχους τε ἀγείροντες καὶ τῇ Πελοποννήσῳ ἑκατὸν νεῶν ἐπίπλουν ἐξαρτύοντες. καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν.

18. Peloponnesii Œnoën, munitam Atticæ urbem in confiniis Bœotiæ, oppugnare parant segniter, quare

Ὁ δὲ στρατὸς τῶν Πελοποννησίων προϊὼν ἀφίκετο τῆς Ἀττικῆς ἐς Οἰνόην πρῶτον, ἥπερ ἔμελλον ἐσβαλεῖν. καὶ ὡς ἐκαθέζοντο, προσβολὰς παρεσκευάζοντο τῷ τείχει ποιησόμενοι μηχανάς τε καὶ ἄλλῳ τρόπῳ· ἡ γὰρ Οἰνόη οὖσα ἐν μεθορίοις τῆς Ἀττικῆς καὶ Βοιωτίας ἐτετείχιστο, καὶ αὐτῷ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο, ὁπότε πόλεμος

δέχοιντο] ἐνόμιζον. 1. Κατεσκευάσαντο] κατασκευὰς ἐποιήσαντο. 4. Τά τε μακρὰ τείχη] ἐπάνω τῶν τειχῶν. 10. Ἐς Οἰνόην πρῶτον] Οἰνόη δῆμος τῆς Ἀττικῆς, ὅριον οὖσα Ἀθηναίων καὶ Βοιωτῶν. 11. Τῷ τείχει] τῆς Οἰ-

1. κατεσκεύασαντο Palmerius probante Wyttenbachio.
2. ἐδύναντο e.
4. ᾤκισαν Q.
5. πειραιέως C.e.f.
τὸν] om. L.O.P.
6. ἐγείροντες I.L.O.P.e.
7. Νεῶν ἐπίπλουν ἐξαρτ.] Suidas in ἐπίπλους, et legit νηῶν Ionico more. Wass. Etiam CL. naves dicit, pro centum. Vid. infr. cap. 23. Videtur addidisse L. Corcyræas, cap. XXV. Duk.
9. Ὁ δὲ στρατὸς—ἐσβαλεῖν] Locum adducit Suidas in ἀφίκετο. Wass. Sed omittit hæc τῶν Πελοποννησίων προϊὼν, et πρῶτον; et pro ἐς, εἰς; pro ἐσβαλεῖν, εἰσβαλεῖν habet. Addit deinde aliquid de syntaxi, quod satis obscurum est. Duk.
στρατηγὸς Q.
10. Ἐς Οἰνόην] Altera erat Οἰνόη ad Marathonem. at illa, quæ ad Eleutheras, in confiniis Bœotiæ, hic loci memoratur a Thucydide, ut testatur Harpocrat. in voce Οἰνόη. Huds. Οἰνόη δῆμος τῆς Ἱπποθοωντίδος, πρὸς Ἐλευθέραις. Harpocrat. vid. Hesych. in Οἰναῖοι τῇ χαράδρᾳ, et Suidam. Herodot. V. 74. Pollucem VIII. 9. Pausan. Demosth. contra Timocr. Plutarch. Cim. p. 425. Eustath. Il. β'. 297. Platon. Protag. p. 217. Menex. 521. Lucian. Icarom. Liban. Decl. 451. Wass.
τὸ πρῶτον L.
12. ποιησάμενοι μηχανὰς L.O.P.
13. μεθορίῳ G.
καὶ βοιωτίας] om. i.

καταλάβοι. τάς τε οὖν προσβολὰς ἠὐτρεπίζοντο, καὶ ἄλλως ἐνδιέτριψαν χρόνον περὶ αὐτήν. αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἀπ' αὐτοῦ, δοκῶν καὶ ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου μαλακὸς εἶναι καὶ τοῖς Ἀθηναίοις ἐπιτήδειος, οὐ παραινῶν προθύμως πολεμεῖν· ἐπειδή τε ξυνελέγετο ὁ στρατὸς, ἤ τε ἐν τῷ ἰσθμῷ ἐπιμονὴ γενομένη καὶ κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης διέβαλεν αὐτὸν, μάλιστα δὲ ἡ ἐν τῇ Οἰνόῃ ἐπίσχεσις. οἱ γὰρ Ἀθηναῖοι ἐσεκομίζοντο ἐν τῷ χρόνῳ τούτῳ, καὶ ἐδόκουν οἱ Πελοποννήσιοι ἐπελθόντες ἂν διὰ τάχους πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν. ἐν τοιαύτῃ μὲν ὀργῇ ὁ στρατὸς τὸν Ἀρχίδαμον ἐν τῇ καθέδρᾳ εἶχεν. ὁ δὲ προσδεχόμενος, ὡς λέγεται, τοὺς Ἀθηναίους τῆς γῆς ἔτι ἀκεραίου οὔσης ἐνδώσειν τι καὶ κατοκνήσειν περιδεῖν

ira exercitus in Archidamum, de industria cunctari visum, movetur.

νῆς. 3. Ἀπ' αὐτοῦ] τοῦ βράδους. Δοκῶν] νομιζόμενος. Ἐν τῇ ξυναγωγῇ] ὅτε ἀπέτρεπε τὸ πολεμεῖν. 6. Ἐπιμονὴ] ἀργία. 7. Κατὰ τὴν ἄλλην πορείαν] ὅτε τὸν Μελήσιππον ἔπεμψεν. 8. Ἐπίσχεσις] ἀργία. 9. Ἐν τῷ χρόνῳ τούτῳ] τῆς βραδυτῆτος δηλονότι. 11. Διὰ τὴν ἐκείνου μέλλησιν] ἐβράδυναν δηλονότι. 12. Ἐν τῇ καθέδρᾳ] τῇ ἀργίᾳ τῆς πολιορκίας

1. εὐτρεπίζοντο C.

2. Χρόνῳ] Homer. Od. δ'. 599. Σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις, et Od. ζ'. 295. Ἔνθα καθεζόμενος μεῖναι χρόνον. In quibus deest ἐπί. Il. β'. 299. Καὶ μείνατ' ἐπὶ χρόνον. Itaque non adsentior Stephano (omittenti hoc χρόνῳ, nisi addatur πολύν vel τινά). Duk.

δὲ C.L.O.d.e.

3. καὶ τὰ ἐν B.g.h.

5. τε] om. P.

6. Ἥ τε ἐν—αὐτὸν] Laudat Suidas in σχολαίτερον, et ἡ δὲ, et γενομ. ἐπιμονὴ, et καὶ ἡ κατὰ τὴν legit, positura haud improbanda. Wass.

7. καὶ] om. C.e.

κατὰ] om. L.O.P.

διέβαλλεν K.Q.

10. ἔτι] post ἔξω ponunt c.f. τὰ N.Q.

11. λαβεῖν K.

μέλλησιν c.

12. Καθέδρᾳ] Suidas interp. ἡ ἐπίσχεσις. *Glossæ sessio.* Specta scriptoris auream plane ubertatem, ἐπιμονὴ, ἐπίσχεσις, ἕδρα, καθέδρα, διατριβὴ, ἀναβολὴ, μονὴ, σχολὴ, μέλλησις, ἔκνης. Καθέδρα tamen pro *obsidione* accipere videtur in Camillo Plutarchus, πρὸς τῷ Καπιτωλίῳ καθέδρα καὶ σχολὴ γενομένη χρόνιος. et Josephus V. 2. 6. Antiq. at Dionys. Halic. sensu Thucydideo Antiq. III. IV. ἀχθόμενος ἐπὶ τῇ ἀπράκτῳ ΚΑΘΕΔΡΑΙ. Contra autem Aristoteles aliique pro sessione. Wass.

εἶχον L.O.

14. ἀκεραίας K.

19. Ubi frustra Œnoë oppugnatur, neque ab Atheniensibus quidquam conceditur, Archidamus procedit in Atticam usque Acharnas, omnia vastans.

αὐτὴν τιμηθεῖσαν, ἀνείχεν. * ἐπειδὴ μέντοι προσβαλόντες τῇ Οἰνόῃ καὶ πᾶσαν ἰδέαν πειράσαντες οὐκ ἐδύναντο ἑλεῖν, οἵ τε Ἀθηναῖοι οὐδὲν ἐπεκηρυκεύοντο, οὕτω δὴ ὁρμήσαντες ἀπ' αὐτῆς, μετὰ τὰ ἐν Πλαταίᾳ τῶν ἐσελθόντων Θηβαίων γενόμενα ἡμέρᾳ ὀγδοηκοστῇ μάλιστα, τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος, ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ καθεζόμενοι ἔτεμνον πρῶτον μὲν Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον, καὶ τροπήν τινα τῶν Ἀθηναίων ἱππέων περὶ τοὺς Ῥείτους καλουμένους ἐποίησαντο· ἔπειτα προὐχώρουν, ἐν δεξιᾷ ἔχοντες τὸ Αἰγάλεων ὄρος, διὰ Κρω-

δηλανότι. 1. Ἀνεῖχεν] αὐτοὺς δηλανότι. 2. Πᾶσαν ἰδέαν] πάσης ἰδέας πολεμικῆς πεῖραν ἐπαγαγόντες. 8. Ἔτεμνον] τὰ δένδρα δηλανότι. 10. Ῥείτους] Ὄρος Ῥειτός, Ἡρωδιανὸς Ῥῖτος. 11. Αἰγάλεων] ἀρσενικὸν ὁ Αἰ-

3. οἵ] οὔ e.
ἀπεκηρυκεύοντο om. A.B.P.
4. ἐπ' I.e.
5. τοῦ ante θέρους om. C.e.
7. ὁ ἀρχίδαμος A.F.H.
δ] om. G.K.c.

9. Θριάσιον πεδίον] Si scriptura libri Gr. a quo abest πεδίον, unius alteriusve probati Codicis auctoritate confirmaretur, eam minime adspernandam putarem. Etsi enim Herodotus, Strabo, Stephanus, et alii fere ubique dicunt Θριάσιον πεδίον, et ex his Plin. IV. H. N. 7. *campus Thriasius*; tamen interdum etiam Θριάσιον solum invenias. Vid. Plutarch. Pelopid. pag. 512. et Arat. p. 1906. Ed. Steph. Aristid. Leuctric. sec. p. 159. Duk.
πεδίον] om. I.K.

10. ῥήτους L. ῥείκτους I.
Ῥείτους] Vid. Pausaniam I. 38. Suidam, Hesych. et Etymol. Wass.

11. ἐχώρουν f.
ἐν τῇ δεξιᾷ g. et omissa præpositione B.
ἔχοντες C.
αἰγάλεω L. αἰγέλεων c. αἰγάλεων f.
Αἰγάλεων] Herodot. VIII. 90. Schol. Sophoclis Œdip. Col. p. 558. et Nos in Addendis. Wass. Plinio l. d. est Ægialeus. Quæ Κεκροπία sit, mihi aliunde non magis constat, quam Cellario II. Geogr. Ant. 13. Κρωπειάν, quod in aliis Codd. est, in hoc tractu quoque nusquam memorari invenio. Nam Cecropium montem apud Senec. Hippol. princ. vel Κρωπίαν, δῆμον τῆς Λεωντίδος φυλῆς in Steph. de Urbib. huc pertinere non puto. Scriptura Cod. Reg. ἐν τῇ δεξιᾷ inusitatior est altera illa, quæ articulum omittit. Duk.
κρωπειᾶς A.B.F.H.K.N.c.f.g. h. κεκρωπείας C.L.O. κεκρωπίας I. κεκροπείας P. vulgo κεκροπίας.

πειᾶς, ἕως ἀφίκοντο ἐς Ἀχαρνάς, χωρίον μέγιστον τῆς Ἀττικῆς τῶν δήμων καλουμένων. καὶ καθεζόμενοι ἐς αὐτὸ στρατόπεδόν τε ἐποιήσαντο, χρόνον τε πολὺν ἐμμείναντες ἔτεμνον. γνώμη δὲ τοιᾶδε λέγεται τὸν Ἀρχίδαμον περί τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι, καὶ ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι. τοὺς γὰρ Ἀθηναίους ἤλπιζεν, ἀκμάζοντάς τε νεότητι πολλῇ καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς οὔπω πρότερον, ἴσως ἂν ἐπεξελθεῖν καὶ τὴν γῆν οὐκ ἂν περιδεῖν τμηθῆναι. ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο περὶ τὰς Ἀχαρνὰς καθήμενος, εἰ ἐπεξίασιν· ἅμα μὲν γὰρ αὐτῷ ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεῦσαι, ἅμα δὲ καὶ οἱ Ἀχαρνῆς, μέγα μέρος ὄντες τῆς πόλεως (τρισχίλιοι γὰρ ὁπλῖται ἐγένοντο), οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην. εἴ τε καὶ μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ οἱ Ἀθηναῖοι, ἀδεέστερον ἤδη ἐς τὸ ὕστερον τὸ πεδίον τεμεῖν καὶ πρὸς αὐτὴν τὴν πόλιν χωρήσεσθαι· τοὺς γὰρ Ἀχαρνέας, ἐστερημένους τῶν σφετέρων, οὐχ ὁμοίως προθύμους ἔσεσθαι

20. Quo consilio Archidamus circa Acharnas potissimum substiterit et castra posuerit.

γάλεως, ὡς Μενέλεως. ἄλλοι δὲ αὐδετέρως φασίν. 6. Ἐκείνῃ τῇ ἐσβολῇ] τῇ πρώτῃ ἐφόδῳ· ἐποίησαν γὰρ καὶ ἄλλας ἐσβολὰς εἰς τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι. 9. Ἐπεξελθεῖν] ἐπὶ τιμωρίᾳ. 12. Εἰ ἐπεξίασιν] εἰ ἐπεξελεύσονται οἱ Ἀθηναῖοι πρὸς πόλεμον. Αὐτῷ] τῷ Ἀρχιδάμῳ. 15. Ἐδόκουν] ἐνομίζοντο. 17. Ἐκείνῃ] τῇ πρώτῃ. 20. Τῶν σφετέρων] κτημάτων. Προ-

1. χῶρον B.F.G.H.N.c.g.
3. αὐτὸν A.C.F.G.H.N.P.c.e.g. αὐτὰ C. αὐτὰς L.
ἐμμένοντες L.O.
6. οὐ] μὴ L.
8. καὶ] om. h.i.
ὡς οὔπω πρότερον] om. L.
10. καὶ] κατὰ L.O.
16. καὶ τοὺς] αὐτοὺς L.O.P. ἂν τοὺς Q. τοὺς K.
ἅπαντας K.
17. καὶ ante μὴ om. K.
18. τὸ πεδίον A.B.F.H.K.L.N.O.P.c.d.f.g.h.i. τό τε πεδίον ceteri.
ταμεῖν K.d.i.
πρὸς A.B.F.H.I.K.L.O.P.c.f.g.h.i. vulgo ἐς.
19. γὰρ] om. C.

ὑπὲρ τῆς τῶν ἄλλων κινδυνεύειν, στάσιν δὲ ἐνέσεσθαι τῇ γνώμῃ. τοιαύτῃ μὲν διανοίᾳ ὁ Ἀρχίδαμος περὶ τὰς Ἀχαρνὰς ἦν.

21. Athenienses cum non sustineant videre agrorum suorum vastationem, plerique poscunt pugnam; et Periclem, qui, dux cum sit, non educat exercitum, probris lacessunt.

* Ἀθηναῖοι δέ, μέχρι μὲν οὗ περὶ Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον ὁ στρατὸς ἦν, καί τινα ἐλπίδα εἶχον ἐς τὸ ἐγγυτέρω αὐτοὺς μὴ προϊέναι, μεμνημένοι καὶ Πλειστοάνακτα τὸν Παυσανίου, Λακεδαιμονίων βασιλέα, ὅτε ἐσβαλὼν τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίωζε στρατῷ Πελοποννησίων, πρὸ τοῦδε τοῦ πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν, ἀνεχώρησε πάλιν ἐς τὸ πλεῖον οὐκέτι προελθών (διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ Σπάρτης, δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώρησιν)· ἐπειδὴ δὲ περὶ Ἀχαρνὰς εἶδον τὸν στρατὸν ἐξήκοντα σταδίους τῆς πόλεως ἀπέχοντα, οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' αὐτοῖς, ὡς εἰκὸς, γῆς τεμνομένης ἐν τῷ ἐμφανεῖ, ὃ οὔπω ἑωράκεσαν οἵ γε νεώτεροι, οὐδ' οἱ πρεσβύτεροι πλὴν τὰ Μηδικά, δεινὸν ἐφαίνετο, καὶ ἐδόκει τοῖς τε ἄλλοις, καὶ μάλιστα τῇ νεότητι, ἐπεξιέναι καὶ μὴ περιορᾶν. κατὰ ξυστάσεις

θύμους ἔσεσθαι] ἀπὸ κοινοῦ τὸ ἐθύκουν. 1. Ὑπὲρ τῆς τῶν ἄλλων] γῆς δηλονότι. 7. Παυσανίου] τοῦ προδότου, τοῦ ἐν Πλαταιαῖς στρατηγοῦ. 10. Ἐς τὸ πλεῖον] ἐς τὸ περαιτέρω. Οὐκέτι προελθών] σημείωσαι τὴν σύνταξιν, ὅτι Θουκυδιδεία ἐστί. 11. Αὐτῷ] τῷ Πλειστοάνακτι. 12. Χρήμασι πεισθῆναι] μετὰ πειθοῦς χρημάτων ποιῆσαι τὴν ἀναχώρησιν. 14. Ὡς εἰκὸς] ὡς ἐστὶν εἰκάσαι. 15. Ἐν τῷ ἐμφανεῖ] φανερῶς. 18. Τῇ νεότητι] τῷ πλήθει τῶν νέων. Ἐπεξιέναι] κατὰ τῶν πολεμίων δηλονότι. Κατὰ ξυσ-

1. στάσιν] πᾶσιν H.
τε K.
4. μὲν] om d.
οὖ] οὖν B.F.H.N.Q.d.f.g.
5. ἐς τὸ] ἐς τὸν K. τὸ f. om. C.L.O.P.Q.
6. προσιέναι K.
8. ἐθρίωζε H.
10. πλεῖον A.B.F.H.K.Q.c.g. ceteri πλέον.
οὐκέτι] οὐ g.
προσελθών A.B.
11. δὴ A.B.F.H.K.N.b.c.g.h. i. om. C.L.O.P.e. vulgo δὲ.
καὶ] om. K.N.
14. Ἀνασχετὸν] Agnoscit et explicat Pollux III. 130. Noster ab Herodoto sumsit. Ἀνσχετὰ ἔργα apud Homer. Wass.
15. γῆς A.B.C.F.H.K.L.N.O. P.Q.b.c.g.h.i. ceteri τῆς γῆς.
16. οἱ] om. i.

τε γιγνόμενοι ἐν πολλῇ ἔριδι ἦσαν, οἱ μὲν κελεύοντες ἐξιέναι, οἱ δέ τινες οὐκ ἐῶντες. χρησμολόγοι τε ἦδον χρησμοὺς παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὤργητο. οἵ τε Ἀχαρνῆς οἰόμενοι παρὰ σφίσιν αὐτοῖς οὐκ ἐλαχίστην μοῖραν εἶναι Ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον μάλιστα. παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις, καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον, καὶ ὧν παρήνεσε πρότερον ἐμέμνηντο οὐδέν, ἀλλ' ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι, αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων ὧν ἔπασχον.

22. Pericles, constans sibi, neque in pugnam educit, et urbem custodit. Equites tantum Athenienses et Thes-

10 * Περικλῆς δὲ ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χαλεπαίνοντας καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν οὐδὲ ξύλλογον οὐδένα, τοῦ μὴ ὀργῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν, τήν τε πόλιν ἐφύλασσε καὶ δι' ἡσυχίας μάλιστα, ὅσον ἐδύνατο, εἶχεν.

τάσεις] οἷον κατὰ συστήματα καὶ πλήθη γινόμενοι οἱ Ἀθηναῖοι. 3. Ὡς ἕκαστος] τῶν Ἀθηναίων δηλονότι. 5. Ἐτέμνετο] ἠφανίζετο. Ἐνῆγον] παρεκίνουν. 6. Ἀνηρέθιστο] διεγείρετο. 8. Οὐκ ἐπεξάγοι] οὐκ ἐπιφέροι τὸ στράτευμα κατὰ τῶν πολεμίων. 12. Γιγνώσκειν] κρίνειν. 14. Ξυνελθόντας] συστάντας. 15. Δι' ἡσυχίας εἶχεν] ἡσύχαζε.

1. ἐξιέναι A.B.F.G.H.K.N.c. g.h.i. ceteri ἐκεξιέναι.

3. ἠκροᾶτο C.b.e.

ὡς] om. A.C.F.G.c.f.g.i.

ὄργητο A.B.F.H.N.Q.g.h. ceteri ὥρμητο..

Ὥρμητο] MSS. Clar. Reg. Cass. ὄργητο, cujus illud glossema esse patet ex v. ἀνηρέθιστο. Herodotus apud Suidam de Thucydide, ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα. Noster IV. 108. Λακεδαιμονίων ὀργώντων ἤμελλον πειράσεσθαι. Pindarus Pyth. IX. 76. Ἔτραπε μείλιχος ὀργὰ Παρφάμεν τοῦτον λόγον. Vid. et Nem. V. 58. Noster Herodotum sequitur. Sed et III. 82. p. 217. τὰς ὀργὰς ὁμοῖοι: ubi quidam Codd. ὁρμὰς male; vide Aristoph. Av. 462. et Schol. Erotianum et Hippocratem, et quæ adducit Hesychius ex Schol. Lysistratæ 1115. Hæ voces confunduntur etiam apud Josephum 1174, 29. ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων. Busb. ὁρμήν. Wass.

5. ἡ γῆ αὐτῶν Q.

10. μὲν] om. c.

11. οὐ] om. g.

15. ἐδύνατο A.B.G.H.K. cum Dionysio: vulgo ἠδύνατο.

sali, qui ex pluribus civitatibus ob veterem societatem aderant, emittuntur, ne hostium præcursores vicinos urbi agros vastent. Præliо commisso, progrediente hostium gravi armatura, equites repelluntur, paucis occisis, sed sine sponsione sublatis.

ἱππέας μέντοι ἐξέπεμπεν ἀεί, τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως, κακουργεῖν· καὶ ἱππομαχία τις ἐνεγένετο βραχεῖα ἐν Φρυγίοις τῶν τε Ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων, καὶ Θεσσαλοῖς μετ' αὐτῶν, πρὸς τοὺς Βοιωτῶν ἱππέας, ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ Ἀθηναῖοι καὶ Θεσσαλοὶ, μέχρι οὗ προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν τροπὴ ἐγένετο αὐτῶν, καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους. καὶ οἱ Πελοποννήσιοι τροπαῖον τῇ ὑστεραίᾳ ἔστησαν. ἡ δὲ βοήθεια αὕτη τῶν Θεσσαλῶν κατὰ τὸ παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς Ἀθηναίοις· καὶ ἀφίκοντο παρ' αὐτοὺς Λαρισσαῖοι, Φαρσάλιοι, Παράσιοι, Κρανώ-

1. Προδρόμους] τῶν Λακεδαιμονίων. 3. Κακουργεῖν] λῃστεύειν. 4. Ἐν Φρυγίοις] τόπος τῆς Ἀττικῆς. Τέλει ἑνὶ] τάγματι ἑνί. 5. Θεσσαλοῖς] οἱ γὰρ Θεσσαλοὶ σύμμαχοι πάλιν ἐγένοντο τοῖς Ἀθηναίοις. Μετ' αὐτῶν] τῶν Ἀθηναίων. Πρὸς τοὺς Βοιωτῶν ἱππέας] κατὰ τῶν Βοιωτῶν. 8. Αὐτῶν] τῶν Ἀθηναίων δηλονότι. 9. Ἀσπόνδους] ὅ ἐστι, μὴ δεηθέντες σπονδῶν αἴτησιν παρὰ Πελοποννησίων. οὐδὲ γὰρ ἦσαν πάνυ ἠττημένοι, ὥστε καὶ δεηθῆναι σπονδῶν, ἵνα θάψωσιν αὐτούς. 13. Παρ' αὐτοῦς] τοὺς Ἀθηναίους δηλονότι. Παρ-

1. Ἱππέας—ἔστησαν] D. Hal. 114. Wass.

μέντοι τινας ἐξέπεμπεν Dionysius.

2. ἐμπίπτοντας I.L.O.P.e. ἐπιπίπτοντας Q. et Dionysius.

τοὺς τῆς πόλεως ἐγγὺς f. τοὺς ἐγγὺς πόλεως L.O.

3. ἐνεγένετο A.B.F.H.h. ἐγίνετο f. vulgo ἐγένετο.

4. ἐν] om. P.

φρυγίᾳ g.

Ἐν Φρυγίοις] Inter Bœotiam et Atticam ponit Stephanus. Sed in Attica fuisse, quod dicit Scholiastes, ex ipso Thucydide adparet. Duk.

9. οὐ] οἱ C.I.L.O.P.

11. τῶν θεσσ. αὖτη e.

13. λαρισαῖοι H.K.

φαρσ.—παράσιοι] om. I.

παράσιοι B. παρράσιοι g. Vide Heringam Observ. p. 162.

Κρανώνιοι] Sotion de Mirab. 130. ἐν Κραννῶνι, mendose. Vid. Holstenium ad Steph. et Galen. 479. 4. Hippocrat. de Morbis popul. II. 1. Apud Schol. ad h. l. nescio an Πειράσιοι. De Parnethe vid. Whelerum Itiner. 455. Βρίλησσος est apud Sextum Emp. p. 51. De Gyrtoniis vid. Voss. ad Melamp. 141. Schol. Apollon. I. 57. Wass.

νιοι, Πειράσιοι, Γυρτώνιοι, Φεραῖοι. ἡγοῦντο δὲ αὐτῶν ἐκ μὲν Λαρίσσης Πολυμήδης καὶ Ἀριστόνους, ἀπὸ τῆς στάσεως ἑκάτερος, ἐκ δὲ Φαρσάλου Μένων· ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες.

5 * Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ οὐκ ἐπεξῆσαν αὐτοῖς οἱ Ἀθηναῖοι ἐς μάχην, ἅραντες ἐκ τῶν Ἀχαρνῶν ἐδῄουν τῶν δήμων τινὰς, ἄλλους τῶν μεταξὺ Πάρνηθος καὶ Βριλήσσου ὄρους. ὄντων δὲ αὐτῶν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον, ἅσπερ παρεσκευάζοντο, καὶ χιλίους ὁπλίτας ἐπ' αὐτῶν καὶ τοξότας τετρακοσίους· ἐστρατήγει δὲ Καρκῖνός τε ὁ Ξενοτίμου καὶ Πρωτέας ὁ Ἐπικλέους καὶ Σωκράτης ὁ Ἀντιγένους. καὶ οἱ μὲν ἅραντες τῇ παρασκευῇ ταύτῃ περιέπλεον, οἱ δὲ Πελοποννήσιοι, χρόνον ἐμμείναντες ἐν τῇ Ἀττικῇ ὅσου εἶχον τὰ ἐπιτήδεια, ἀνεχώρησαν διὰ Βοιωτῶν,

23. Dum ulterius agrum Atticum vastant Peloponnesii, Athenienses centum naves mittunt circa Peloponnesum. Lacedæmonii, victu deficiente, in Bœotiam recedunt, inde in Peloponnesum et in urbem quisque suam.

ράσιοι] Παράσιοι Ἀρκάδες, Παράλιοι Θεσσαλοί. 1. Ἐκ μὲν Λαρίσσης] ἡ Λάρισσα ἐστασίασε πρὸς ἑαυτήν· διὸ ἑκατέρα μερὶς ἄρχοντα εἶχε. λέγει δὲ ὅτι ἑκατέρα στάσις δύναμιν Ἀθηναίοις ἀπέστειλεν. οἱ μὲν γὰρ δημοκρατίαν ἤγαγον, οἱ δὲ ὀλιγαρχίαν. 7. Πάρνηθος] ὁ Πάρνης ὄνομα ὄρους. 8. Αὐτῶν] τῶν Ἀθηναίων δηλονότι. 12. Καὶ Σωκράτης] ἄλλος Σωκράτης ὁ Σωφρονίσκου. 13. Καὶ οἱ μὲν] οἱ στρατηγοὶ τῶν Ἀθηναίων. Ἅραντες] τὰς ναῦς δηλονότι. Τῇ παρασκευῇ ταύτῃ] τῇ τῶν ἑκατὸν νεῶν δηλονότι.

1. πυράσιοι H.
Φεραῖοι] Gens Achaiæ, Bœotiæ, Messeniæ et Thessaliæ. Vid. Hippocrat. de Morb. vulg. V. 7. 237. qui ἐν Φαίρῃσι Thessal. Demosth. p. 2. 220. 223. ἐν Φερβαῖς Libanius 107. et Nicandri Schol. p. 80. minus emendate. Adi etiam et Cantacuzenum 161. 662. Apollonii Schol. α'. 49. Wass.
2. λαρίσης H.K.
ἀριστείους K.
3. δὲ] om. f.
καὶ ἐκ τῶν L.
5. ἐπεξίασιν F.H. ἐξῆσαν d.
6. οἱ] om. P.
ἐς] πρὸς Q.
Ἅραντες] Agnoscit Suidas h. v. Diodor. strictim p.309. a. Wass. Suidas ibi, ut observavit Kuster. descripsit verba Scholiastæ ad cap. 25. Duk.
7. πάρνιθος d.g. πάρνιτος Q.
βριλησσοῦ G.K.N.
9. ναῦς εἰς τὰ περὶ L.O.
ὥσπερ K.
11. τετρακοσίους] τετριακοσίους P.
ξενοτόκου Q.
12. καὶ πρωτέας τε ὁ e.
15. ὅσου A.B.C.F.H.K.g.h.i. Conf. 3, 1.
ἂν εἶχον h.i.

οὐχ ἥπερ ἐσέβαλον· παριόντες δὲ Ὠρωπὸν τὴν γῆν τὴν Πειραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν. ἀφικόμενοι δὲ ἐς Πελοπόννησον διελύθησαν κατὰ πόλεις ἕκαστοι.

24. Atheniensium scita post discessum hostis.

Ἀναχωρησάντων δὲ αὐτῶν οἱ Ἀθηναῖοι φυλακὰς κατεστήσαντο κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὥσπερ δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν· καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς ἐξαίρετα ποιησαμένοις χωρὶς θέσθαι καὶ μὴ ἀναλοῦν, ἀλλ' ἀπὸ τῶν ἄλλων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει καὶ δέῃ ἀμύ-

1. Οὐχ ἥπερ ἐσέβαλον] οὐ τῇ ὁδῷ ᾗ ἐσέβαλον, εἰς τὴν Ἀττικὴν δηλονότι. Παριόντες δὲ Ὠρωπὸν] ὅπως καὶ τἆλλα δῃώσαντες μᾶλλον λυπήσωσιν. 9. Ἐξαίρετα] ἀποκεκριμένα. 10. Τῶν ἄλλων] ταλάντων δηλονότι. 11. Ἐς ἄλλο τι] εἰς ἄλλην χρείαν πραγμάτων. 12. Νηΐτῃ στρατῷ] δηλονότι ὡς μεγάλου κινδύνου κρεμαμένου. οὐ γὰρ ἂν ναυτικῷ στρατῷ οἱ Λακεδαιμόνιοι ἐσέβαλον εἰς τὴν Ἀττικὴν διὰ τὸν Πειραιᾶ, εἰ μὴ κατὰ κράτος ἤδη ἐνίκων τῷ πεζῷ τοὺς Ἀθηναίους. οὗτοι γὰρ κατὰ θάλασσαν πολὺ πρεῖττον τῶν Λα-

1. Ὠρωπὸν] Hujus urbis meminerunt Demosthenes de Pace p. 22. Demades Orat. 239. Isocrates 446. Menedemus apud Laërtium 162. Liban. 451. Adeat Lector Salmasium in Plinianis p. 104. et Whelerum Itiner. 456. Wass.

Τὴν Πειραϊκὴν] Hic locus apud Stephan. in Ὠρωπὸς ita legitur: παριόντι (errore scribarum pro παριόντες) Ὠρωπὸν τὴν Γραικὴν καλουμένην. Pro Γραικὴν ibi alii legunt Γραΐην, alii Γραῖαν, alii Γραϊκὴν, ac perinde varie Thucydidem emendant. Vid. Interpretes Stephani, Salmas. ad Solin. l. d. et Palmer. Exercit. pag. 48. Hartung. Locor. memorab. Decur. 1. cap. 2. et Leopard. XX. Emend. 16. Add. Casaub. ad Strabon. IX. p. 404. Duk.

5. φυλακὰς A.B.C.F.H.K.L. N.O. nonnulli φύλακας.

7. διαφυλάξειν c.f.

9. ποιησομένους P.

10. εἴποι d.

ψηφίσῃ F. ἐπιψηφίσοι f.

11. ἢν] ᾗ K. εἰ e.

οἱ] om. K.

Ἢν μὴ οἱ πολ.] Vide Petiti Leges Atticas, p. 382. &c. Huds.

Ἢν μὴ οἱ] Lexicon MS. in Bibl. Coislin. ᾗ ἐὰν—ἐπιπλέουσιν. ᾗ ἐὰν βιασθῇ ὑπάρχει τοῖς ἀπιστήσασι πολεμίοις, corrupte. νηΐτῃ στόλῳ citat, opinor, ex Procopio, Suidas. Wass.

ναεσθαι, θάνατον ζημίαν ἐπέθεντο. τριήρεις τε μετ' αὐτῶν ἑκατὸν ἐξαιρέτους ἐποιήσαντο κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας, καὶ τριηράρχους αὐταῖς, ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ μετὰ τῶν χρημάτων περὶ τοῦ αὐτοῦ κινδύνου, ἣν δέῃ.

25. Eorundem classis appellit ad Methonem, idque oppidum oppugnat. Audax Brasidæ facinus, quo primum innotuit. Quo facto Athenienses in Elidem proficiscuntur, ad Pheam appellunt, et agros vastant.

* Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ περὶ Πελοπόννησον Ἀθηναῖοι, καὶ Κερκυραῖοι μετ' αὐτῶν, πεντήκοντα ναυσὶ προσβεβοηθηκότες, καὶ ἄλλοι τινὲς τῶν ἐκεῖ ξυμμάχων, ἄλλα τε ἐκάκουν περιπλέοντες, καὶ ἐς Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες τῷ τείχει προσέβαλον, ὅτι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόντων. ἔτυχε δὲ περὶ τοὺς χώρους τούτους Βρασίδας ὁ Τέλλιδος, ἀνὴρ Σπαρτιάτης, φρουρὰν ἔχων· καὶ αἰσθόμενος ἐβοήθει τοῖς ἐν τῷ χωρίῳ μετὰ ὁπλιτῶν ἑκατόν. διαδραμὼν δὲ τὸ τῶν Ἀθηναίων στρατόπεδον ἐσκεδασμένον κατὰ τὴν χώραν καὶ πρὸς τὸ τεῖχος τετραμμένον, ἐσπίπτει ἐς τὴν Μεθώνην, καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσβολῇ ἀπολέσας τῶν μεθ' ἑαυτοῦ τήν τε πόλιν πε-

κώνων ἐν τῇ ναυμαχίᾳ. 1. Τριήρεις τε μετ' αὐτῶν] τῶν ταλάντων. 11. Ἀνθρώπων] λείπει πολλῶν. Περὶ τοὺς χώρους τούτους] τῆς Μεθώνης. 14. Διαδραμὼν] ἀντὶ τοῦ διὰ μέσου αὐτῶν δραμών. 17. Περιεποίησεν]

1. θάνατον ζημίαν A.B.C.F.H. K.L.N.O.P. et Parisini omnes: vulgo θάνατον τὴν ζημίαν.
ἀπέθεντο e.
2. ἑκατὸν ἐξαιρέτους A.B.G.K. c.d.f.g.h.i. ἐξαιρέτους, omisso ἑκατὸν, H. vulgo ἐξαιρέτους ἑκατὸν.
κατὰ τὸν ἐνιαυτὸν ἕκαστον] μετὰ τῶν ναυτῶν I.
τὸν] om. L.O.P.Q.
ἕκαστον] ἑκατὸν H. om. L.O.P.
3. τριηράρχας L.O.P.
4. ἐς] ἐπ' I.L.O.P.
τῶν] om. O.
6. περὶ] om. Q. περὶ τὸν K.
9. περιπλεύσαντες τὴν πελοπόννησον καὶ f.
Μεθώνην] Diodor. 309. b. recte addit τῆς Λακωνικῆς, quia Μεθώνη et oppidum Thraciæ. Vid. Steph. et Nicetam Choniat. p. 393. 409. Wass.
τὴν λακωνικὴν L.O.P.
10. τῷ τε τείχει C.
προσέβαλλον K.
12. τελιῖδος O.
13. μετὰ τῶν ὁπλιτῶν L.
17. ἐπιδρομῇ G.
ἀπολύσας K.
τῶν] om. K.
αὐτοῦ C.

ριεπτοίησε, καὶ ἀπὸ τούτου τοῦ τολμήματος πρῶτος τῶν κατὰ τὸν πόλεμον ἐπηνέθη ἐν Σπάρτῃ. οἱ δὲ Ἀθηναῖοι ἅπαντες παρέπλεον, καὶ σχόντες τῆς Ἠλείας ἐς Φειὰν ἐδήουν τὴν γῆν ἐπὶ δύο ἡμέρας, καὶ προσβοηθήσαντας τῶν ἐκ τῆς κοίλης Ἠλιδος τριακοσίους λογάδας, καὶ τῶν αὐτόθεν ἐκ τῆς περιοικίδος Ἠλείων, μάχῃ ἐκράτησαν. ἀνέμου δὲ κατιόντος μεγάλου χειμαζόμενοι ἐν ἀλιμένῳ χωρίῳ, οἱ μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς, καὶ περιέπλεον τὸν Ἰχθὺν καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα· οἱ δὲ Μεσσήνιοι ἐν τούτῳ, καὶ ἄλλοι τινὲς οἱ οὐ δυνάμενοι ἐπιβῆναι, κατὰ γῆν χωρήσαντες τὴν Φειὰν αἱροῦσι. καὶ ὕστερον αἵ τε νῆες περιπλεύσασαι ἀναλαμβάνουσιν αὐτοὺς, καὶ ἐξανάγονται ἐκλιπόντες Φειὰν, καὶ τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ προσεβεβοηθήκει. παραπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα χωρία ἐδήουν.

26. Aliæ Atheniensium

Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον οἱ Ἀθηναῖοι τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα, καὶ Εὐβοίας ἅμα

ἐφύλαξε. 1. Ἀπὸ τούτου] ἀπὸ ταύτης τῆς ὁρμῆς. 3. Ἅραντες] τὸ ἅραντες κυρίως ἐπὶ θαλάσσης εἴρηται, ἔστι δ' ὅτε καὶ ἐπὶ γῆς. Σχόντες] ἀντὶ τοῦ προσσχόντες. Τῆς Ἠλείας] εἰς δύο διήρητο ἡ Ἦλις, εἰς ὀρεινὴν καὶ κοίλην. 6. Τῆς περιοικίδος] τῆς περιχώρου. 10. Ἐν τούτῳ] τῷ καιρῷ. Ἄλλοι τινὲς] οἱ ἐν Ναυπάκτῳ δηλονότι. 11. Ἐπιβῆναι] ἐπὶ τὰς ναῦς. Τὴν

2. ἐν τῇ σπάρτῃ g.
3. περιέπλεον G.
φειὰς Q.
5. τῆς] om. C.
7. καταπιόντος I.
χειμαζομένων e.
ἀλίμενι c.
8. ἐπὶ] ἐς d.
9. Ἰχθῦν] Recte. Vid. Strabon. VIII. p. 527. Agathem. p. 15. Ptolemæum, Plin. IV. 5. Melam. II. 3. Xenoph. Hellen. VI. Athenæum p. 346. De Φειᾷ adi Homerum, Hesych. et Holstenium ad Steph. Wass. In Ptolemæo, Strabone Lib. XVII. pag. 836. et Agathem. est Ἰχθύς; in Xenoph. VI. Græc. pag. 588. Ἰχθῦς. Cass. quoque hic Ἰχθῦν. Et hunc tonum etiam adpellativo dat Etymol. M. Duk.
11. τὴν] om. C.L.O.P.e.
13. ἐξάγονται g.
ἐκλείποντες C.I.L.P.d.e.
14. προβεβοηθήκει d.
περιπλεύσαντες h.
16. τὸν αὐτὸν τοῦτον χρόνον L.O.P.
οἱ] om. C.e.

φυλακήν· ἐστρατήγει δὲ αὐτῶν Κλεόμπμος ὁ Κλεινίου. καὶ ἀποβάσεις ποιησάμενος τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδῄωσε καὶ Θρόνιον εἷλεν, ἐμπόρους τε ἔλαβεν αὐτῶν, καὶ ἐν Ἀλόπῃ τοὺς βοηθήσαντας Λοκρῶν μάχῃ ἐκράτησεν.

triginta naves, circa Locridem missæ, Thronium capiunt, et pugna profligant Locros subvenientes.

*Ἀνέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο, τῇ Πελοποννήσῳ ἐπικειμένην, αὐτῶν πέμψαντας ἐποίκους ἔχειν. καὶ ἐξέπεμψαν ὕστερον οὐ πολλῷ ἐς αὐτὴν τοὺς οἰκήτορας. ἐκπεσοῦσι δὲ τοῖς Αἰγινήταις οἱ Λακεδαιμόνιοι ἔδοσαν Θυρέαν οἰκεῖν καὶ τὴν γῆν νέμεσθαι, κατά τε τὸ Ἀθηναίων διάφορον, καὶ ὅτι σφῶν εὐεργέται ἦσαν

27. Eadem æstate Ægina, incolis suis exuta, Atheniensibus colonis completur. Expulsis Lacedæmonii Thyream, in confinio Argivæ et Laconicæ sitam, concedunt.

Φειὰν αἱροῦσι] τὴν πόλιν αὐτὴν πορθοῦσι. 6. Ἀνέστησαν] μετῴκισαν, διὰ τὸ εὔνους εἶναι τοῖς Λακεδαιμονίοις. 8. Ἐπικαλέσαντες] ἐγκαλέσαντες αὐτοῖς τοῦ πολέμου μάλιστα αἰτίους εἶναι. 10. Ἐποίκους] ἄποικοι μὲν οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι, ἔποικοι δὲ οἱ ἐν πόλει, ὥσπερ νῦν. 12. Ἐκπεσοῦσι] ἐξορισθεῖσιν. 14. Εὐεργέται ἦσαν] συμμαχήσαντες ἴσως αὐ-

1. θεόπομπος d.

2. ὑποβάσεις b.

Ἀποβάσεις ποιησ.] Eadem habet Diodorus, et iisdem fere verbis lib. 12. Huds.

θαλασσίου c.

3. θράνιον L.O.P.

Θρόνιον] At cum editis Steph. Harpocration, Homer. Pausan. Diod. p. 309. Wass.

4. ἀλόπῃ A.B.H.I.L.O. ἀκόπῃ P. vulgo ἀλόπῃ.

Ἀλόπῃ] Ἄλοπη etiam Hesychius, Homer. Il. β'. 682. Pausanias, Hesiodus, Clemens Alexandrinus, aliique. Paulo infra Dionys. Halic. pag. 143. ἀνέστησαν δὲ Αἰγινήτας, omissa copula καί; et καὶ γυναῖκας καὶ παῖδας· item ἀσφαλέστερον ἂν ἐφαίν. et Πελοποννησίων. Illud ἂν non displicet. Idem οὐχ ἥκιστα. Wass.

7. οἱ ἀθηναῖοι e.

8. ἐπικαλέσαντας f.

10. πέμψαντας A.B.G.H.K.g. ceteri πέμψαντες.

Ἐποίκους] Agnoscit Suidas, in ἀποίκησις et ἔποικος· qui ex Schol. emend. et supplendus. Vid. Aristot. Polit. et alibi passim, Philostratum Ep. 47. Th. Magist. citat, ἐποίκους ἔπεμψαν Ἀθηναῖοι. Aristoph. Ὄρν. 1307. Ὥστε πτερῶν σοι τοῖς ΕΠΟΙΚΟΙΣ δεῖ τοθεν. Pindarus Ol. IX. 104. Τῖα δ' Ἄκτορος ἐξέχως Τίμασεν ΕΠΟΙΚΩΝ. Wass.

11. αὐτὴν οὐ πολλῷ ὕστερον Q.

13. θυραίαν A.B.K.b.g.h.

ὑπὸ τὸν σεισμὸν καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν. ἡ δὲ Θυρεᾶτις γῆ μεθορία τῆς Ἀργείας καὶ Λακωνικῆς ἐστὶν, ἐπὶ θάλασσαν καθήκουσα. καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾤκησαν, οἱ δ' ἐσπάρησαν κατὰ τὴν ἄλλην Ἑλλάδα.

28. Solis defectus.

* Τοῦ δ' αὐτοῦ θέρους νουμηνίᾳ κατὰ σελήνην, ὥσπερ καὶ μόνον δοκεῖ εἶναι γίγνεσθαι δυνατὸν, ὁ ἥλιος ἐξέλιπε μετὰ μεσημβρίαν, καὶ πάλιν ἀνεπληρώθη, γενόμενος μηνοειδὴς καὶ ἀστέρων τινῶν ἐκφανέντων.

29. Athenienses cum Sitalce, Odrysarum rege, societatem ineunt per ejus affinem Nymphodorum, Abderitam. Opes Odrysarum a quo primum firmatæ fuerint. Etiam Per-

* Καὶ ἐν τῷ αὐτῷ θέρει Νυμφόδωρον τὸν Πύθεω, ἄνδρα Ἀβδηρίτην, οὗ εἶχε τὴν ἀδελφὴν Σιτάλκης, δυνάμενον παρ' αὐτῷ μέγα, οἱ Ἀθηναῖοι, πρότερον πολέμιον νομίζοντες, πρόξενον ἐποιήσαντο καὶ μετεπέμψαντο, βουλόμενοι Σιτάλκην σφίσι τὸν Τήρεω, Θρᾳκῶν βασιλέα, ξύμμαχον γενέσθαι. ὁ δὲ Τήρης οὗτος, ὁ τοῦ Σιτάλκου πατὴρ, πρῶτος Ὀδρύσαις τὴν μεγάλην βασιλείαν ἐπὶ πλεῖον τῆς ἄλλης Θρᾴκης ἐποίησε· πολὺ γὰρ μέρος καὶ αὐτόνομόν ἐστι Θρᾳκῶν. Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος

τοῖς οἱ Αἰγινῆται. 1. Τεῦ] κατὰ τὸν καιρόν. 2. Μεθορία] μέση. 3. Καθήκουσα] παρατεινομένη. Ἐνταῦθα] ἐν τῇ Θυρεάτιδι γῇ. 9. Τὸν Πύθεω] ὁ Πύθης τοῦ Πύθεω, Ἰωνικῶς. 10. Σιτάλκης] βασιλεὺς Θρᾴκης. 11. Παρ' αὐτῷ] τῷ Σιτάλκῃ. 12. Πρόξενον] φίλον. 13. Σφίσι] τοῖς Ἀθηναίοις. Τὸν Τήρεω] ὁ Τήρης τοῦ Τήρεω. 15. Ὀδρύσαις] Ὀδρίσαι ἔθνος Θρᾳκῶν. 16. Αὐτόνομον] ἰδίοις νόμοις χρώμενον. 17. Τηρεῖ δὲ] Ἱστέον ὅτι ἐνταῦθα μόνον μῦθον εἰσάγει ἐν τῇ συγγραφῇ, καὶ τοῦτον διστάζων.

1. εἱλώτων H.K.
2. θυραιάτις A.B.K.g.h.
3. θαλάσσης B.g.h.
4. οἱ δ' ἐσπ.] om. O.P.
6. μόνος I.
'Ο ἥλιος] A. M. 3573. Per. Jul. 4283. Vid. Plutarch. Pericl. Wass. De sententia verborum νεομηνίᾳ κατὰ σελήνην adeundi sunt Scalig. II. de Emendat. Temp. p. 63. Petav. I. de Doctr. Temp. 8. et II. 11. et Petit. Eclog. Chronolog. IV. 7. Duk.
ἐξέλειπε f.
8. φανέντων d.
9. ἐν] om. K.d.f.i.
11. μέγαν C.c.
15. πρῶτος] om. d.
ἐπὶ πλεῖον A.B.F.H.K.Q.c.g.h. i. vulgo ἐπιπλέον.
16. ἄλλης] om L.
17. δὲ] om L.
τῷ τὴν πρόκνην N.
τὴν] τοῦ H.
Τηρεῖ δὲ &c.] Vide Meursii Regn. Athen. p. 92. 95. et Ber-

ἀπ' Ἀθηνῶν σχόντι γυναῖκα προσήκει ὁ Τήρης οὗτος οὐδὲν, οὐδὲ τῆς αὐτῆς Θράκης ἐγένοντο, ἀλλ' ὁ μὲν ἐν Δαυλίᾳ τῆς Φωκίδος νῦν καλουμένης γῆς ὁ Τηρεὺς ᾤκει, τότε ὑπὸ Θρᾳκῶν οἰκουμένης (καὶ τὸ ἔργον τὸ περὶ τὸν Ἴτυν 5 αἱ γυναῖκες ἐν τῇ γῇ ταύτῃ ἔπραξαν· πολλοῖς δὲ καὶ τῶν ποιητῶν ἐν ἀηδόνος μνήμῃ Δαυλιὰς ἡ ὄρνις ἐπωνόμασται. εἰκὸς δὲ καὶ τὸ κῆδος Πανδίονα ξυνάψασθαι τῆς θυγατρὸς διὰ τοσούτου, ἐπ' ὠφελείᾳ τῇ πρὸς ἀλλήλους, μᾶλλον ἢ διὰ πολλῶν ἡμερῶν ἐς Ὀδρύσας ὁδοῦ.) Τήρης 10 δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων, βασιλεύς τε πρῶτος ἐν κράτει Ὀδρυσῶν ἐγένετο. οὗ δὴ ὄντα τὸν Σιτάλκην οἱ Ἀθηναῖοι ξύμμαχον ἐποιήσαντο, βουλόμενοι σφίσι τὰ ἐπὶ Θράκης χωρία καὶ Περδίκκαν ξυνελεῖν αὐτόν. ἐλθών τε

dicas Athenienses conciliatur operaNympho dori.

2. Οὐδὲ τῆς αὐτῆς Θρᾴκης] εἰς τὸν αὐτὸν καὶ ἕνα τόπον τῆς Θρᾴκης. Ὁ μὲν] ὁ Τηρεὺς ὁ ἀρχαῖος. 4. Τὸ περὶ τὸν Ἴτυν] τοῦτόν τινες Ἰτυλὸν καλοῦσιν. 6. Ἐν ἀηδόνος μνήμῃ] ἀντὶ τοῦ μεμνημένοι τῆς ἀηδόνος τοῦ ὀρνέου. 8. Διὰ τοσούτου] δι' ὀλίγου διαστήματος. 10. Τὸ αὐτὸ ὄνομα] τοῦ Τηρέως. Ἐν κράτει] ἐν δυνάμει. 11. Οὗ] ὅπου. 12. Τὰ ἐπὶ Θρᾴκης χωρία] Χαλκιδέας, Βοττιαίους. 13. Ξυνελεῖν] προσποιήσασθαι.

kelii notas ad Steph. Byz. voce Δαυλίς. Huds.

1. ἀπ'] om. b.

προσήκει A.B.F.H.K.N.g.h.i. vulgo προσῆκεν.

2. ἐγένετο I.

Ἐν Δαυλίᾳ] Strabo IX. p. 648. locum hunc aut non intellexit, aut depravatis exemplaribus usus est. Wass. Sed vid. quæ ibi adnotant Xylander et Casaub. Hermogenes II. de Form. Orat. in fine, de hoc loco ita scribit: εἰ δέ που καὶ γλυκύτητα ἔχει (ὁ Θουκυδίδης) μάλιστα μὲν ὥσπερ ἀλλότριόν τι τῆς ἰδέας αὐτοῦ ἐκφαίνεται τὸ μέρος ἐκεῖνο. οἷόν ἐστι καὶ τὸ, Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος ἀπὸ Ἀθηνῶν σχόντι γυναῖκα, καὶ τὸ ἑξῆς. Daulia hic urbs, an regio sit, dubitat Æm. Portus. Sed potius urbs est. Vid. Interpretes Steph. in Δαυλίς, et Brod. I. Miscel. 32. Duk.

3. νῦν] om. C.e.

τήρης C.e.

5. καὶ ἐκ τῶν g.

7. τε C. γε e.

Κῆδος] Κῆδος, pro ἐπιγαμία, et κηδεία, et κηδεύματα apud Platon. et Demosth. Pollux III. 30. Vid. Hesych. κηδεσταί. Dionys. Halic. 718. Wass.

συνάψασθαι Q. ξυνάψασθαι καὶ g.

9. ὀδρύσας f.

10. οὐδὲ B.

12. ἐπιοῦντο C.I.L.O.P.e.

13. περδίκαν g.

ξυνεξελεῖν L.O.c.e.

ἐς τὰς Ἀθήνας ὁ Νυμφόδωρος τήν τε τοῦ Σιτάλκου ξυμμαχίαν ἐποίησε καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον, τόν τε ἐπὶ Θράκης πόλεμον ὑπεδέχετο καταλύσειν· πείσειν γὰρ Σιτάλκην πέμψειν στρατιὰν Θρᾳκίαν Ἀθηναίοις ἱππέων τε καὶ πελταστῶν. ξυνεβίβασε δὲ καὶ τὸν Περδίκκαν τοῖς Ἀθηναίοις, καὶ Θέρμην αὐτῷ ἔπεισεν ἀποδοῦναι· ξυνεστράτευσέ τ' εὐθὺς Περδίκκας ἐπὶ Χαλκιδέας μετ' Ἀθηναίων καὶ Φορμίωνος. οὕτω μὲν Σιτάλκης τε ὁ Τήρεω, Θρᾳκῶν βασιλεύς, ξύμμαχος ἐγένετο Ἀθηναίοις, καὶ Περδίκκας ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεύς.

30. Continuantur res a classe Atheniensium

* Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶν Ἀθηναῖοι, ἔτι ὄντες περὶ Πελοπόννησον, Σόλιόν τε Κορινθίων πόλισμα αἱροῦσι, καὶ παραδιδόασι Παλαιρεῦσιν Ἀκαρνάνων μόνοις τὴν γῆν καὶ

2. Τὸν υἱὸν αὐτοῦ] τὸν υἱὸν τοῦ Σιτάλκου, ἵνα λοιπὸν ὡς ὑπὲρ πατρίδος ἀγωνίζηται. Ἀθηναῖον] Ἀθηναίων πολίτην ἐποίησεν. 3. Ὑπεδέχετο] ὑπέσχετο. 5. Πελταστῶν] πέλτη ἀσπὶς τετράγωνος. Ξυνεβίβασε] φίλον ἐποίησεν αὐτοῖς τὸν Περδίκκαν. 6. Θέρμην] εἶχον γὰρ αὐτὴν Ἀθηναῖοι, ἐκ πολιορκίας κρατοῦντες. 13. Σόλιον] τὸ Σόλιον πόλισμα τῆς Ἠπείρου ἐστὶν

2. Σάδοκον] Historiam hanc tangit Aristoph. Acharn. 145. ubi Schol. Σάδοκον. Wass.

3. Τόν τε—Καταλύσειν] Adfert Thom. Magist. in ὑφίστασθαι, et adnotat etiam alibi Thucyd. et Herodotum ὑποδέχομαι dicere pro ὑπισχνοῦμαι. De Therme ab Atheniensibus capta est supr. lib. I. cap. 61. Duk.

4. πέμψειν A.B.F.H.K.N.c.d. f.g.h.i. vulgo πέμπειν.

Θρακίαν C. θρακηΐαν L.O. θρακήαν P.

5. ἱππέων—ἀθηναίοις] om C.

τε καὶ] om e.

τε] om. L.O.P.

6. τοῖς] om. L.O.P.

αὐτοῖς L.O.P.Q.

δοῦναι g.

7. ξυνεστράτευε C.I.e.

Περδίκκας] De illo et Archelao multa Plato in Gorg. quæ Historiarum conditores latent. p. 321. Confer. Diod. p. 416. Wass. Et supr. ad I. 57. Duk.

9. τε] om. e.

10. μακεδόνες P.

13. σόλλιον C.I.O.e. cum Stephano de Urb. Infra 3, 95. σόλιον E.F.H.e.g. σόλλιον K.Q. βόλλιον d.i.

14. παλαιρεῦσιν A.B.G.H.N.c. f.g.h. cum Strabone 10. p. 459. vulgo παλιρεῦσιν.

πόλιν νέμεσθαι· καὶ Ἄστακον, ἧς Εὔαρχος ἐτυράννει, λαβόντες κατὰ κράτος, καὶ ἐξελάσαντες αὐτὸν, τὸ χωρίον ἐς τὴν ξυμμαχίαν προσεποιήσαντο. ἐπί τε Κεφαλληνίαν τὴν νῆσον πλεύσαντες προσηγάγοντο ἄνευ μάχης. κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα, τετράπολις οὖσα, Παλῆς, Κράνιοι, Σαμαῖοι, Προναῖοι. ὕστερον δ' οὐ πολλῷ ἀνεχώρησαν αἱ νῆες ἐς τὰς Ἀθήνας.

circa Peloponnesum gestæ. Solium Acarnaniæ captum, dein Astacus. Cephallenia autem insula sine pugna conciliatur.

31. Prima Atheniensium incursio in Megaridem, posthac sæpius et quotannis repetita, numquam tamen majoribus

* Περὶ δὲ τὸ φθινόπωρον τοῦ θέρους τούτου Ἀθηναῖοι παν-δημεὶ, αὐτοὶ καὶ οἱ μέτοικοι, ἐσέβαλον ἐς τὴν Μεγαρίδα, Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος. καὶ οἱ περὶ Πελοπόννησον Ἀθηναῖοι ἐν ταῖς ἑκατὸν ναυσὶν (ἔτυχον γὰρ ἤδη ἐν Αἰγίνῃ ὄντες ἐπ' οἴκου ἀνακομιζόμενοι) ὡς ἤσθοντο τοὺς ἐκ τῆς πόλεως παν-στρατιᾷ ἐν Μεγάροις

ἐν τῇ Ἀκαρνανίᾳ. 1. Ἄστακον] πόλις Ἀκαρνανίας. 2. Αὐτὸν] τὸν τύραννον. 4. Προσηγάγοντο] ἐχειρώσαντο. 6. Σαμαῖοι] Σάμος ὁ ἀπὸ Σάμου, Σαμαῖος ὁ ἀπὸ Σάμης. 11. Καὶ οἱ περὶ Πελοπόννησον] οἱ περιπλέοντες κατὰ τῆς Πελοποννήσου. 12. Ἑκατὸν ναυσὶν] ὄντες δηλονότι. Ἔτυχον γὰρ ἐν Αἰγίνῃ] μεταξυλογία. 14. Τοὺς ἐκ τῆς πόλεως παν-στρατιᾷ]

1. ἄστακτων P.g. ἄσταχον B.
Ἄστακον] Ad Acheloi ostium in Acarnania ponit Scylax. Vid. Livium XXXVIII. 11. Ibi colonia Cephaleniæ. De Melanippo Astaci cujusdam filio consule Herodotum V. 67. De altero Bithyniæ Cedrenus 177. Ammian. XXII. 8. Cantacuzenus 273. Nicetus 233. Wass.
3. ἐπεισήσαντο e.
κεφαληνίαν C.L.
4. πλεύσαντες A.B. vulgo προσπλεύσαντες.
6. παλῆς A.B.F.K.Q.d.h.i. παλεῖς C.G.H.I.L.N.O.P.e.g. vulgo παλλῆς.
Παλλῆς &c.] Scripturam hujus loci expendit Sylburgius in Notis ad Etymolog. M. pag. 30. Vid. Tzetzem ad Lycophr. v. 791. Παλέων cum simplici λ est apud Reinesium in Inscript. III. 85. ΠΟΛΙΣ ΠΑΛΕΩΝ ΤΗΣ ΚΕΦΑΛΑΝΙΑΣ. Wass. Add. de hoc loco Holsten. ad Stephan. in Κράνιον. De Κρανίοις Spanhem. Dissert. IX. de Præstant. et Usu Numism. pag. 666. et de Σαμαίοις rursus Holsten. ad Steph. in Σάμος. Παλῆς Thuc. I, 27. Duk.
κρανεῖοι L.O. κραναῖοι I.
σάμιοι C.e.
προναῖοι I.L.O.P.Q.e. προναῖοι A.B.G.H.K.N. πρόναιοι c.f.g. vulgo πρόναιοι.
11. Περικλέους] Diodor. XII. 309. d. Wass.
13. ἤδη] om. B.F.H.N.Q.c.f.g.

copiis, quod urbs adhuc florebat ante pestem ingruentem, et forte reversa ex Peloponneso classis una cum illis in Megaridem contendebat.

ὄντας, ἔπλευσαν παρ' αὐτοὺς καὶ ξυνεμίχθησαν. στρατόπεδόν τε μέγιστον δὴ τοῦτο ἀθρόον Ἀθηναίων ἐγένετο, ἀκμαζούσης ἔτι τῆς πόλεως καὶ οὔπω νενοσηκυίας· μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν αὐτοὶ Ἀθηναῖοι (χωρὶς δὲ αὐτοῖς οἱ ἐν Ποτιδαίᾳ τρισχίλιοι ἦσαν,) μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τρισχιλίων ὁπλιτῶν, χωρὶς δὲ ὁ ἄλλος ὅμιλος ψιλῶν οὐκ ὀλίγος. δηώσαντες δὲ τὰ πολλὰ τῆς γῆς ἀνεχώρησαν. ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κατὰ ἔτος ἕκαστον ἐσβολαὶ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, καὶ ἱππέων καὶ πανστρατιᾷ, μέχρι οὗ Νίσαια ἑάλω ὑπ' Ἀθηναίων.

32. Insula Atalanta juxta Locridem Opuntiorum, adhuc deserta, ab Atheniensibus munitur, Eubœæ præsidio.

* Ἐτειχίσθη δὲ καὶ Ἀταλάντη ὑπ' Ἀθηναίων φρούριον τοῦ θέρους τούτου τελευτῶντος, ἡ ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσος ἐρήμη πρότερον οὖσα, τοῦ μὴ λῃστὰς ἐκπλέοντας ἐξ Ὀποῦντος καὶ τῆς ἄλλης Λοκρίδος κακουργεῖν τὴν Εὔβοιαν. ταῦτα μὲν ἐν τῷ θέρει τούτῳ, μετὰ τὴν Πελοποννησίων ἐκ τῆς Ἀττικῆς ἀναχώρησιν, ἐγένετο.

33. Deinceps sequuntur,

* Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Εὔαρχος ὁ Ἀκαρνὰν

τοὺς συμπολίτας αὐτῶν μετὰ πάντος τοῦ στρατεύματος. 1. Ἔπλευσαν παρ' αὐτοὺς] πλῷ χρησάμενοι ἦλθον εἰς αὐτούς. 3. Ἀκμαζούσης] ἀκμὴν καὶ αὔξησιν ἐχούσης τῆς πόλεως, καὶ οὔπω ὑπὸ νόσου ἐλαττωθείσης. 4. Αὐτοὶ Ἀθηναῖοι] οἱ ἀκραιφνεῖς καὶ οὐ ξένοι. 8. Τὰ πολλὰ τῆς γῆς] τὰ πολλὰ, μέρη δηλονότι, τῆς γῆς τῆς Μεγαρίδος. 11. Νίσαια] ἐπίνειον Μεγάρων. 12. Ἀταλάντη] ἡ νῦν λεγομένη Κασανδρία. 18. Εὔαρχος] ὁ τύραννος Ἀστάκου.

2. ἀθρόον K.
4. αὐτοὶ οἱ Ἀθηναῖοι C.G.L.O.e.
6. ξυνέβαλον] I.K.L.O.
7. ὀλίγων N. ὀλίγω K.
8. ἄλλαι A.B.C.G.H.I.K.N. Q.c.d.f.g.h. ceteri ἄλλαι πολλαί.
13. Ἐπὶ Λοκροῖς] Ἐπὶ pro παρὰ, ut l. III. 99. ἐπὶ τῷ Ἅλυκι pro παρὰ τῷ Ἅλ. ut monet Schol. sic in compositis ἐπιθαλάσσιος pro παραθαλάσσιος. Hudson. Schol. parvus Homeri ad Il. β. 788. Οἱ δ' ἀγορὰς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃσι· ἐπὶ, inquit, νῦν ἀντὶ τοῦ παρά. Et Poëta Il. η'. 346. pro eo, quod supra ἐπὶ dixerat, παρὰ ponit, ἀγορὴ γένετ'—παρὰ Πριάμοιο θύρῃσι. Obvium est apud omnes. Vid. Viger. de Idiotism. Ling. Gr. IX. 4. 17. De Atalanta infra lib. III. cap. 89. Dukr.
16. τὴν πελ. A.C.F.G.c.f.g.h. τὴν τῶν πελ. B.

βουλόμενος ἐς τὴν Ἄστακον κατελθεῖν, πείθει Κορινθίους τεσσαράκοντα ναυσὶ καὶ πεντακοσίοις καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατάγειν πλεύσαντας, καὶ αὐτὸς ἐπικούρους τινὰς προσεμισθώσατο· ἦρχον δὲ τῆς στρατιᾶς Εὐφαμίδας τε ὁ Ἀριστωνύμου καὶ Τιμόξενος ὁ Τιμοκράτους καὶ Εὔμαχος ὁ Χρύσιδος. καὶ πλεύσαντες κατήγαγον· καὶ τῆς ἄλλης Ἀκαρνανίας τῆς περὶ θάλασσαν ἔστιν ἃ χωρία βουλόμενοι προσποιήσασθαι καὶ πειραθέντες, ὡς οὐκ ἠδύναντο, ἀπέπλεον ἐπ' οἴκου. σχόντες δ' ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν, καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων γῆν, ἀπατηθέντες ὑπ' αὐτῶν ἐξ ὁμολογίας τινὸς ἄνδρας τε ἀποβάλλουσι σφῶν αὐτῶν, ἐπιθεμένων ἀπροσδοκήτοις τῶν Κρανίων, καὶ βιαιότερον ἀναγαγόμενοι ἐκομίσθησαν ἐπ' οἴκου.

quæ per hiemen facta sint. Corinthiorum expeditio in Acarnaniam, ut Euarchum tyrannum reducerent Astacum; quod perficiunt, in reliquis urbibus sibi conciliandis non eadem usi fortuna.

34. Funus militum bello occisorum Athenis pu-

* Ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀθηναῖοι, τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων, τρόπῳ τοιῷδε. τὰ μὲν ὀστᾶ

4. Τῆς στρατιᾶς] τῶν Κορινθίων δηλονότι. 6. Κατήγαγον] τὸν Εὔαρχον δηλονότι. 8. Προσποιήσασθαι] οἰκειοποιήσασθαι. Πειραθέντες] πεῖραν σχόντες. Οὐκ ἠδύναντο] λαβεῖν δηλονότι. 11. Ἐπ' αὐτῶν] τῶν Κρανίων δηλονότι. 12. Ἀποβάλλουσι] ζημιοῦνται. 15. Τῷ πατρίῳ νόμῳ χρώμενοι] τὸν πάτριον νόμον πληροῦντες περὶ τῆς τῶν Ἀθηναίων ταφῆς, δηλονότι καύσαντες τὰ σώματα· οὗτος γὰρ ἦν νόμος Ἀθηναίοις καὶ πᾶσιν Ἕλλησι. 17. Τρόπῳ

1. ἄστακτον P.
4. ἦρχοντο C.e.
9. ἐδύναντο L.O.d.
ἀπέπλευσαν L.O.P. ἐπέπλεον d. ἔπλεον e.
Σχόντες] Thom. Magist. in ἐπέσχον, Σχόντες δὲ ἐν τῷ παράπλῳ ἐς Κεφαληνίαν. Male pro Κεφαλληνίαν. Vid. I. 27. Crananii pro Cranii, legebatur quondam apud Liv. XXXVIII. 28. Emendavit ibi Sigonius. Duk.
10. κεφαληνίαν c.e.
11. κρανείων L.O.P. κρανίαν Q. κρανωνίων I.
ἀπαντηθέντες d.
12. ἀπροσδοκήτοις A.F.H.K.Q. c.g.h.i. ἀπροσδόκητοι G. vulgo ἀπροσδοκήτως.
13. κρανωνίων C.I.L.O.e.
ἀναγόμενοι B.L.O.P.Q.
ἀνεκομίσθησαν e.
15. οἱ] om. C L.O.P.e.
Ἀθηναῖοι τῷ πατρ.] Vide Petiti Leg. Att. p. 500. 501. Huds.
16. δημοσίᾳ L.O.P.
τὰς ταφὰς N.

blice celebratum.

προτίθενται τῶν ἀποθανουμένων πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὐτοῦ ἕκαστος, ἤν τι βούληται. ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μίαν· ἔνεστι δὲ τὰ ὀστᾶ, ἧς ἕκαστος ἦν φυλῆς. μία δὲ κλίνη κενὴ φέρεται, ἐστρωμένη, τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον, ὀλοφυρόμεναι. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν Μαραθῶνι· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῆ, ἀνὴρ ἡρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι καὶ ἀξιώ-

τοιῷδε] τῷ ἠθησομένῳ. 1. Πρότριτα] πρὸ τρίτης ἡμέρας τῆς ἐκκομιδῆς, ἢ ἐπὶ ἡμέρας τρεῖς. ἄμεινον δὲ τὸ πρῶτον. 2. Ἐπιφέρει] ἐναγίζει. 3. Κυπαρισσίνας] διὰ τὸ ἄσηπτον εἶναι. 4. Ἔνεστι] τῇ λάρνακι δηλονότι. 9. Τὸ δημόσιον σῆμα] τὸ καλούμενον Κεραμεικόν.

1. Πρότριτα] Hesych. πρὸ πολλοῦ. Vid. Theophrast. III. 7. Synesium Epist. IV. Suidas Πρότριτα τῇ τρίτῃ ἐπάνω ἡμέρᾳ. Wass. De προθέσει mortuorum apud Athenienses in tertium diem ante τὴν ἐκφορὰν add. Interpretes Pollucis VIII. 146. Duk.

2. ἑαυτοῦ d.

3. δὲ A.B.C.F.H.K.L.N.O. P.b.d.e.g.h.i. vulgo δὲ καί.

Λάρνακας κυπ.] Hunc locum respicit et illustrat Theodor. Therapeut. 8. καὶ ὁ Θουκυδίδης τῶν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ τετελευτηκότων διηγεῖται τὸ γέρας· καὶ ὅπως μὲν τὰ εὑρηθέντα σώματα τῶν προσηκόντων ἕκαστος ἠξίου τάφου. ἠλίκην δὲ τοῖς ἥκιστα εὑρηθεῖσιν ἐμηχανῶντο τιμὴν, κυπαριττίνας μὲν κατασκευάζοντες λάρνακας, &c. Vide Gallæi Comment. in Orac. Sybill. pag. 100. Huds.

κυπαρισσίνους A.

4. ἅμαξαι οὖσαι φυλῆς ἑκάστης μία g.h.

5. δὲ A.B.C.F.H.K.N.c.f.g. h.i. ceteri δὲ καί.

6. ξυνεμφέρει Q.

7. ἀστικῶν L.O.P.

8. παρεῖσαν C. παρῆσαν L.O.P. ἐπὶ] κατὰ L. παρὰ O.P.

9. Ἐπὶ τοῦ καλλίστου προαστείου] In Ceramico extra Urbem. Vide Meurs. de Popul. Att. in Κεραμεικός. Petit. Leg. Attic. p. 495. et Palmer. Exercitat. p. 48. Duk.

11. δὲ] γὰρ L.O.P.

12. τὴν ἀρετὴν διαπρεπῆ L.O.P.

13. δὲ] γὰρ Q.

κρύψωσι τῇ γῇ B.g.h.

14. δοκεῖ B.Q.g.h.

ἀξιώσει A.B.C.I.K.N.c.d.e.f. g.h.i.

Ἀξιώματι] Pro τὸ μέγεθος No-

ματι προήκη, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα· μετὰ δὲ τοῦτο ἀπέρχονται. ὧδε μὲν θάπτουσι· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς ὁ Ξανθίππου ἠρέθη λέγειν. καὶ ἐπειδὴ καιρὸν ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

* " Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἤδη ἐπαι- 35—46. Periclis oratio funebris.

8. Οἱ μὲν πολλοὶ] οἱ μὲν πολλοὶ, φησὶ, τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν νομοθέτην τὸν προσθέντα ἐν τῷ αὐτοῦ νόμῳ τὸν λόγον τὸν κελεύοντα λέγεσθαι τὸν ἐπιτάφιον ἐπὶ τοῖς θαπτομένοις δημοσίᾳ. Τῶν ἐνθάδε εἰρηκότων] τῶν ῥητόρων δη-

ster laudante Th. Magistro in ἀξιῶ. καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς, ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται. Et, pro προσὸν τινὶ ἀξίωμα. et iterum, ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργὴν ἀντεπεῖν. Aristides οὐ τοὺς ἐν ἀξιώσει προὔχοντας. prærogativa, dignatio, Glossæ. Wass.

1. προήκει F.H.K.d.g. προσήκει A.B.Q.c.h.i. προσήκῃ G.
πρέποντα] προσήκοντα L.O.P.Q.
2. ἀπέρχεται C.e.
3. ξυμβαίνει I.
4. ἐπὶ] ἐπεὶ C.
5. καιρὸν A.B.N.g.h. ceteri καιρὸς. Vide Corsëin ad Isocrat. 2. p. 81.
7. ἐπὶ τὸ πλεῖστον L.
8. Οἱ μὲν—αὐτόν.] Dion. Halic. p. 17. Τί ἐστιν ὃ πεποίηκε ταύτην μεγαλοπρεπῆ τὴν σύνθεσιν; τὸ ἐκ τοιούτων συγκεῖσθαι ῥυθμῶν τὰ κῶλα. Τρεῖς μὲν γὰρ οἱ τοῦ πρώτου προηγούμενοι κώλου σπονδεῖοι πόδες εἰσίν. ὁ δὲ τέταρτος ἀνάπαιστος. ὁ δὲ μετὰ τοῦτον, αὖθις σπονδεῖος, ἔπειτα, κρητικός. ἅπαντες ἀξιωματικοί. Dein, cætera persequitur. Cæterum Pericles, in Orat. quam ἐπιτάφιον λόγον vocat, ita infit: τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι, ὅσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. Aristot. Rhet. I. 7. 720. unde patet nostrum et hic et alibi Oratorum mentem et sensus, non autem verba, repræsentare. Ipsum audiamus: Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι, ἢ μέλλοντες πολεμήσειν, ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν, ἐμοί τε ὧν αὐτὸς ἤκουσα, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν μοὶ ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. Cæterum hæc Pericles ex Herodoto sublegit VII. 162. Ἀμείβετο Γέλων—ἀγγέλλοντες τῇ Ἑλλάδι, ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ αὐτῇ ἐξαραίρηται. Periclem nihil præter plebiscita scriptum reliquisse affirmat Plutarchus; et Schol. in Hermogenem p. 21. ita laudat ἀπὸ τοῦ Ἐπιταφίου Θουκυδίδου, nec aliter Theon. Wass. Judicat et alibi de hac oratione Dionys. Halic. v. p. 84. 104. et 131. et de principio Procemii Theoph. Corydal. ap. Fabric. Bibl. Græc. vol. XIII. p. 685. Duk.
μὲν οὖν πολλὰ C.e.
εἰρηκότων ἤδη A.B.F.H.g.h. ceteri ἤδη εἰρηκότων.

bris, qua copiosius civitatem et instituta potentiamque Atheniensium, quam defunctos laudat, de quibus demum c. 42. seq. verba facit, optime tamen composita ad animos Atheniensium firmandos et ad fortitudi-

" νοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν
" ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν.
" ἐμοὶ δ' ἀρκοῦν ἂν ἐδόκει εἶναι ἀνδρῶν ἀγαθῶν ἔργῳ γενο-
" μένων ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, οἵα καὶ νῦν περὶ
" τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ
" μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ
" χεῖρον εἰπόντι πιστευθῆναι. χαλεπὸν γὰρ τὸ μετρίως
" εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαι-
" οῦται. ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ' ἄν
" τι ἐνδεέστερως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νο-
" μίσειε δηλοῦσθαι, ὅ τε ἄπειρος ἔστιν ἃ καὶ πλεονάζε-

λεντι. 1. Τὸν προσθέντα] τὸν νομοθέτην, δηλονότι τὸν Σόλωνα. Τῷ νόμῳ τὸν λόγον] νόμος, ὅτι δεῖ τοὺς ἐκ τῆς πόλεως ἀνῃρημένους δημοσίᾳ ταφῆς ἀξιοῦν. προστιθέασι δὲ τῷ τοιούτῳ νόμῳ τὸ δεῖν καὶ ἐπιταφίους ἐπαίνους εἰς αὐτοὺς λέγειν, ὃ δὴ καὶ λόγον ὁ ῥήτωρ ἐνταῦθα καλεῖ καὶ προσθήκην νόμου προσαγορεύει. 7. Ἐπιόντι πιστευθῆναι] ἀπὸ κοινοῦ τὸ, ἐμοὶ δὲ ἀρκοῦν ἂν ἐδόκει. ἀντὶ τοῦ, καὶ μὴ ἐν κινδύνῳ γίνεσθαι τὸ πιστευθῆναι. Μετρίως] συμμέτρως, ἀξίως. 8. Ἡ δόκησις τῆς ἀληθείας] περιφραστικῶς ἡ ἀλήθεια. 9. Ὅ τε γὰρ ξυνειδὼς] κατασκευὴ τοῦ προοιμίου. 11. Ὅ τε ἄπειρος] προσυπακουστέον, καὶ μὴ εὔνους. Ἔστιν ἃ καὶ πλεονάζεσθαι] κατὰ κοινοῦ τὸ νομίσειεν.

1. Τὸν προσθέντα τῷ ν.] Sic Dionys. Halic. p. 291. Ed. Sylburg. ὧδέ πως, Ἀθηναῖοι προσέθησαν τὸν ἐπιτάφιον ἔπαινον τῷ νόμῳ &c. Hujus legis auctor multis (ut et Scholiastæ nostro) visus est Solon: quem Laërtius testatur modis omnibus favisse virorum fortium, et qui pro patria occubuissent, memoriæ. At Diodorus Sic l. 11. testatur, ludos funebres Athenis primum fuisse actos in memoriam eorum, qui bello Persico fortiter pugnantes obierant: quo etiam tempore lege cautum ait, ut de laudibus eorum, quos resp. censuisset publice sepeliendos, concionem oratores, quibus id munus a civitate mandaretur, haberent. Quod et orationes funebres, quæ exstant apud Demosthenem et Lysiam, docent. Vid. Stephani notas in Dionys. p. 23. Huds.

2. ἐπὶ] om. N.

τῶν] om. d.

πόλεων A.F.g.

3. ἀρκοῦν ἂν A.C.H.K.L.O.P. Q.e.g.h.i. vulgo ἂν ἀρκοῦν.

4. καὶ δηλοῦσθαι] δηλοῦσθαι καὶ e. δηλοῦσθαι K.

5. τόνδε om. O.P.

6. ἐν] om. C.L.O.P.

8. Ἡ δόκησις τῆς ἀλ.] Laudat, et scholia describit Suidas in δόκησις ἀληθ. Duk.

9. ἂν ἐνδεεστέρως O. ἄν τι καὶ ἐνδεεστέρως f.

10. νομίσοι L.O.P.

11. ὁ δὲ O.

" σθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. nem patriaque amorem provocandos.
" μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λε-
" γόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς
" εἶναι δρᾶσαί τι ὧν ἤκουσε· τῷ δὲ ὑπερβάλλοντι αὐτῶν
" φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. ἐπειδὴ δὲ τοῖς πάλαι
" οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ
" ἑπόμενον τῷ νόμῳ πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλή-
" σεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον. * ἄρξομαι 36.
" δὲ ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον γὰρ αὐτοῖς καὶ
" πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνή-
" μης διδόσθαι. τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες
" διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι'
" ἀρετὴν παρέδοσαν. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ
" ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν· κτησάμενοι γὰρ πρὸς οἷς
" ἐδέξαντο, ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως, ἡμῖν τοῖς νῦν
" προσκατέλιπον. τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε,

3. Ἐς ὅσον] ἕως οὗ. 4. Αὐτῶν] τῶν ἐπαίνων δηλονότι. 5. Ἀπιστοῦσιν] λείπει ἕκαστος· ἔστι δὲ σχῆμα. 6. Ἐδοκιμάσθη] ἐκρίθη. 7. Βουλήσεώς τε] βουλήσεως μὲν πρὸς τὸ εὔνοια, δόξης δὲ πρὸς τὸ ἄπειρος. 8. Τυχεῖν] τυχεῖν εἶπεν ὡς ἀπὸ μεταφορᾶς τῶν τοξευόντων κατὰ τοῦ σκοποῦ. Ὡς ἐπὶ πλεῖστον] τὸ ἐπὶ πλεῖστον καλῶς. οὐ γὰρ δυνατὸν πᾶσιν ὁμοίως ἀρέσκοντα λέγειν, ἀλλὰ καὶ μίσους πως, ἵνα μήτε φθόνον μήτε ψεῦδος δόξῃ λέγειν. 10. Ἐν τῷ τοιῷδε] τῷ ἐπαίνῳ. 13. Ἐκεῖνοι] οἱ πρόγονοι. 14. Πρὸς οἷς] μεθ' ἅν. 15. Οὐκ ἀπόνως] τινὲς εἰς τὸ οὐκ ἀπόνως ὑποστίζουσι. 16. Αὐτῆς] τῆς ἀρχῆς δηλονότι. Ἡμεῖς] Ταῦτα λέγει ὁ Περικλῆς διὰ τὴν Σάμον καὶ Εὔβοιαν, ἣν

1. αὐτοῦ C.L.O.P.e.

2. Μέχρι γὰρ τοῦδε] Hunc locum vertit Sallustius initio Belli Catilin. Huds. Vide nos ad Sallustii Catilin. cap. 3. Huc respexit Augustus Orat. apud Dionem LIII. p. 497. Wass.

εἰσι] om. g.

3. οἴεται, omisso antea ἄν, i.

4. τὸ δὲ ὑπερβάλλον Dionys. t. VI. p. 198.

αὐτὸν A.B.C.F.G.H.I.K.L.O.Q.b.c.

6. καὶ ἐμὲ] om. K.

8. ἐπιτοπλεῖστον L.

9. Ἀπὸ τῶν προγόνων] Confer Demosth. in Orat. Funeb. pag. 152. Wass.

10. δὲ] om. K.

ταύτης L.O.d.e.h.i. et omisso τῆς I.

11. οἱ αὐτοὶ ἀεὶ C.L.O.P.e.

16. πλείω A.F.H.K.Q.c.f.g.h.i. ceteri πλέω.

αὐτοὶ ἡμεῖς] om. K.

" οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ,
" ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσα-
" μεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν
" ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη,
" ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα
" πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν
" εἰδόσιν οὐ βουλόμενος ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύ-
" σεως ἤλθομεν ἐπ' αὐτὰ καὶ μεθ' οἵας πολιτείας καὶ
" τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶ-
" τον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ
" παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα

αὐτὸς τοῖς Ἀθηναίοις προσεκτήσατο. 3. Ὧν] πατέρων, ἢ πραγμάτων τῶν κατὰ πόλεμον ἡμῖν παρεσκευασμένων καὶ εἰρήνην. 7. Ἐάσω] Ἰστέον ὅτι διὰ τοῦτο αὐτὰ παραιτεῖται λέγειν, ἵνα μὴ ἀναγκασθῇ καὶ τὰ τῶν προκειμένων νεκρῶν εἰπεῖν οὐκ ἀξιόλογα ὄντα. Ἐπιτηδεύσεως] πράξεως. 10. Εἶμι] πορεύσομαι. 11. Οὐκ ἂν ἀπρεπῆ] οὐκ ἂν ἔξω τοῦ προσήκοντος λεχθῆναι. Τὸν

1. μάλιστα] om. O.
2. ἀπηυξήσαμεν B. ἀπευξήσαμεν A.
3. alteram ἐς om. M.
4. ἐκτήθη ἕκαστα e.
5. Βάρβαρον ἢ Ἕ. π.] Agnoscit Th. Mag. in βαρβαρικός. Wass.
6. ἠμυνόμεθα e.
7. Ἀπὸ—αὐτῶν] D. Halic. p. 47. ubi ἦλθον ἐπ' αὐτὰ, et ἀπὸ οἵας τε, et ἐπακοῦσαι αὐτῶν. Wass. Desiderantur etiam in Dionys. hæc, καὶ μεθ' οἵας πολιτείας· pro τρόπων ἐξ οἵων, in eo est τρόπων ἐξ ὧν, et λεχθῆναι δεῖν αὐτά. Duk.
8. ἦλθον B.F.H.N.h.
9. ἐξ οἵων] om. g.
μεγάλων A.B.h.
11. Καὶ τὸν πάντα ὅμιλον—ξύμφορον εἶναι] Casaubonus p. 26. Animadvers. ad Dionys. Halic. probat sententiam Scholiastæ τὸν πάντα ὅμιλον hic poni pro τῷ παντὶ ὁμίλῳ· ut apud Dionys. VI. Antiq. 26. et 28. μηδένα ἐξεῖναι pro μηδενί· et in Hom. Od. π'. 465. Οὐκ ἔμελέν MOI ταῦτα μεταλλῆσαι καὶ ἔρεσθαι, Ἄστυ ΚΑΤΑΒΛΩΣΚΟΝΤΑ: item Apollon. Rhod. I. Argon. 440. ΤΜΩΝ μὲν δὴ μοῖρα θεῶν χρειώ τε πεῖσαι Ἐνθάδε κῶας ΕΧΟΝΤΑΣ. Verum primum, si Dionysio licuit dicere ἐξεῖναι μηδένα, ex eo non consequitur, itidem recte dici σύμφορόν ἐστι τὸν πάντα ὅμιλον. Deinde, dua illa loca Poëtarum non recte cum loco Thucydidis componuntur. Nam in iis accusativus participii dativum præcedentem sequitur, cujus commutationis casuum, quam etiam cap. 11. hujus libri in Thucydide observat Scholiastes, innumera sunt in omnibus tam prosæ Scriptoribus, quam Poëtis, exempla. In hac oratione autem neque dativus est, neque parti-

" ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπα-
" κοῦσαι. * Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν 37.
" πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τινὶ
" ἢ μιμούμενοι ἑτέρους. καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς
" ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται·
" μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα
" πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδο-
" κιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ ἢ ἀπ' ἀρε-
" τῆς προτιμᾶται, οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγα-

πάντα ὅμιλον] σχῆμά ἐστιν, ἀντὶ τοῦ παντὶ τῷ ὁμίλῳ. 2. Χρώμεθα γὰρ] τὸ δεύτερον κεφάλαιον τοῦ ἐγκωμίου, ἡ ἀγωγή. Οὐ ζηλούσῃ] οὐ μιμουμένῃ. αἰνίττεται τοὺς τῶν Λακεδαιμονίων, οὓς Λυκοῦργος ἔγραψε, μιμησάμενος τοὺς Κρητῶν καὶ Αἰγυπτίων νόμους. 4. Ὄνομα μὲν] ἐπειδὴ φαῦλον δοκεῖ ἡ δημοκρατία, καὶ ὀρῶ τοὺς Λάκωνας σεμνυνομένους ἐπὶ τῇ ἀριστοκρατίᾳ, ἐπάγει, λέγων ὅτι τῷ μὲν ὀνόματι δημοκρατία, τῷ δὲ ἔργῳ ἀριστοκρατία ἐστὶν ἡμῶν ἡ πολιτεία. 6. Πρὸς τὰ ἴδια διάφορα] τὰ διαφέροντα τοῖς ἰδιώταις. 8. Οὐκ ἀπὸ μέρους] τοῦτο λέγει διὰ τοὺς Ἡρακλείδας, βασιλεῖς τῶν Λακώνων, οἵτινες ἀπὸ μέρους ἦρχον διὰ μόνην τὴν εὐγένειαν, κἂν μὴ εἶχον ἀρετήν. Ἀρετῆς] ἀπὸ τῆς ἀρετῆς. τὸ δὲ πλεῖον ἀντὶ τοῦ μᾶλλον. 9. Ἔχων δέ τι

cipium. Nec maxima causa est, cur hic insolita enallage statui debeat, quum neque ullum exemplum hujusmodi συντάξεως adjectivi σύμφορον proferatur, et verba simpliciter ita exponi possint, καὶ ξύμφορον εἶναι, τὸν πάντα ὅμιλον—ἐπακοῦσαι αὐτῶν, *et utile esse, universam multitudinem ea audire:* ita ut ξύμφορον εἶναι, absolute ponatur, et accusativi τὸν πάντα ὅμιλον ad ἐπακοῦσαι ferantur. Et sic Vallam ea ordinasse ex illius versione adparet; *nec inutile (esse) ab omni cœtu civium pariter hostiumque audiri.* Nec Casaubonus diffitetur, ea aliter, atque ipse cum Scholiaste statuit, posse accipi. Duk.

1. ξύμφορον d.
ἐπακοῦσαι αὐτῶν C.L.O.P.e.
3. μᾶλλον αὐτοὶ A.B.C.F.H.K.L.O.P.Q.c.d.e.f.g.h.i. vulgo αὐτοὶ μᾶλλον.
τινὶ A.B.F.G.H.K.N.c.g. ceteri τισίν.
4. ἑτέρους] καὶ ἑτέρους i.
ἐπὶ G.
5. πλέονας e.
ἤκειν Q. ἥκειν L.O.N.
Δημοκρατία] Vid. VI. 89. Æschylum Suppl. 706. Demosth. pag. 155. Euripid. Phœniss. 540. Suppl. 405. Platonem Menex. p. 519. A. Wass.
6. Μέτεστι—ἴσον] Thom. Mag. in μέλει. Duk.
7. τινι K.G.c.d.i. τῷ F.g.
8. τὰ πλέω C.L.O.P.d.
ἀπ'] om. d.i.
9. Οὐδ' αὖ—κεκόλυται] Dionys. Halic. pag. 133. Vid. Platonem Alcib. p. 431. d. Wass.
τε καὶ ἀγαθὸν g.

" θὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται.
" ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν καὶ ἐς
" τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων ὑπο-
" ψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχον-
" τες, οὐδὲ ἀζημίους μὲν λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας
" προστιθέμενοι. ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ
" δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε
" ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων, καὶ μάλι-
" στα αὐτῶν ὅσοι τε ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων κεῖν-
" ται καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην
38. " φέρουσι. * καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύ-
" λας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις
" διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέ-
" σιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει.
" ἐπεισέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς

ἀγαθόν] ὁ δέ ἀντὶ τοῦ μέν κεῖται. 1. Ἀξιώματος] ἀντὶ τύχης. Ἀξιώματος ἀφανείᾳ] ὅτι οὐκ ἔστι πλούσιος ἢ εὐγενής. 2. Ἐλευθέρως δὲ] ὡσανεὶ ἔλεγεν, οὐκ ἐσμὲν ἀλλήλοις ὕποπτοι. 3. Ἐπιτηδευμάτων] κατὰ κοινοῦ τὸ, πολιτευόμεθα. (Ἐνταῦθα τὴν διαγωγὴν δηλοῖ.) 5. Λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας] τοῦτο λέγει ἐπειδή ποτε οἱ Λακεδαιμόνιοι Ἀλκαμένη ἐν πρεσβείᾳ θεασάμενοι μετεωριζοντα, κακῶς ἐχρήσαντο. οἱ γὰρ Λακεδαιμόνιοι σκυθρωποί εἰσι, διὰ παντὸς ἐπιείκειαν ὑποκρινόμενοι, καὶ τοὺς ἀβροτέρους κολάζουσι. τὸ γὰρ τερπνὸν τοῦ βίου κώλυμα νομίζουσι τῶν ἀναγκαίων. 6. Τὰ ἴδια προσομιλοῦντες] ταῦτα πρὸς Δακεδαιμονίους αἰνίττεται. 8. Τῶν—ἐν ἀρχῇ ὄντων] τῶν ἀρχόντων. 9. Αὐτῶν] τῶν νόμων δηλονότι. 10. Ἄγραφοι] ἄγραφοι νόμοι τὰ ἔθη εἰσί. 12. Τῇ γνώμῃ] τῇ ψυχῇ, ἢ τῇ συνέσει. 13. Διετησίοις] δι' ὅλου τοῦ ἔτους θύουσιν οἱ Ἀθηναῖοι καθ' ἑκάστην, πλὴν μιᾶς ἡμέρας. 14. Ἡ τέρψις] ἡ ζωγραφία (ἡ ψυχαγωγία Duk.) Τὸ λυπηρὸν] αἰνίττεται πρὸς τοὺς ταπεινοὺς καὶ εὐτελεῖς Λακεδαιμονίους. 15. Ἐπεισέρχεται. τοῦ

1. ἀφανίᾳ K.M.b. cum Dionysio.
2. πολιτευόμενοι L.O.
4. τῶν A.B.N.
εἰ] οἱ M.
δρᾷν A.B.M.N h.
5. Ἀχθηδόνας] Inter poëtica apud Thucydidem etiam hoc vocabulum numerat Dionys. Halicarn. Epist. ad Amm. II. p. 133. Sed nec ipse eo abstinuit nec plerique alii prosæ Scriptores. Duk.
6. τῇ ἰδίᾳ P.
8. νόμων μάλιστα i.
11. πόνων] νόμων d.
12. μέντοιγε L. μέντοι καὶ O.
13. παρασκευαῖς P.
14. Ἐκπλήσσει] Thom. Mag. hic et infr. C. 87. exponit ἐκβάλλει. add. ibi Schol. et Æschyl. Prometh. 134. Duk.
15. Πάσης γῆς] Hæc fuse per-

" τὰ πάντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρα τῇ
" ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι ἢ
" καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. * διαφέρομεν δὲ καὶ 39.
" ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν
" τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξε-
" νηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος,
" ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη, πι-
" στεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις
" ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ· καὶ ἐν ταῖς
" παιδείαις οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ
" ἀνδρεῖον μετέρχονται, ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι
" οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν.
" τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους,

Θησέως ἐν Ἀττικῇ τε καὶ ταῖς Ἀθήναις βασιλεύσαντος, συνεισέφερον παντοχόθεν αὐτῷ τὰ πρὸς χρείαν οἱ Ἕλληνες, ἐπειδήπερ ταύτην ὁ βασιλεὺς πρυτανεῖον καθεστήκει καὶ μητρόπολιν τῆς Ἑλλάδος, τὰς ἄλλας καθηρημκὼς διὰ τοῦτο πόλεις. 3. Καὶ ταῖς τῶν πολεμικῶν μελέταις] πληρώσας τὰ ἐν εἰρήνῃ γινόμενα ἀγαθὰ, νῦν μετέρχεται ἐπὶ τὰ ἐν πολέμῳ. 4. Τῶν ἐναντίων] τῶν Λακεδαιμονίων φησί. Τοῖσδε] τοῖς ῥηθησομένοις. 5. Κοινὴν] κοινωνικὴν καὶ ἀνειμένην πᾶσιν ἀνθρώποις. Ξενηλασίαις] ὥσπερ οἱ Λακεδαιμόνιοι. 7. Ὃ μὴ κρυφθὲν ἄν τις] τὸ ἐξῆς, ὠφεληθείη ἄν τις, ἰδὼν μὴ κρυφθέν. 8. Καὶ ἀπάταις] πάλιν πρὸς Λακεδαιμονίους αἰνίττεται, οἳ τὸ πλέον ἀπάτῃ καὶ γοητείᾳ γνώμης ἐκράτουν ἐν τοῖς πολεμικοῖς. 10. Εὐθὺς νέοι ὄντες] καὶ ταῦτα πρὸς Λακεδαιμονίους. ἐκεῖνοι γὰρ ἀπὸ μικρᾶς ἡλικίας εἰς τὰ πολέμια ἠτρεπίζοντο· καὶ εὐθὺς ὡς ἐτίκτετο τὸ παιδίον, ἐν ἀσπίδι ἐτίθεσαν αὐτὸ καὶ δόρυ πλησίον, καὶ ἐπεβόων ἢ τὰν ἢ ἐπὶ τάν, τουτέστιν ἢ ταῦτα σῶσον, ἢ μετ' αὐτῶν ἀναιρέθητι. οἱ δὲ αὐτοὶ οὕτως ἐπιπόνως ἤσκουν, ὡς μηδὲ λουτρῶν ἀνέχεσθαι ἀλλ' ἀρκεῖσθαι τῷ Εὐρώτᾳ ποταμῷ πρὸς τὸ λούσασθαι. ἀμέλει καὶ διαμαστιγώσεις ἐγίνοντο κατά τινα καιρὸν, ἐν αἷς οἱ πλείονας ἐνεγκόντες ἀνδρειότεροι ἐνομίζοντο. Τὸ ἀνδρεῖον] τὸ τοῖς ἀνδράσι πρέπον.

sequitur Isocrates Paneg. p. 70. Wass.

1. οἰκειότεραν L.O.P.

4. ταῖσδε Tusanus.

5. Ξενηλασίαις] Huc respicit Plutarchus Lycurgo p. 36. ubi legendum γυναικὸς ἱερᾶς, non ἱερῶς. vid. Aristot. Polit. II. 9. Wass. De ξενηλασίᾳ Lacedæmoniorum vid. I. 144. et Spanh. ad Aristoph. Ran. v. 461. Duk.

7. πιστεύσαντες g.

9. αὐτῶν om. P.

10. ἐπὶ πόνῳ καὶ ἀσκήσει H. ἐπὶ πόνῳ ἀσκήσει K.

12. ἧττον d.

13. καθ' ἑαυτοὺς marg. Florentinæ Vinariensis.

" μετὰ πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι, τήν τε
" τῶν πέλας αὐτοὶ ἐπελθόντες οὐ χαλεπῶς ἐν τῇ ἀλλο-
" τρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ
" πλείω κρατοῦμεν. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω
" πολέμιος ἐνέτυχε διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέ-
" λειαν καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμ-
" ψιν· ἢν δέ που μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές
" τέ τινας ἡμῶν πάντας αὐχοῦσιν ἀπεῶσθαι, καὶ νικη-
" θέντες ὑφ' ἁπάντων ἠσσῆσθαι. καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλ-
" λον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλεῖον ἢ
" τρόπων ἀνδρίας ἐθέλομεν κινδυνεύειν, περιγίγνεται ἡμῖν
" τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς
" αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαί-
" νεσθαι, * καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι
" θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμεν γὰρ

2. Αὐτοὶ] ἡμεῖς δηλονότι. 6. Ἐν τῇ γῇ ἐπὶ πολλὰ] μεμέρισται γὰρ αὐτῶν τὸ στράτευμα εἰς δύο, εἰς Θρᾴκην καὶ Ἰωνίαν. Ἐπίπεμψιν] εἰς στρατείαν. 7. Μορίῳ τινὶ] μέρει ταὐξ ἡμῶν. Κρατήσαντές τε] αἰνίττεται τοὺς ἱππέας αὐτῶν τοὺς κειμένους. 8. Ἀπεῶσθαι] ἀποδεδιωχέναι. 9. Καίτοι εἰ ῥᾳθυμίᾳ] πάντα συνάγει τὰ εἰρημένα, καὶ ὥσπερ ἀνάμνησιν αὐτῶν ποιεῖται ἀνακεφαλαιούμενος. αἰνίττεται δὲ πρὸς Λακεδαιμονίους. 12. Ἐς αὐτὰ] τὸ ἀλγεινὰ δηλονότι. 13. Τῶν ἀεὶ μοχθούντων] τῶν Λακεδαιμονίων δηλονότι. 14. Τούτοις] τοῖς εἰρημένοις δηλονότι. 15. Θαυμάζεσθαι] κατὰ κοινοῦ τὸ περιγίγνεται. Φιλοκαλοῦμέν τε γὰρ] ἐπειδὴ διεβάλλοντο οἱ Ἀθηναῖοι ἐπὶ μαλακίᾳ καὶ τρυφῇ βίου καὶ σχολῇ πολλῇ, τοῦτο λέγει, ὅτι φιλοκαλοῦμεν μετὰ εὐτελείας καὶ ταπεινότητος. τῇ γὰρ φιλοκαλίᾳ τὸ ἄσωτον ἕπεται, τῇ δὲ φιλοσοφίᾳ τὸ μαλα-

1. μεθ' ἁπάντων C.I.L.O.
στρατεύονται L.O.P.
6. ἐπὶ πολλὰ] om. e.
7. πω e.
8. τε] om. C.L.N.O.P.e.
9. ἠττῆσθαι P.
Καί τοι—φαίνεσθαι Dion. Halic. p. 135. ἡ παρὰ τοὺς χρόνους τῶν ῥημάτων ἐκβεβηκυῖα τὸ κατάλληλον φράσις, τοιαύτη τις ἐστί inquit. Wass. In Dionys. quoque est ἀτολμοτέρους. Parum interest, utro modo legatur. Duk.
10. κατὰ d.
τὸ πλέον C.L.O.e.f.
11. ἐθέλομεν C.I. ceteri ἐθέλωμεν.
12. τε τοῖς A.F.H.K.c.
προσκάμνειν d.
13. ἐλθοῦσι τὰ πράγματα μὴ f.
ἀτολμοτέρους H.P.Q.
14. καὶ] om. g.
15. φιλοκαλοῦμεν γὰρ A.B.F.H.Q.e. ceteri φιλοκαλοῦμέν τε γάρ.

" μετ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλού-
" τῳ τε ἔργου μᾶλλον καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα, καὶ
" τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν, ἀλλὰ μὴ δια-
" φεύγειν ἔργῳ αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα
" καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τετ-
" ραμμένοις τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι· μόνοι γὰρ
" τόν τε μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα ἀλλ'
" ἀχρεῖον νομίζομεν, καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυ-
" μούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔρ-
" γοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλ-
" λον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. διαφερόν-
" τως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ αὐτοὶ

κὸν καὶ ἀνειμένον. 1. Μετ' εὐτελείας] σμικροπρεπείας. Καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας] τὰ δυσχερῆ τῆς πενίας ὑπομένομεν. Πλούτῳ τε ἔργου] τὸ ἐξῆς, τῷ πλούτῳ χρώμεθα ἐν τῷ καιρῷ τοῦ ἔργου, καὶ οὐ κόμπῳ λόγου. 2. Καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν] γνώμης ἀρίστης τὸ μήτε πενίαν ὠνειδίσαι τοῖς ἔχουσι, καὶ παροῦσαν ζητεῖν ἐκ παντὸς τρόπου φυγεῖν. 4. Ἔνι τε τοῖς αὐτοῖς] οἷον τοῖς δημιουργοῖς καὶ γεωργοῖς καὶ κυνηγοῖς καὶ τοῖς ἄλλοις ἰδιώταις καὶ χειροτέχναις. τοῦτο δὲ πρὸς Λακεδαιμονίους, ἐπειδὴ ὀλίγοι ἦσαν αὐτῶν οἱ τὰ πολιτικὰ σκοπεῦντες, οἱ δὲ τὰ πολέμια πάντες. 7. Τῶνδε] τῶν πολεμικῶν. 9. Οὐ τοὺς λόγους τοῖς ἔργοις] διεβάλλοντο γὰρ ὡς λόγων μόνον ἀντιποιούμενοι ὑπὸ τῶν Λακεδαιμονίων. 10. Μὴ

1. εὐμέλειας A.

Φιλοσοφοῦμεν] De Periclis cum Anaxagora, aliisque Philos. consuetudine adi Plutarch. 154. 162. et Moral. 353. B. infra pro πένεσθαι perperam exhibet Idem Moral. 533. πενίαν, et ἔργ. μ. διαφ. vid. Demosth. Amat. 163. Wass.

πλούτου τε ἔργῳ L.O.N.Q. πλούτου τε ἔργου P. πλούτῳ τε ἔρ. B. πλούτῳ τε ἔργῳ f.g.h.

Πλούτῳ τε ἔργου] Wasse adscripserat locum e cap. 43. hujus lib. ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀειμνηστος καταλείπεται. Eo vulgata scriptura et interpretatio Scholiastæ satis confirmatur. Duk.

2. καιρῷ A.B.C.F.G.K.M.N. b.c.e.g. καιροῦ f. ceteri ἐν καιρῷ.

λόγῳ κόμπου d.

3. τινι om. B.h.

4. ἐν A.B.F.H. cum Tusano.

6. πολεμικὰ L.g.

7. τῶνδε] τῶν τε f.g. τῶν I.

8. καὶ οἱ αὐτοὶ C.L.O.P.e.

10. ἡγούμεθα] g.

προσδιδαχθῆναι d. διδαχθῆναι e.

11. ἐν λόγῳ Q.

ἐπὶ τὰ ἃ L.O.

Διαφερόντως—κινδύνων] Stobæus 88. pro ὃ legit ὡς, supra: λόγους. Adi Platonem Gorg. 315. c. Wass.

12. δὴ] δεῖ A.h.

" μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι· ὃ
" τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον
" φέρει. κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ
" τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες, καὶ
" διὰ ταῦτα μὴ ἀποστρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ
" ἐς ἀρετὴν ἠναντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχον-
" τες εὖ ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. βεβαιό-
" τερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐ-
" νοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων ἀμβλύτερος,
" εἰδὼς οὐκ ἐς χάριν ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀπο-
" δώσων. καὶ μόνοι οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ
" ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινὰ ὠφελοῦμεν.
41. " * ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος

προδιδαχθῆναι] ἀπὸ κοινοῦ, τὸ βλάβην ἡγούμενοι. 4. Δεινὰ καὶ ἡδέα] δεινὰ τὰ πολέμια, ἡδέα τὰ τῆς εἰρήνης. 6. Ἐς ἀρετὴν] ἀρετὴν λέγει νῦν τὴν φιλίαν καὶ εὐεργεσίαν. 8. Ὁ δράσας τὴν χάριν] ὁ ἀρξάμενος χαρίζεσθαι. Ὥστε ὀφειλομένην] ἡ σύνταξις οὕτως, ὥστε ὀφειλομένην σώζειν, ἐκεῖνον δηλονότι, ᾧ δι' εὐνοίας δέδωκεν. 9. Ὁ δ' ἀντοφείλων] ὁ δὲ εὖ πάσχων. Ἀμβλύτερος] ἀσθενέστερος. 10. Τὴν ἀρετὴν] τὴν εὐεργεσίαν. 11. Οὐ τοῦ ξυμφέροντος] οὐ τῇ ἐλπίδι τοῦ κέρδους, ἀλλὰ τῷ ἀεὶ εὐεργετεῖν καὶ μὴ δέεσθαι ἄλλων. 12. Ἀδεῶς] ἀντὶ τοῦ μεγάλως.

2. ἀμάθεια A.

Θράσος] Ita Codices, recte; minus eleganter Lucianus, θρασεῖς Epist. ad Nigrinum. Vide nos ad Sallustium. Noster Herodotum æmulatus est. VII. 49. Ἀνὴρ δὲ οὕτω ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀβρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη. Wass. Lucianus l. d. ἡ ἀμαθία μὲν θρασεῖς, ἀκηρούς δὲ τὸ λελογισμένον ἀπεργάζεται. Sententiam Thucydidis, non verba, exprimere voluit. Et sic Plutarchus in iis, quæ adnotantur ad p. 306. ult. Ὄκνον per ἀκυρολογίαν hic dici, pro μέλλησιν, scribit H. Steph. IV. Schediasm. 27. Duk.

3. δ' ἂν εἰκότως τὴν ψυχὴν κριθεῖεν L.O.P. δ' ἂν ψυχὴν δ. κρ. C.e. δ' ἂν τὰς ψυχὰς δ. κρ. f.

4. σαφέστατα] om. c.f.

6. Ἠναντιώμεθα] Hesychius in ἤντησεν, scribit apud Thucydidem esse ἠντιώμεθα, pro ἐναντιώμεθα. Si huc respexit, vel aliis Codd. usus est, vel erravit. Duk.

7. βεβαιότερος] Vid. Wakefield. Silv. Crit. 4. p. 120.

8. δι' εὐνοίας] om. A.

9. δὲ αὐτὸς ὀφείλων L.O. βραδύτερος G.

10. ὄφλημα L.O.c. ἀποδώσειν L.P.

11. οὐ] οἱ A.

" παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν
" αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἰδῆ καὶ μετὰ
" χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες
" παρέχεσθαι. καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος
" τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις
" τῆς πόλεως, ἣν ἀπὸ τωνδε τῶν τρόπων ἐκτησάμεθα,
" σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν
" ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγα-
" νάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπηκόῳ
" κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. μετὰ μεγά-
" λων δὲ σημείων καὶ οὐ δὴ τοι ἀμάρτυρόν γε τὴν δύνα-
" μιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμα-
" σθησόμεθα, καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαι-

1. Παίδευσιν εἶναι] εἰς πολλὰ πράγματα. 2. Ἐπὶ πλεῖστ' ἂν εἰδῆ] εἰς διάφορα πράγματα. 3. Εὐτραπέλως] εὐκινήτως, ἐνδεξίως. 6. Ἀπὸ τῶνδε] ὧν προεῖπεν. 7. Ἀκοῆς κρείσσων] ὑπὲρ ἀκοὴν ἀνθρώπου. 9. Τῷ] οἵων] ὑπὸ Ἀθηναίων. Οὔτε τῷ ὑπηκόῳ] τῷ Ναξίῳ καὶ Σαμίῳ καὶ Βυζαντίῳ καὶ τοῖς ἄλλοις ὅσοι ὑπήκουον αὐτῶν. 10. Μετὰ μεγάλων δὲ—καὶ οὐ—ἀμάρτυρόν γε] πολυσύνδεσμός ἐστιν ὁ Θουκυδίδης μᾶλλον ἢ πάντες οἱ Ἀττικοί. 13. Οὔτε Ὁμήρου] ἀπὸ μέρους, τῶν πάντων ποιητῶν. Ὁ γὰρ Ὅμηρος (Il. 2, 551.) πεποίηκε

1. δοκεῖ] K.

2. Ἐπὶ πλεῖστ' εἰδῆ] Sic Thucyd. I. 136. ἐκεῖνον δ' ἄν, εἰ ἐκδοίη αὐτὸν —σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι. Aristoph. Nubib. 1052. Εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ' ἂν ἐποίει τὸν Νέστορ' ἀγορητὴν ἄν. Plura e Demosthene et Luciano sunt in Lexicis. Duk.

πλεῖστ' ἂν εἰδῆ] B.C.F.H.I. K.M.g. πλεῖστ' ἂν ᾖδῃ N. πλεῖστ' ἂν ᾖδὴ L.O.P.Q.i. πλεῖστον ἂν εἰδῇ A. πλεῖστον ἂν εἰδῃ h. vulgo πλεῖστ' εἰδῃ.

4. λόγου N.

5. μᾶλλον τάδε F.

αὐτὴ A.B.H.K.N.Q. vulgo αὕτη.

7. ἀκοῆς τῶν νῦν e. κρεῖσσον C.I.L.O.P.

8. πολέμῳ Lex. Seg. p. 334.

9. ὑφ' οἵων κακοπαθεῖ] om. i.

10. ὡς] ἢ ὡς A.h.

ἔρχεται B.h.

11. γε] τε B.g.

13. Ἐπαινέτου] Ob eminentiam *nominatim* laudat. Pindar. Isthm. IV. Ἀλλ' Ὁμήρός τοι τετίμα—Κεῖ δι' ἀνθρώπων, ὃς αὐτοῦ Πᾶσαν ὀρθώσαις ἀρετὰν, Κατὰ ῥάβδον ἔφρασεν ΘΕΣΠΕΣΙ'ΩΝ ἐπέων, λοιποῖς ἀθύρειν. Notum hac in re Alexandri Magni effatum. et Pindar. iterum N. VII. 5. α'. Vid. Themistium Orat. XIX. p. 233. et Philostratum Heroic. p. 691. Agathias Anthol. Γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον. εἰ δέ με γῆρας

" νέου, οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ'
" ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν
" μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ
" καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα
" κακῶν τε καὶ ἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες. περὶ τοι-
" αὐτης οὖν πόλεως οἵδε τε γενναίως, δικαιοῦντες μὴ
" ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν
" λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κά-
42. " μνειν. * διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, δι-
" δασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν
" ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν
" εὐλογίαν ἅμα, ἐφ' οἷς νῦν λέγω, φανερὰν σημείοις
" καθιστάς. καὶ εἴρηται αὐτῆς τὰ μέγιστα· ἃ γὰρ τὴν
" πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκό
" σμησαν, καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόρροπος,

τὸν Μενεσθέα πάντων ἄριστα ἀνθρώπων κοσμεῖν ἵππους τε καὶ ἄνδρας ὁπλίτας· καὶ δῆλον ὅτι τοῦτο σοφίας περιουσίᾳ καὶ ἀρετῆς γίνεται. ἐν δὲ τῇ Ὀδυσσείᾳ (7, 80.) πεποίηκε περὶ τῆς Ἀθηνᾶς, τῆς θεοῦ, οὕτως· ἵκετο δὲ εἰς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην, καὶ τὰ ἑξῆς. ἅπερ καὶ αὐτὰ ἐγκώμιον τῆς πόλεως. 4. Γενέσθαι] ἀπὸ κοινοῦ τὸ θαυμασθησόμεθα. 5. Κακῶν τε κἀγαθῶν] κακῶν πρὸς τοὺς πάσχοντας. λέγει δὲ τὰ τρόπαια. 6. Οἵδε] οἱ κείμενοι. 11. Οἷς] τοῖς Πελοποννησίοις. Τὴν εὐλογίαν] τὸν ἔπαινον. 12. Σημείοις καθιστάς] ἀπὸ κοινοῦ τὸ ἐμήκυνα. 13. Καὶ εἴρηται αὐτοῖς τὰ μέγιστα] ἐπενέθησαν δηλονότι. Τὴν πόλιν] λείπει ἡ εἰς. 15. Ἰσόρρο-

Τβρισεν, ἀρκοῦμαι μάρτυρι ΜΑΙΟΝΙΔΗΙ. Artemidor. III. 67. Τὴν Ἔφεσον συμβέβηκε καὶ αὐτὴν δι' ἑαυτὴν περιώνυμον εἶναι, καὶ πολλῶν ἀξιολόγων κηρύκων τετυχηκέναι. Wass.

1. ἔπεσι] ἔπεισι A.
2. ἡ ὑπόνοια τὴν ἀλήθειαν L.Q. (Vid. Coraën Plutarch. 2. p. 363.) τὴν ὑπόνοιαν ἀλήθεια O.P.
4. δὲ] τε K.
5. καλῶν c.f.
καὶ ἀγαθῶν L.O.P.Q.e.f.
ἰδίᾳ A.B.F.H.g.h.
ξυγκατοικήσαντες C.H.I.L.M. O.P.e.f.
περὶ τῆς τοιαύτης g.
6. οὖν] om. B.g.h.
7. αὐτὴν μὴ ἀφαιρεθῆναι f.
9. Διὸ δὴ—καθιστὰς] D. Hal. p. 47. Καὶ εἰ ἐμήκυνα, et omittit vocem ὁμοίως. Wass.
δὴ] om. L.
11. ὁμοίως τε καὶ G.
12. ἅμα] om. e.
13. αὐτοῖς L.c. αὐτῇ d.
14. ἐκόσμησαν] ὕμνησαν i.
15. πολὺς e.

" ὥσπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι
" δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα καὶ τελευ-
" ταία βεβαιοῦσα, ἡ νῦν τῶνδε καταστροφή. καὶ γὰρ
" τοῖς τἆλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ
" τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι· ἀγαθῷ γὰρ
" κακὸν ἀφανίσαντες κοινῶς μᾶλλον ὠφέλησαν ἢ ἐκ τῶν
" ἰδίων ἔβλαψαν. τῶνδε δὲ οὔτε πλούτου τις τὴν ἔτι
" ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη, οὔτε πενίας ἐλ-
" πίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβο-
" λὴν τοῦ δεινοῦ ἐποιήσατο· τὴν δὲ τῶν ἐναντίων τιμωρίαν
" ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τόνδε
" κάλλιστον νομίσαντες, ἐβουλήθησαν μετ' αὐτοῦ τοὺς

πος] ἰσοστάσιος, μὴ ὑπερβάλλων τὰ πράγματα. 2. Πρώτη τε μηνύουσα] τῇ τιμῇ. 3. Τῶνδε] τῶν ἀνθρώπων. Καταστροφή] ὁ θάνατος. 4. Τἆλλα] οἷον κλοπὴν, μοιχείαν καὶ τὰ τοιαῦτα. 5. Προτίθεσθαι] προτιμᾶσθαι. 6. Ἐκ τῶν ἰδίων] ἁμαρτημάτων δηλονότι. 10. Τοῦ δεινοῦ] τοῦ τιμωρεῖσθαι τοὺς ἐναντίους. 12. Μετ' αὐτοῦ] τοῦ κινδύνου.

2. ἀρετὴν] ζωὴν d. ἀρετὴν ζωὴν Tusanus.

4. τὴν] om. K.

5. τῆς] γῆς O.

7. πλούτου B.F.H.K.M.N.b.c. d.e.f.g.h.i.

ἔτι] εἰς ἔτι f.

9. ὡς] οὐκ Q.

κἂν] ἂν K.Q.

10. Τὴν δὲ τῶν—ἀπηλλάγησαν] Stephanus in Edit. 2. Καὶ ἐν αὐτῷ τὸ ἀμύνασθαι—ἢ τὸ ἐνδόντες σώζεσθαι. Videtur hæc ita ordinasse, καὶ ἐν αὐτῷ (scil. τῷ ἔργῳ, ut Scholiastes exponit) τὸ ἀμύνασθαι καὶ παθεῖν μᾶλλον (de quo itidem Schol.) ἡγησάμενοι, ἢ τὸ ἐνδόντες σώζεσθαι. Ita τὸ ἀμύνασθαι καὶ παθεῖν, idem foret, quod ἀμύναντας παθεῖν. Hoc confirmatur auctoritate aliquot MSS. et mihi melius videtur, quam quod vulgo editur: nam non video, quomodo τῷ ante σώζεσθαι locum habere possit. Si quis conjungenda putet illa, καὶ ἐν αὐτῷ τῷ ἀμύνασθαι, legendum esset, καὶ ἐν αὐτῷ τῷ ἀμύνασθαι, καὶ τὸ παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τὸ ἐνδόντες σώζεσθαι· quam sententiam Interpres Latinus expressit. Ἀμύνεσθαι, quod non solum Dion. Halic. sed etiam plerique MSS. et Edd. habent, fortassis non rejiciendum est. De hac periodo idem est judicium Dionysii Halic. quod de ea, qua I. 138. Themistoclis vim ingenii describit Thucydides. Duk.

12. ἐβουλήθησαν A.B.C.F.G.H. K.f.g.

μετ' αὐτοῦ] om. Dionysius p. 136.

" μὲν τιμωρεῖσθαι τῶν δὲ ἐφίεσθαι, ἐλπίδι μὲν τὸ ἀφα-
" νὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ
" ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι, καὶ
" ἐν αὐτῷ τὸ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι
" ἢ τὸ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυ-
" γον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχί-
" στου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ
43. " δέους ἀπηλλάγησαν. Καὶ οἵδε μὲν προσηκόντως τῇ
" πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλε-
" στέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν
" ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ
" μόνῳ τὴν ὠφελίαν, ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς
" ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολε-
" μίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν, ἀλλὰ μᾶλλον τὴν τῆς

1. Τῶν δὲ] τῶν ἀρετῶν. Ἐλπίδι μὲν τὸ ἀφανὲς] τουτέστιν αὐέλπιδες γενόμενοι, ὅτι νικήσουσιν. 2. Ἐπιτρέψαντες] δόντες. 3. Καὶ ἐν αὐτῷ] τῷ ἔργῳ. 4. Μᾶλλον] ἀντὶ τοῦ κρεῖσσον. Ἡγησάμενοι] ἀπὸ κοινοῦ τὸ κάλλιστον. 5. Τὸ μὲν αἰσχρὸν τοῦ λόγου] τὸ ἀνειδίζεσθαι ὡς δειλοί, ὡς ἀκοῦσαι δειλοί· τὸ δὲ ἔργον, τὸ ἀποθανεῖν. 6. Καὶ δι' ἐλαχίστου καιροῦ τύχης] τύχην ἀεὶ ὁ Θουκυδίδης καλεῖ τὸν πόλεμον. ἀκμάζοντες, φησὶν, ἐν εὐδοξίᾳ καὶ οὐχὶ δειλίᾳ ἀπέθανον· τοῦτο γάρ ἐστι τὸ ἀπηλλάγησαν. 7. Ἡ τοῦ δέους ἀπηλλάγησαν] καὶ ἐν βραχεῖ καιρῷ, φησὶν, ἀπηλλάγησαν, τὴν σφαγὴν δεξάμενοι, ἀκμαζούσης ἐν αὐτοῖς ἔτι τῆς δόξης καὶ ἐλπίδος τοῦ νικῆσαι μᾶλλον ἢ τοῦ δέους καὶ τοῦ φυγεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἀκμάζοντες. 11. Λόγῳ μόνῳ] τῶν παρ' ἐμοῦ λόγων. 12. Οὐδὲν χεῖρον] ἐμοῦ οὐδὲν χεῖρον.

1. Τιμωρεῖσθαι] Vid. Euripidem Orest. 1164. confer eundem Suppl. 857. Wass.

ἐφικέσθαι Tusanus.

4. τὸ A.B.F.K.d.e.g.h.i. vulgo τῷ.

ἀμύνεσθαι A. C. F.H.K.L.M. O.d.e.f.g.h.i. cum Dionysio, qui πεποιθέναι ἐν τῷ ἀμύνεσθαι παθεῖν. vulgo ἀμύνασθαι.

5. τὸ A.B.C.F.H.K.g. vulgo τῷ vel inclinato accentu τῳ.

7. Τύχης] Agnoscit, et cum Schol. explicat Suidas consarcinator in τύχη. Vide Etymol. et Hesych. qui bonam fortunam intelligunt. Glossæ *successus*. Herodotus, ἐς τοσοῦτον τύχης ἀπίκνεο, ad tale gloriæ fastigium. et alibi, ἐπὶ τῇσι παρούσῃσι τύχῃσι, rerum statu. Wass.

10. δὲ] om. K.

11. τοὺς πολέμους L.O.P.

12. μόνον G.

13. πόλεως] πολέμου c.

" πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους καὶ ἐρα-
" στὰς γιγνομένους αὐτῆς, καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ
" εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες καὶ γιγνώσκοντες
" τὰ δέοντα καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ
" ἐκτήσαντο, καὶ ὁπότε καὶ πεῖρά του σφαλείησαν, οὐ-
" κουν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες
" στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ
" γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον
" ἐλάμβανον καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖν-
" ται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυ-
" χόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος κα-
" ταλείπεται. ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος,
" καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφή,
" ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ'
" ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται.
" οὓς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον τὸ ἐλεύθερον,

1. Καὶ ἐραστὰς γιγνομένους αὐτῆς] ἀπὸ κοινοῦ τὸ ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν. 2. Δόξῃ εἶναι] ἡ πόλις δηλονότι. 4. Αἰσχυνόμενοι] Ὅμηρος· Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται. Ἄνδρες] ἀνδρεῖοι. Αὐτὰ] τὰ μεγάλα δηλονότι. 5. Πείρᾳ του] δοκιμῇ πολέμου. Σφαλείησαν] ἀπὸ κοινοῦ τὸ ἐνθυμούμενοι. 7. Κάλλιστον δὲ ἔρανον] καλλίστην συνεισφοράν. Προϊέμενοι] διδόντες. ἀπὸ κοινοῦ τὸ ἐκτήσαντο αὐτά. Κοινῇ γὰρ] γνώμῃ δηλονότι. 8. Τὰ σώματα] εἰς πόλεμον δηλονότι. 13. Σημαίνει] παριστᾷ. 14. Ἐν τῇ μὴ προσηκούσῃ] γῇ δηλονότι. 16. Καὶ

1. θεωμένους] γιγνομένους i. γιγνομένην d.
2. γενομένους αὐτῆς καὶ ὅταν μὲν ὑμῖν K.
3. ἐνθυμούμενος A.B.f.g.h.
4. ἄνδρες] om. i.
7. στερίσκειν] διδάσκειν i.
αὐτοὶ L.O.P. c.d.f.i.
προέμενοι P.
8. ἀγήρω I.K.g.h.
Ἀγήρων] Ita e Thucydide Pollux II. 14. Wass. Variat scriptura etiam infr. cap. 44. Vid. Steph. Thesaur. Duk.
9. ἔλαβεν d.
10. ἀλλ'] ἢ C.L.O.P.e. om. A.
12. Ἀνδρῶν—τάφος] Stobæus p. 614. Wass.
πᾶσα ἡ γῆ P.
13. μόνον C.I.b.
οἰκίᾳ g.h.
ἐπισημαίνει g.
ἐπιγραφῇ A.I.
14. τῇ μὴ] τιμῇ C.I.
16. νῦν] om. O.

" τὸ δὲ ἐλεύθερον τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς
" πολεμικοὺς κινδύνους. οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιό-
" τερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγα-
" θοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κιν-
" δυνεύεται καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, 5
" ἤν τι πταίσωσιν. ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα
" ἔχοντι ἡ ἐν τῳ μετὰ τοῦ μαλακισθῆναι κάκωσις, ἢ ὁ
" μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναί-
44. " σθητος θάνατος. * διόπερ καὶ τοῦς τῶνδε νῦν τοκέας,
" ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθή- 10

τὸ εὐδαιμον] ἕπεται γὰρ εὐψυχία μὲν ἡ ἐλευθερία, ταύτῃ δὲ ἡ εὐδαιμονία καὶ ὁ μακάριος βίος καὶ ὁ σπουδαῖος. Ὅμηρος· Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται (Od. 17, 322). 2. Οὐ γὰρ οἱ κακοπραγοῦντες] τὸ νόημα παράδοξον, καὶ ἐναντίον τῇ κοινῇ συνηθείᾳ· Θέογνις γάρ, ὁ ποιήσας τὰς ὑποθήκας, φησὶ (175), Χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντου Ῥιπτεῖν, καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων. τούτῳ οὖν ἐναντίως ὁ Περικλῆς ἀποφαίνεται. καὶ σκόπει τὴν ἀκρίβειαν τῆς ἑρμηνείας, ὅτι καὶ τῆς εἰρημένης τοῦ Θεόγνιδος ὑποθήκης λανθανόντως ἐμνήσθη καὶ ἠνίξατο, εἰπὼν τὸ δικαιότερον. τὸ γὰρ δικαιότερον συγκρίσεως ἔμφασιν ἔχει. 8. Ἀναίσθητος] προσθεὶς τὸ ἀναίσθητος ἐποίησεν

1. Μὴ περιορᾶσθε τοὺς πολ. κιν.] Thom. Mag. in περιορῶ ex h. l. ostendit, περιορᾶσθαι etiam activa significatione dici, pro καταφρονῶ. sed perperam apud eum editur περιορᾶσθαι. Duk.

2. Κακοπραγοῦντες] Confer Demosth. Coron. 349. 7. et Æschylum Pers. 600. Euripid. Hec. 956. Alcest. 782. Wass.

δικαιότεροι c.

3. οὐκ ἔστιν ἐλπὶς P. ἐλπὶς οὐκ ἔστιν C.e.

6. πταίωσιν K.

7. ἔν τῳ (ita enim accentum inclinavit Abreschius) om. Stobæus p. 88. post μετὰ τοῦ ponunt C.I.L.O.P.e. μετὰ τοῦ om. Tusanus.

8. ἅμα] ἅμα τε C.L.O.P.

ἀναίσθητος] καὶ ἀναίσθητος C.I. L.M.O.e.

9. Διόπερ—παραμυθήσομαι] Dion. Halic. p. 47. Οὐ συνέφερε τῷ συμβουλευτικῷ οὐδὲ τῇ προτροπῇ τὸ θρηνεῖν. rectissime. Confer Platonem Orat. funebris extremo. De Periclis in filii morte lacrimis agit Plutarch. p. 172. Wass.

10. ὀλοφύρωμαι H.

Ὀλοφύρομαι] Euripides Hecuba 163. Ποίαν, ἢ ταύταν, ἢ κείναν στείχω; Ælianus V. H. 1, 13. Ἔλεγε γὰρ αὐτῷ, καλῶν ἐνταφίων μὴ ΑΜΟΙΡΗΣΕΙΝ, εἰ ἐν αὐτοῖς ἀποθάνοι· Καὶ γὰρ οὖν καὶ ΠΡΟΚΕΙΣΘΑΙ σὺν τῷ κόσμῳ τὸν νεκρὸν οὐ πάνυ τι ἀδέξως. Vid. Homerum Il. γ'. 16. Præsens vim futuri habet apud Virgilium, aliosque. Sed in Historicis Græcis Syntaxis hæcce rara avis. Cum MSS.

" σομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τρα-
" φέντες· τὸ δ' εὐτυχὲς, οἱ ἂν τῆς εὐπρεπεστάτης λά-
" χωσιν, ὥσπερ οἵδε μὲν νῦν τελευτῆς, ὑμεῖς δὲ λύπης,
" καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευ-
" τῆσαι ξυνεμετρήθη. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὧν,
" ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυ-
" χίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν
" ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ

ἐγκώμιων καὶ ἔπαινον τοῦ θανάτου. 2. Τὸ δ' εὐτυχὲς] οὐχ οἱ τελευτήσαντες, ἀλλ' οἱ περιόντες αὐτῶν γονεῖς. 4. Οἷς] λείπει τὸ ἐν ἐκείνοις. Ἐνευδαιμονῆσαι] τουτέστιν ἐν εὐδαιμονίᾳ καὶ ζῆσαι καὶ τελευτῆσαι. 6. Εὐ-

τὰ φρονήματα ἔχειν. 1. Τφίστασθαι] ἀμετακινήτους εἶναι. 2. Τὴν ἀξίωσιν] τὸ ἀξίωμα, τὴν ἡγεμονίαν. Ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι] ὁμοίως οἱ ἄνθρωποι ἀξιοῦσιν αἰτιᾶσθαι ὅστις ἐν μαλακίᾳ ἐλλείπει τῆς ὑπαρχούσης δόξης, καὶ μισεῖν τὸν ἐν θρασύτητι ὀρεγόμενον τῆς μὴ προσηκούσης. 5. Ἀπαλγήσαντας] ἀπὸ κοινοῦ τὸ χρεών. τὸ δὲ ἀπαλγήσαντας ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν, ὅσπερ τὸ ἀπολοφυράμενοι. 9. Ὀρθῶς] ἀληθῶς. 10. Τόδε] τὸ ῥηθησόμενον. 13. Τὴν προσποίησιν] τὴν ἀπαγγελίαν. 14. Κατεπεπλη-

1. καὶ ξυμφορὰς τὰς μεγίστας K. f. καὶ τὰς ξυμφορὰς Dionysius.

Ξυμφοραῖς ταῖς μεγίσταις] Τφίστασθαι hac significatione et dativo et accusativo jungitur: sed Thucydides etiam alibi ei accusativum addit, IV. 59. Οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι. Et sic etiam alii probati Scriptores. Itaque recepta scriptura hujus loci non nisi numero librorum Msstorum vincit eam, quæ in Gr. et Dionys. Halic. est. Duk.

3. εἴ τις L. ὅστις ἂν Dionysius, qui mox ἐλλείπῃ.

5. Ἀπαλγήσαντας] Agnoscit Suidas h. v. Cæterum ἀπολοφύρεσθαι Xenophon Ἑλλην. I. Wass. Accusativos in principio sequentis periodi, τὸν δὲ πόνον, Portus recte interpretatur περὶ τοῦ πόνου. Plura hujus generis suppeditabunt Stolberg. cap. IX. de Solœcism. et Barbarismis &c. Perizon. ad Ælian. II. 13. et Interpretes Actor. Apostol. ad X. 36. Duk.

δὲ χρεὼν τὰ c.

7. τε om. c.f.

9. ἐπέδειξα correctus G.

12. πρὶν λόγοις] πρόσθεν λόγοις f. προλόγοις c.

13. τὴν om. L.O.

" ἐώρων. οἴεσθε μὲν γὰρ τῶν ξυμμάχων μόνον ἄρχειν, ἐγὼ
" δὲ ἀποφαίνω δύο μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς
" καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους
" ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε καὶ ἢν ἐπὶ πλέον βουλη-
" θῆτε· καὶ οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ παρασκευῇ
" τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει
" οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι. ὥστε οὐ κατὰ
" τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν, ὧν μεγάλων νομί-
" ζετε ἐστερῆσθαι, αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς
" χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ κήπιον καὶ ἐγ-
" καλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας ὀλι-
" γωρῆσαι, καὶ γνῶναι ἐλευθερίαν μὲν, ἣν ἀντιλαμβα-
" νόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναλῳσο-
" μένην, ἄλλων δ' ὑπακούσασι καὶ τὰ προσεκτημένα
" φιλεῖν ἐλασσοῦσθαι, τῶν τε πατέρων μὴ χείρους κατ'
" ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων καὶ οὐ παρ' ἄλλων
" δεξάμενοι κατέσχον τε καὶ προσέτι διασώσαντες πα-
" ρέδοσαν ἡμῖν αὐτά (αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι ἢ

μένους] καταπεπτωκότας τῷ φόβῳ. 2. Τῶν ἐς χρῆσιν] τὸ γὰρ πῦρ καὶ ὁ ἀὴρ οὐ τοσοῦτόν εἰσιν εἰς χρῆσιν φανερά· κοινὰ γὰρ πᾶσι. Φανερῶν] ὄντων δηλονότι. 5. Οὐκ ἔστιν ὅστις] οὐδείς. 7. Ἐν τῷ παρόντι] ἤγουν ἐν τῇ παρούσῃ ζωῇ. 9. Αὕτη ἡ δύναμις] τῆς πόλεως ἡ θαλασσοκρατία· ἀλλὰ μείζων δηλονότι. 10. Αὐτῶν μᾶλλον] ἢ τὸν πόλεμον, ἢ τὴν τῆς χρείας ἀφαίρεσιν. Ἢ οὐ κήπιον] τὸ ἢ οὐ ἀντὶ τοῦ ἀλλά, οἷον, ἀλλὰ κήπιον καὶ ἐγκαλλώπισμα πλούτου, ὡς πρὸς τὴν κτῆσιν τῆς θαλάσσης. ἄλλοι δὲ τὸ κήπιον εἶδος κουρᾶς φασὶν, οὕτως ὀνομαζομένης. κατὰ κοινοῦ δὲ τὸ εἰκὸς ἐστιν. 14. Ἄλλων δ' ὑπακούσασιν] ἀντὶ τοῦ ἄλλοις. 16. Φανῆναι] μετέρχεται ἐπὶ

1. μόνον G.K.
2. φανερῶς P.
4. ἢν om. B.h.
πλεῖν H.K.i.
6. κωλύσει post παρόντι ponunt C.e.
7. ἄλλο om. c.
ἔθνος ἀνθρώπων τῶν C.I.L.O.P.e.
9. αὐτὴ A.I.L.O.
10. αὐτὴν G. αὐτῶν inter versus g.
ἢ] καὶ K.
οὐκ ἤπιον A.F.I.K.M.P.g.h.
καὶ ἐν ἐγκαλλ. K.
14. τὰ] καὶ F.P. om. L.O.
προσεκτημένα A.B.C.H.g. προεκτημένα K. προκεκτημένα I.L.O. M.e.
18. ὑμῖν A.B.C.I.b.c.f.g.h.

" κτωμένους ἀτυχῆσαι), ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε μὴ
" φρονήματι μόνον ἀλλὰ καὶ καταφρονήματι. αὔχημα
" μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινὶ
" ἐγγίγνεται, καταφρόνησις δὲ, ὃς ἂν καὶ γνώμῃ πι-
" στεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν
" τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρ-
" φρονος ἐχυρωτέραν παρέχεται, ἐλπίδί τε ἧσσον πι-
" στεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχὺς, γνώμῃ δὲ ἀπὸ τῶν
63. " ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια. * τῆς τε πό-
" λεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, ὥπερ
" ἅπαντες ἀγάλλεσθε, βοηθεῖν, καὶ μὴ φεύγειν τοὺς πό-
" νους, ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι περὶ
" ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλ-
" λὰ καὶ ἀρχῆς στερήσεως καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ
" ἀπήχθεσθε. ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ
" τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζε-

τὸ δίκαιον. 2. Αὔχημα] τὸ φρόνημα αὔχημα φησίν. 3. Ἀπὸ ἀμαθίας εὐτυχοῦς] ἀπὸ ἀλόγου εὐτυχίας. 4. Καταφρόνησις δὲ] λείπει ἐκείνῳ. 5. Καὶ τὴν τόλμαν] ἡ σύνταξις, καὶ τὴν τόλμαν ἡ ξύνεσις παρέχεται ἐκ τῆς ὁμοίας τύχης. 8. Ἀπὸ τῶν ὑπαρχόντων] ἀπὸ κοινοῦ τὸ πιστεύει. 9. Ἡ πρόνοια] ἡ πρόγνωσις. 10. Τῷ τιμωμένῳ] τῇ τιμῇ τῆς πόλεως. Ὥπερ] ᾧ τινὶ τῷ τιμωμένῳ τῆς πόλεως, τουτέστι τῇ ἡγεμονίᾳ. Ἄλλως. τῇ δόξῃ τῆς πόλεως, ᾗ ἀγάλλεσθε, καὶ βοηθεῖν ὑμᾶς εἰκός. 14. Ἐν τῇ ἀρχῇ] ὄντες δηλονότι. 15. Ἀπήχθε-

1. Ἰέναι—πρόνοια] Dionys. Halic. pag. 159. Wass. Pleraque in hac periodo reprehendit Dionysius: illa autem, ἥ τε τόλμα, ἣν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται Heracliti tenebris obscuriora esse dicit. Aristides tom. III. pag. 652. ex memoria laudat: ἰέναι δ' ἐπὶ τοὺς πολεμίους, μή μοι φρονήματι μ. ἀ. κ. κ. Ubi dativus μοι, etsi sæpe alibi πλεονάζει, inconcinne poni videtur. Duk.

ὁμόσε καὶ ἀμύνεσθαι μὴ Dionysius p. 928. ὁμόσε καὶ μὴ Q.

2. αὔχημα] φρόνημα Dionysius.

3. ἀπὸ] ὑπὸ Dionysius.

καὶ ante δειλῷ om. e.

4. ἂν om. K.

5. περιέχειν C.

7. ἐχυρωτέραν B.N.g.h. cum Dionysio.

10. ᾧ ὑπὲρ ἅπαντας A.B.e.f. cum Dionysio: ὥσπερ ἅπαντες I.c.

12. νομίσατε I.

15. ἔτι om. G.

16. ἀνθραγαθίζεσθαι P.

" ται· ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτὴν, ἣν λαβεῖν μὲν
" ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ ἐπικίνδυνον. τάχιστ' ἄν
" τε πόλιν οἱ τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν,
" καὶ εἴ που ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν· τὸ
" γὰρ ἄπραγμον οὐ σώζεται μὴ μετὰ τοῦ δραστηρίου
" τεταγμένον, οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει ἀλλ' ἐν
" ὑπηκόῳ, ἀσφαλῶς δουλεύειν. * ὑμεῖς δὲ μήτε ὑπὸ τῶν 64.
" τοιῶνδε πολιτῶν παράγεσθε, μήτε ἐμὲ δι' ὀργῆς ἔχετε,
" ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν, εἰ καὶ ἐπελθόντες οἱ
" ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν μὴ ἐθελησάντων ὑμῶν
" ὑπακούειν, ἐπιγεγένηταί τε πέρα ὧν προσεδεχόμεθα ἡ
" νόσος ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσ-
" σον γεγενημένου. καὶ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλ-
" λον ἔτι μισοῦμαι, οὐ δικαίως, εἰ μὴ καὶ ὅταν παρὰ
" λόγον τι εὖ πράξητε ἐμοὶ ἀναθήσετε. φέρειν τε χρὴ τά
" τε δαιμόνια ἀναγκαίως τά τε ἀπὸ τῶν πολεμίων ἀν-
" δρείως· ταῦτα γὰρ ἐν ἕξει τῇδε τῇ πόλει πρότερόν τε
" ἦν, νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. γνῶτε δὲ ὄνομα μέγιστον
" αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις διὰ τὸ ταῖς ξυμ-
" φοραῖς μὴ εἴκειν, πλεῖστα δὲ σώματα καὶ πόνους

σθε] τοῖς ἄλλοις δηλονότι. 3. Οἱ τοιοῦτοι] οἱ ἀπράγμονες. 7. Τὸ τῶν τοιῶνδε πολιτῶν] τῶν συμβουλευόντων τὸ ἄπραγμον. 8. Παράγεσθε] ἀπατᾶσθε. 12. Ἐλπίδος κρεῖσσον] ὑπὲρ ἐλπίδα.

2. δοκεῖ ἄδικον c.
3. τε] τοτε B.g.
4. Τὸ γὰρ—τεταγμένον] Stobæus pag. 87. In hanc sententiam plura apud Dionem XXXVIII. p. 84. d. Jul. Cæsar. Wass.
5. μὴ om. e.
7. ἀσφαλὲς K.
8. παραγένεσθε B.h.
10. ἐναντίοι] πολέμιοι i.
11. ἐπακούειν c.
ἐπεὶ γεγένηται C.b.c.
12. ἐλπίδων I.L.O.P.Q.e.
14. ἔτι om. e.
παράλογόν H.K.M.N.g.
15. φέρειν δὲ L.O.e. conjunctionem om. c.
Φέρειν] Confer Demosth. Coron. 355. Wass.
16. πολέμων P.e.
17. τε post πρότερον om. N.
18. ἦν] ἢ C.
19. ἅπασιν C.L.O.P.e.

" ἀναλωκέναι πολέμῳ, καὶ δύναμιν μεγίστην δὴ μέχρι
" τοῦδε κεκτημένην, ἧς ἐς αἰδίιον τοῖς ἐπιγιγνομένοις, ἢν
" καὶ νῦν ὑπενδῶμέν ποτε (πάντα γὰρ πέφυκε καὶ ἐλασ-
" σοῦσθαι), μνήμη καταλελείψεται, Ἑλλήνων τε ὅτι
" Ἕλληνες πλείστων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγί- 5
" στοις ἀντέσχομεν πρός τε ξύμπαντας καὶ καθ' ἑκά-
" στους, πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην καὶ μεγίστην
" ᾠκήσαμεν. καίτοι ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ'
" ἄν, ὁ δὲ δρᾶν τι βουλόμενος καὶ αὐτὸς ζηλώσει· εἰ δέ
" τις μὴ κέκτηται, φθονήσει. τὸ δὲ μισεῖσθαι καὶ λυπη- 10
" ροὺς εἶναι ἐν τῷ παρόντι πᾶσι μὲν ὑπῆρξε δή, ὅσοι ἔτε-
" ροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ
" ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. μῖσος μὲν γὰρ
" οὐκ ἐπὶ πολὺ ἀντέχει, ἡ δὲ παραυτίκα τε λαμπρότης
" καὶ ἐς τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. 15
" ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγόντες, ἔς τε τὸ αὐ-
" τίκα μὴ αἰσχρὸν, τῷ ἥδη προθύμῳ ἀμφότερα κτήσα-
" σθε, καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε μήτε ἔν-
" δηλοι ἔστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι, ὡς οἵτινες

1. Ἀναλωκέναι] ἀπὸ κοινοῦ τὸ γνῶτε. 2. Ἧς] τὸ ἧς πρὸς τὸ, μνήμη καταλελείψεται. τὰ γὰρ ἄλλα διὰ μέσου. Ἢν καὶ νῦν ὑπενδῶμέν ποτε] ἐάν ποτε καὶ ὑποχαλάσωμεν καὶ πταίσωμεν. 8. Καίτοι ταῦτα] τρεῖς κριτὰς ἐπιστίθεται τῶν πραγμάτων. 12. Τὸ ἐπίφθονον] τὸ ἐπίζηλον. 13. Μῖσος μὲν γὰρ] διαλύεται γὰρ ἢ θανάτῳ ἢ ἄλλῳ τινί. 19. Ὡς οἵτινες] τὸ ὡς

2. τοῖς om P.
3. νῦν μὴ ὑπενδ. N.
4. καταλείψεται P.
5. πλεῖστον C.L.Q.
ἢ δὴ G.
7. τε om g.
8. φκίσαμεν P.Q.
μέμψοιτ' H.Q.
9. καὶ αὐτὸς βουλόμενος ζηλώσει C.I.L.O.P.
12. Ὅστις—βουλεύεται] Plutarch. Moral. p. 73. Et ibi cum MS. legendum μείζω, pro μείζονα, et γιγνώσκων. Huc etiam spectat p. 535. Pindarus, quem sequi videtur P. I. 162. Ἀστῶν δ' ἀκοὰ κρίφιον θυμὸν βαρύνει, μάλιστ' ἐσθλοῖσιν ἐπ' ἀλλοτρίοις. Ἀλλ' ἁμῶς, κρέσσων γὰρ οἰκτιρμῶν φθόνος. Wass.
13. μὲν om. B.F.K.N.Q.g.h.i.
14. τε om. L.
16. κακὸν P.
18. ἐπικηρυκεύησθε I.

" πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔρ-
" γῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ
" ἰδιωτῶν κράτιστοί εἰσιν."

* Τοιαῦτα ὁ Περικλῆς λέγων ἐπειρᾶτο τοὺς Ἀθηναίους 65.
τῆς τε ἐπ' αὐτὸν ὀργῆς παραλύειν καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο, ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο, ὁ μὲν δῆμος ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος ἐστέρητο καὶ τούτων, οἱ δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες, τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐζημίωσαν χρήμασιν. ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν, ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ἡ ξύμπασα πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. ὅσον τε γὰρ χρόνον προὔστη τῆς

Publice quidem Athenienses Pericli obsequuntur, sed privatim eum odio habent, multaque afficiunt, sed imperium summum denuo ei tradunt. Belli annos duo et sex menses vixit. Thucydidis de eo judicium honorificum, et cum successoribus ejus comparatio.

ἀντὶ τοῦ ἐπεί. 5. Ἐπ' αὐτὸν] κατ' αὐτοῦ. 6. Τὴν γνώμην] τὸν σκοπὸν ἐκείνων. 10. Οἱ δὲ δυνατοὶ] οἱ τῷ πλούτῳ δυνάμενοι. 18. Προσεδεῖτο]

4. τοιαῦτα μὲν ὁ i.
5. ἐπ'] ἐς L.O.P.
Ἐπ' αὐτὸν ὀργῆς] Thucydides sæpe ἐπὶ cum accusativo pro κατὰ ponit: ob quam causam, et quia etiam alii Scriptores Attici ita loquuntur, Henr. Stephan. Append. ad Script. de Dial. p. 123. hoc Atticum genus loquendi esse putat. Duk.
7. τοὺς om. g.e.
ἔτι om. B.e.
8. μᾶλλον om. P.
14. αὐτὸν om. L.
Ἐζημίωσαν] Ὀγδήκοντα τα-

λάντοις, inquit Diodor. pag. 310. b. vid. Aristoph. Acharn. 32. Wass. Respicit ad hunc locum Aristides tom. III. pag. 401. Duk.
15. ὁ ὅμιλος K.
17. Ἀμβλύτεροι] Confer Plutarch. Pericl. p. 171. Periclem μεγαλοπρεπῶς σοφὸν vocat Plato p. 425. filios non laudat. Wass.
18. ξύμπασα ἡ A.F.G.H.K.Q. d.g.h.i.
19. ἄξια L.O.
Ὅσον τε γὰρ — ὁ ἐς Σικελίαν πλοῦς] Hæc e Thucydide descrip-

πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν αὐτὴν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. ἐπεβίω δὲ δύο ἔτη καὶ μῆνας ἕξ· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν πόλεμον. ὁ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει κινδυνεύοντας ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν, καὶ ἄλλα ἔξω τοῦ πολέμου, δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη, κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν, ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφελία μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. αἴτιον δ' ἦν ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε

χρείαν εἶχε. 4. Τὴν δύναμιν] τὴν ἰσχὺν τοῦ πολέμου. 5. Ἐπὶ πλέον ἔτι] μετὰ τὸ καταστῆναι τὸν πόλεμον. Ἡ πρόνοια αὐτοῦ] ἡ πρόγνωσις. 12. Ἃ κατορθούμενα] εἰς τέλος ἐρχόμενα. Τοῖς ἰδιώταις] Ἰδιώτας καλεῖ τοὺς ῥήτορας καὶ τοὺς δημαγωγούς, οὐχ ὅτι ἰδιῶταί εἰσι κατὰ τὸ ἀληθὲς, ἀλλ' ὡς πρὸς ἀντιδιαστολὴν τοῦ κοινοῦ καὶ τῆς πόλεως εἴρηκε. 13. Σφα-

sit Aristides tom. III. p. 200. Confer Aristot. tamen Polit. B'. 12. Laudat Max. Tyrius p. 429. Isocrates 270. Adi Platonem p. 351. WASS.

1. Ἀσφαλῶς] Aristid. ὡς ἀσφαλῶς. et pro ἐπ' ἐκείνου, ἐπ' αὐτοῦ. WASS. Mox etiam ἐπειδὴ δὲ ὁ π. DUK.

2. ἐκείνου] αὐτοῦ f.

ἐπεί A.B.F.H.K.N.Q.c.d.f.g. h. om. b. ceteri ἐπειδή.

3. δὲ A.g.

ἐφαίνετο I.L.O.P.

4. μῆνας ἓξ A.f. ceteri ἓξ μῆνας.

5. Ἐπιπλέω] Huc spectat Libanius Orat. parentali in Julianum Imp. pag. 363. Ἐπὶ πλεῖον Aristides: sed male omittit ἡ post αὐτούς. WASS.

αὐτοῦ ἐς A.B.F.H.K.N.g.

11. Κακῶς — ἐπολίτευσαν] Th. Mag. in πολιτεύομαι. Sed vitiose in Editis ἔστραι pro ἔς τε. DUK.

12. Ἰδιώτας] Suidas h. v. Ἰδιῶται, ἀντὶ τοῦ πολῖται, cives. Sic et Hesychius, qui etiam addit ἀπλῖται, ἀπείρους. v. Aristophan. WASS.

14. καθίσταντο b.

15. τε] δὲ apud Aristid.

διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὗ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. οἱ δὲ ὕστερον ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες, καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι. ἐξ ὧν ἄλλα τε πολλὰ, ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ, ἡμαρτήθη, καὶ ὁ ἐς Σικελίαν πλοῦς ὃς οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῆσαν, ὅσον οἱ ἐκπέμψαντες οὐ τὰ πρόσφορα τοῖς οἰ-

λέντα δὲ] αἰνίττεται τὰ κατὰ τὸν Ἀλκιβιάδην. 1. Ἀδωρότατος] ἀδωρόληπτος. 6. Ὕβρει θαρσοῦντας] ἀλόγως τι πράττοντας. 14. Πρὸς οὓς] λείπει τῶν Λεοντίνων. τοὺς Λεοντίνους λέγει· οὗτοι γὰρ μετεκαλέσαντο πρὸς συμμαχίαν Ἀθηναίους, Συρακουσίοις διαφερόμενοι. 15. Οἱ ἐκπέμψαντες] Ἀθηναίων οἱ προὔχοντες. Τοῖς οἰχομένοις] τοφευθεῖσιν εἰς Σικελίαν.

1. ἀδιαφανῶς I. ἀφανῶς Lex. Seg. p. 346, 14. et mox ἀλώρητος.

Ἀδωρότατος] Plutarch. Pericl. 161. ubi legerim προσφέροντα σωτήρια. Sallust. Invictus adversum divitias. Pro τε διαφανῶς Thom. Mag. h. v. δὲ διαφ. Wass.

2. Οὐκ ἤγετο μᾶλλον] Aristid. tom. III. p. 442. Idem.

4. Ἔχων—ἀντειπεῖν] Thom. Mag. in ἀξιῶ. Vid. Demosth. contra Aristogiton. p. 458. Idem.

τι om. c. cum Aristide et Thoma Mag. V. ἀξιῶ.

5. εἰπεῖν g.

οὖν g.

τις B. ἂν d.

7. αὖ ἀλόγως] ἀναλόγως C.e.

θαρρεῖν A.B.F.H.g. θαρσοῦν e.

8. Λόγῳ—ἀρχή.] Plutarch. Moral. 802. Wass. Λόγῳ et ἔργῳ, item λόγῳ et ἀληθείᾳ opponuntur apud Græcos, ut ap. Latinos verbo et re. Malasp. ad Ciceron. III. ad Attic. 12. Wass. ad Sallust. Jug. XIV. Duk.

9. μᾶλλον αὐτοὶ C.L.O.P.e. cum Aristide, qui et ὕστεροι.

10. ὀρεγόμενος P.c.

11. ἡδονὴν Q.

καὶ om. L.O.P. cum Aristide.

12. ὃς om. C.e.

14. ἃς] Hoc quoque pronomen suspectum.

15. ἐπίεσαν L. ἐποίησαν O.P. ἀπήεσαν g.

οἰχομένοις] ὁρωμένοις e.

χομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν, καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλείονι μορίῳ, καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὑστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν, ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε, ἀφ' ὧν αὐτὸς προέγνω, καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

66. Lacedæmoniorum expeditio adversus Zacynthum.

* Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ Ἀθηναίοις ξυνεμάχουν. ἐπέπλεον δὲ

2. Ἐν τῷ στρατοπέδῳ] τῷ Σικελικῷ. 7. Πολεμίοις] τοῖς Λακεδαιμονίοις. 8. Μετ' αὐτῶν] τῶν Λακεδαιμονίων. Ἔτι τοῖς πλείοσιν] ἀντεῖχον δηλονότι. 9. Βασιλέως παιδὶ] βασιλέως λέγει τοῦ Δαρείου, υἱοῦ Ἀρταξέρξου. οὗ τινὸς καὶ Κύρου ὁ Ξενοφῶν τὰς ἀναβάσεις ἔγραψε. 10. Προσγενομένῳ] τοῖς Λακεδαιμονίοις δηλονότι. 11. Ἐνέδοσαν] ἐμαλακίσθησαν. 12. Τοσοῦτον] φρονήσεως δηλονότι. 13. Ἀφ' ὧν] ἀφ' ὧν πραγμάτων, ὥστε μήτε κατὰ γῆν

1. τὰς om. F.K.N.Q.g.
διαβολὰς A.B.C.F.K.N.Q.d.e. f.g.h.i. vulgo διαφοράς.
2. ἐν om. e.
5. πλείονι A.B.H.K.Q.g.h. ceteri πλέονι.
6. ἤδη] ἔτι A.
7. ἀνεῖχον I.
9. πλείοσιν A.B.H.K.L.b.c.d. g.h.i. ceteri πλέοσιν.
ἀφεστηκόσι πολεμοῦντες κύρῳ f.
10. προσγεγενημένῳ L.O.P.
11. σφίσιν αὐτοῖς C.L.O.P.e.f.
14. περιγενέσθαι A.B.F.H.g.h. περιγενέσθαι τὴν πόλιν ceteri. τῶν om. L.O.P.c.f.
15. αὐτῷ K.g.
18. ἀντιπέραν g.
19. ἀθηναῖοι A,B.
δὲ om. F.H.

Λακεδαιμονίων χίλιοι ὁπλῖται, καὶ Κῆμος Σπαρτιάτης ναύαρχος. ἀποβάντες δὲ ἐς τὴν γῆν ἐδήωσαν τὰ πολλά. καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἴκου.

67. * Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος Ἀριστεὺς Κορίνθιος καὶ Λακεδαιμονίων πρέσβεις, Ἀνήριστος καὶ Νικόλαος καὶ Πρατόδημος, καὶ Τεγεάτης Τιμαγόρας, καὶ Ἀργεῖος ἰδίᾳ Πόλλις, πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴ πως πείσειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θράκην, βουλόμενοι πεῖσαί τε αὐτὸν, εἰ δύναιντο, μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὖ ἦν στράτευμα τῶν Ἀθηναίων πολιορκοῦν, καὶ ἢ ὑπερ ὥρμηντο, δι' ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. παραπυχόντες δὲ Ἀθηναίων πρέσβεις, Λέαρχος Καλλιμάχου καὶ Ἀμεινιάδης Φιλήμονος, παρὰ

67. Legati Peloponnesiorum, ad regem Persarum missi, per Thraciam iter facientes et ad Sitalcen devertentes, ut eum a societate Atheniensium avertant, suadentibus Atheniensium legatis, qui tum forte aderant in Thracia, a Sadoco, Sitalcæ

πολεμῆσαι μήτε εἰς Σικελίαν πέμψαι. 3. Ξυνεχώρουν] ἐνεδίδουν οἱ Ζακύνθιοι. 6. Καὶ Ἀργεῖος ἰδίᾳ Πολλάκις] γράφεται ἰδίᾳ Πόλις. ὄνομα κύριον.

1. κῆμις f.
5. ἀνήριτος g.
6. στρατόδημος A.B.f.g.h. probante Valckenario ad Herodot. 7. 138.
7. Ἰδιόπολις K. Ἰδιαίπολις g. ἰδίᾳ πόλλις A.B.C.G. ceteri ἰδίᾳ πόλις.
Πόλις et Πόλλις, proprium, etiam apud alios permutantur. Vid. Interpretes Polluc. VI. 15. et Æliani XII. V. H. 31. Sic, qui Diodoro Siculo XV. 475. est Polis, apud Plutarch. Dion. princip. dicitur Pollis Spartiates. Nam eumdem esse, de quo Plutarchus et Diodorus agunt, intelligitur e Diog. Laërt. III. 19. 20. Polin Ducem coloniæ Amyclæorum et Spartiatarum, qui in Creta consederunt, memorat apud Photium Conon Narrat. 36. et 47. Ἰδιαίπολις, quod quidam MSS. habent, potuit oriri ex ι adscripto diphthongi impropriæ. Duk.
8. τε om. d.
παρασχεῖν C.I.L.O.P.Q.e.
9. ὡς] ἐς Q.i.
τήρεως Q.
10. τε πεῖσαι d.i.
12. πολιορκοῦν καὶ ᾗπερ A.B.C.F. G.N.g.h. vulgo πολιορκοῦν καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς καὶ ᾗπερ.
15. πέμπειν.
16. λαίαρχος K. κλέαρχος. f.
ὁ ante καλλ. om. A.B.H.K. L.N.O.Q.c.g.h.
ὁ ante φιλ. om. A.B.F.G.H. K.Q.c.e.f.g.h.i.

filio, in itinere comprehenduntur et Atheniensibus traduntur. Athenienses eos indicta causa necant, in ultionem eorum, quos circa Peloponnesum correptos Lacedæmonii trucidaverant.

τῷ Σιτάλκῃ πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον, Σιτάλκου υἱόν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μὴ διαβάντες ὡς βασιλέα τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. ὁ δὲ πεισθεὶς πορευομένους αὐτοὺς διὰ τῆς Θράκης ἐπὶ τὸ πλοῖον, ᾧ ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν, πρὶν ἐσβαίνειν ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Λεάρχου καὶ Ἀμεινιάδου, καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι· οἱ δὲ λαβόντες ἐκόμισαν ἐς τὰς Ἀθήνας. ἀφικομένων δὲ αὐτῶν δείσαντες οἱ Ἀθηναῖοι τὸν Ἀριστέα, μὴ αἴθις σφᾶς ἔτι πλείω κακουργῇ διαφυγών, ὅτι καὶ πρὸ τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θράκης πάντ' ἐφαίνετο πράξας, ἀκρίτους καὶ βουλομένους ἔστιν ἃ εἰπεῖν αὐθημερὸν ἀπέκτειναν πάντας καὶ ἐς φάραγγας ἐσέβαλον, δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι οἵσπερ καὶ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας ἀποκτείναντες καὶ ἐς

ἄνευ τοῦ κοινοῦ· οἱ γὰρ Ἀργεῖοι φίλοι ἦσαν Ἀθηναίοις. 1. Τὸν γεγενημένον] τὸν ἐγγραφέντα. 3. Τὸ μέρος] ὅσον ἀπὸ τοῦ μέρους αὐτοῦ. 4. Ὁ δὲ] ἦγουν ὁ Σάδοκος. 8. Ἐκείνους] τοῖς πρίσβεσι τῶν Ἀθηναίων. Οἱ δὲ] οἱ πρέσβεις τῶν Ἀθηναίων. 10. Τὸν Ἀριστέα] τὸν Κορίνθιον. Αἴθις] εἰς τὸ μέλλον. Κακουργῇ] κακουργήσῃ. 14. Δικαιοῦντες] δίκαιον κρίναντες. Τοῖς αὐτοῖς ἀμύνεσθαι] τὴν ἴσην τιμωρίαν δοῦναι. 15. Οἵσπερ] ἀντὶ τοῦ ὅν. Ὑπῆρξαν] ἀντὶ τοῦ προκατήρξαντο.

1. σιτάμῃ P.
alterum τὸν om. L.O.P.e.
3. μὴ om. g.
ὡς] ἐς N.
5. ᾧ] ὡς e.
Ἔμελλον—περ.] Thom. Magist. Wass. Thomas adnotat, περαιοῦμαι dicendum, quamvis Thucydides περαιῶ dicat. Apud eum pro ὡς ex hoc loco legendum est ᾧ. Duk.
6. ἄλλους δὲ ξυμπέμψας C.I. K.L.O.d.e.i. ἄλλους πέμψας d.i.
7. καὶ om. P.e.
ἐκέλευεν L.O.P.
10. ἔτι] ἐπὶ K.Q.c.d.
πλείω A.H.K.Q.c.d.g.h.i. πλέον e. ceteri πλέω.
13. Ἀπέκτειναν πάντας] Confer omnino Herodot. VII. 137. Wass.
14. φάραγγα C.L.O.e. φάραγκας H.c.
ἐσέβαλλον K.

φάραγγας ἐσβαλόντες. πάντας γὰρ δὴ κατ' ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι, ὅσους λάβοιεν ἐν τῇ θαλάσσῃ, ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας καὶ τοὺς μηδὲ μεθ' ἑτέρων.

68. Ambraciotarum expeditio contra Argos Amphilochicum, ejusque causae. Erat enim Argos Amphilochicum ab Amphilocho conditum statim post Troica. Argivi multo tempore post, adversa fortuna afflicti, Ambracio-

* Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, καὶ Ἀμπρακιῶται, αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες, ἐστράτευσαν ἐπ' Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε, μετὰ τὰ Τρωϊκὰ οἰκαδε ἀναχωρήσας καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει, Ἀμφίλοχος ὁ Ἀμφιάρεω, ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας, καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας. ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζό-

5. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους] μετάβασις. 7. Ἀναστήσαντες] διεγείραντες εἰς συμμαχίαν. Ἐπὶ τὸ Ἄργος] κατὰ τοῦ Ἄργους. 9. Αὐτοῖς] τοῖς Ἀμπρακιώταις. 11. Καὶ οὐκ ἀρεσκόμενος] εὗρε γὰρ τὴν μητέρα Ἐριφύλην ἀναιρεθεῖσαν ὑπὸ Ἀλκμαίωνος τοῦ ἀδελφοῦ αὐτοῦ. 12. Τῇ ἐν Ἄργει καταστάσει] τῇ οἰκήσει. 15. Τῆς Ἀμφιλο-

1. φάραγγα C.g.e.
ἐμβαλόντες L.P.f. βαλόντες C.e.
2. οἱ om. C.e.
5. τοῦ αὐτοῦ θέρους Q.
7. ἐπὶ τὸ ἄργος b.
8. καὶ ἐς τὴν L.O.
10. ἔκτισε μὲν μετὰ C.L.O. P.e.
11. μετὰ τρωϊκὰ P.
12. Ἀμφίλ. ὁ Ἀμφ.] Magnus quidem Autorum dissensus super conditore Argi Amphil. Vide Nonnium ad Goltzii Græciam, et Strab. p. 326. Amphilochum ex Apollinis oraculo Argos condidisse scribit Apollodorus, l. 3. sed Amphilochum non Amphiarai filium (ut Thucydides, Scymnus Chius, Aliique) sed ejus ex Alcmæone nepotem facit. Vide Palmerii Gr. Antiq. p. 382. &c. Huds. Vide Strabonem VII. 326. Apollodorum III. 7. Pausan. II. 18. et Herodotum III. 91. Domum reversus est A.M. 2823. ante Christum natum 1182. Apollodorus Ephorum secutus est, ut ex Strabonis X. p. 462. abunde patet. Wass.
13. αὐτοῦ C.L.O.e.
14. ἡ om. K.i.

tas recipiunt in urbem a quibus ipsi postea ejiciuntur. Amphilochi autem Acarnanibus se tradunt, et ope Atheniensium Argos capiunt, Ambraciotas vendunt. Inde et societas Acarnanum cum Atheniensibus, et inimicitia Ambraciotarum, qui Argos frustra adorti.

μενοι Ἀμπρακιώτας ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ ξυνοίκους ἐπηγάγοντο, καὶ ἑλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων· οἱ δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροί εἰσιν. ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους οἱ Ἀμπρακιῶται χρόνῳ, καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. οἱ δ' Ἀμφίλοχοι γενομένου τούτου διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι, καὶ προσπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους, οἳ αὐτοῖς Φορμίωνά τε στρατηγὸν ἔπεμψαν καὶ νεῶς τριάκοντα. ἀφικομένου δὲ τοῦ Φορμίωνος αἱροῦσι κατὰ κράτος Ἄργος καὶ τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν, κοινῇ τε ᾤκησαν αὐτὸ Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες. μετὰ δὲ τοῦτο ἡ ξυμμαχία ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. οἱ δὲ Ἀμπρακιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο, ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὐτῶν τε καὶ Χαόνων καὶ ἄλλων

χίας] γῆς δηλονότι. 2. Ἐπηγάγοντο] ἐφειλκύσαντο. Καὶ ἑλληνίσθησαν] Ἕλληνες κατὰ τὴν νῦν διάλεκτον ἐγένοντο. 3. Οἱ δὲ ἄλλοι Ἀμφίλοχοι] οἱ δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροι· οἱ δὲ Ἀμπρακιῶται Ἕλληνες, Κορινθίων ἄποικοι. 4. Τοὺς Ἀργείους] τοὺς Ἀμφιλοχικούς, τοὺς δεξαμένους. 5. Χρόνῳ] ἀντὶ τοῦ μόλις. 7. Ἀκαρνᾶσι] φίλοις οὖσι δηλονότι Ἀθηναίων. 8. Ἀθηναίους] ἀναπείθοντον, μᾶλλον δὲ καυναπείθοντον τοῦτο, εἰ οὕτω χρὴ φάναι. 11. Αὐτὸ] τὸ Ἄργος. 12. Μετὰ δὲ τοῦτο] ἀντὶ τοῦ ἀπὸ ταύτης τῆς αἰτίας. 14. Ἐς τοὺς Ἀργείους] κατὰ τῶν Ἀργείων. 15. Ἐν τῷ πολέμῳ] τῷ Πε-

1. ὁμόρους B.g.
2. ἠλληνίσθησαν Lobeck. ad Phrynich. p. 380.
γλῶτταν N.
3. τότε om. C.L.O.P.e.
ξυνοικισάντων O.P. τῶν ξυνοικισάντων L.
4. ἀμφιλόχιοι d.
6. οἱ δὲ ἄλλοι N.
γεγενημένου L.O.
αὐτοὺς e.
7. προσπαρακαλέσαντες A.B.C. I.K.N.b.c.e.h. προσκαλεσαντες F. H.L.O.P.Q.d.g.i. vulgo προσεκάλεσαντο.
11. ᾧκισαν C.O.P.Q.e.
καὶ om. P.
12. πρῶτον ἐγένετο C.L.O.P.e.
14. ἀπὸ om. g.
15. πρῶτον om. c.
16. ἑαυτῶν C.e.
καὶ τῶν χαόνων Q.

τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλθόντες τε πρὸς τὸ Ἄργος τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβαλόντες, ἀπεχώρησαν ἐπ' οἴκου καὶ διελύθησαν κατὰ ἔθνη. τοσαῦτα μὲν ἐν τῷ θέρει ἐγένετο.

69. Per hiemem Phormio ad custodiam sinus Crissæi, Melesander in Cariam et Lyciam proficiscitur contra prædones Peloponnesios, navigia inde venientia vexantes.

* Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι μὲν περὶ Πελοπόννησον, καὶ Φορμίωνα στρατηγὸν, ὃς ὁρμώμενος ἐκ Ναυπάκτου φυλακὴν εἶχε μήτ' ἐκπλεῖν ἐκ Κορίνθου καὶ τοῦ Κρισαίου κόλπου μηδένα μήτ' ἐσπλεῖν, ἑτέρας δὲ ἓξ ἐπὶ Καρίας καὶ Λυκίας, καὶ Μελήσανδρον στρατηγὸν, ὅπως ταῦτά τε ἀργυρολογῶσι, καὶ τὸ λῃστικὸν τῶν Πελοποννησίων μὴ ἐῶσιν αὐτόθεν ὁρμώμενον βλάπτειν τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ Φοινίκης καὶ τῆς ἐκεῖθεν ἠπείρου. ἀναβὰς δὲ στρατιᾷ Ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμ-

λοποννησιακῷ δηλονότι. 10. Ἀργυρολογῶσιν] ἀργύριον ἀπαιτῶσιν. 12. Ἀπὸ Φασήλιδος] Φάσηλις πόλις Παμφυλίας. μέμνηται ταύτης καὶ Διονύσιος ὁ

1. Βαρβάρων] Chaonas barbaros fuisse ex h. l. et cap. LXXX. infr. hoc lib. item e Scymno Chio ostendit Palmer. II. Græc. Ant. 2. pag. 231. Duk.

δὲ C.e.

πρὸς ἄργος g.

2. τὴν μὲν χώραν G.

3. προσβάλλοντες c.

8. κρισσαίου L.O.

Κρισαίου] Geminant quidem σ Isocrates Plataic. 443. 30. Strabonis exemplaria, et Homerus Hymn. Apoll. quinquies, semel cum Var. Lect. Callimachus Hymn. in Del. Pausanias, Suidas, Plinius, Antoninus Liberalis. Contra Herodotus VIII. 32. Sophocles Elect. Epit. Strabonis, Pindar. Pyth. V. 49. et Schol. Lycophron. in Cod. Seld. Nonnus Dionys. XIII. 358. et Hesych. Etymol. Κρίσα. Vid. Schol. Sophocl. Elect. p. 89. In Pindaro Codex Cant. Βαττιδᾶν, et δωδεκαδρόμων, recte. Κρίσσα Ptolemæus, at MS. Coislin. Κρίσα. Wass.

9. πλεῖν Q.

10. μελίσανδρον H.N.i. μελλήσανδρον K.

ὅπως τε ταῦτα ἀργυρολογήσωσι τὰ χωρία Lex. Seg. p. 159, 31.

11. τὸ λῃστρικὸν i.

12. Βλάπτειν τὸν πλοῦν] Plautus Mil. "Jura te non *nociturum* "esse *neminem*." Pro νικηθεὶς fortasse reponendum ἡσσηθείς. Wass. Nomen Ducis, quem memorat Thucydides, Μελήσανδρος an Μελίσανδρος fuerit, non facile dictu est. Μελίσανδρον Milesium, Scriptorem Homero vetustiorem, memorat Ælian. XI. V. H. 2. Duk.

τῶν ἀπὸ] τὴν ἀπὸ B.

μάχων ἐς τὴν Λυκίαν ὁ Μελήσανδρος ἀποθνήσκει, καὶ τῆς στρατιᾶς μέρος τι διέφθειρε, νικηθεὶς μάχῃ.

70. Secundum annum belli conficit narratio de Potidææ expugnatione, quæ pactione interposita fiebat. Incolis concessum, ut cum uno pallio, et viatico de opibus suis desumpto, in Chalcidicem migrarent.

* Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται, ἐπειδὴ οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν Ἀττικὴν ἐσβολαὶ Πελοποννησίων οὐδὲν μᾶλλον ἀπανίστασαν τοὺς Ἀθηναίους, ὅ τε σῖτος ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας, καί τινες καὶ ἀλλήλων ἐγέγευντο, οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου καὶ Ἑστιοδώρῳ τῷ Ἀριστοκλείδου καὶ Φανομάχῳ τῷ Καλλιμάχου. οἱ δὲ προσεδέξαντο, ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς τὴν πολιορκίαν. ἐπὶ τοῖσδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς

περιηγητής (855). 5. Οὐδὲν μᾶλλον] οὐδὲν παρὰ Ἀττικοῖς ἀντὶ τοῦ οὔ. 12. Οἱ δὲ] οἱ στρατηγοί.

2. ἡττηθεὶς G. Legendum ἡττηθείς: illud ex interprete est. Herodotus passim πολέμῳ ἐσσῶντο. Conjungit alibi Noster νικηθέντες et ἡσσᾶσθαι. WASS.

4. ἠδύναντο A.B.G.H.g.

Ἀλλ' αἵ τε] Hæc eodem ordine verborum leguntur in Corintho, quo in Ar. C. et Dan. et mox τοὺς Ἀθηναίους ἀπανίστασαν. Idem ex hoc loco scribit, Atticos οὐδὲν μᾶλλον pro οὐ dicere: de quo vid. Stephan. Append. ad Script. de Dialect. pag. 25. DUK.

5. ἐσβολαὶ ἐς τὴν ἀττικὴν C.F. L.H.O.P.

6. ἐπιλελοίπει c.e.

7. τε] τὰ d. om. f.

ἐπεγεγένητο L.O.

ἤδη om. f.

8. καί που τινες ἀλλήλων Suidas.

ἐγέγευντο A.B.C.F.H.I.L.O.P. g. ἐγεγεύατο N.e.h. ἐγεύσαντο Suidas. ἐγεύωντο vulgo.

14. δὲ C.e.

χίλια L.O.

Διισχίλια τάλαντα] Sed Diodor. Sic. XII. 310. scribit, ante discessum Agnonis a Potidæa, de quo est supr. cap. LVIII. plus mille talenta in eam obsidionem expensa fuisse. Deditio autem demum aliquot post mensibus facta est, quibus sumtum augeri necesse fuit. DUK.

ἐς πολιορκίαν A.L. εἰς πολιορκίαν B.F.K.c.f.g.h.i.

15. τοῖς δε] τοῖς c.

ξυν g.

ἐλθεῖν e.

καὶ παῖδας καὶ γυναῖκας καὶ τοὺς ἐπικούρους ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας δὲ ξὺν δυοῖν, καὶ ἀργύριόν τι ῥητὸν ἔχοντας ἐφόδιον. καὶ οἱ μὲν ὑπέσπονδοι ἐξῆλθον ἐπὶ τὴν Χαλκιδικήν, καὶ ἕκαστος ᾗ ἐδύνατο· Ἀθηναῖοι δὲ τούς τε στρατηγοὺς ἐπῃτιάσαντο ὅτι ἄνευ αὐτῶν ξυνέβησαν (ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο), καὶ ὕστερον ἐποίκους ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν καὶ κατῴκισαν. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο· καὶ τὸ δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

71. Τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ καθίσας τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν· οἱ δὲ Πλαταιῆς εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν ἔλεγον τοιάδε. "Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε, οὐδ' ἄξια οὔτε ὑμῶν οὔτε πατέρων ὧν ἐστε, ἐς γῆν τὴν Πλαταιῶν στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου, Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων

71. Tertio anno Lacedæmonii non in Atticam, sed adversus Platæas exercitum ducunt, vastandi causa. Platænses legatos obviam mittunt, qui Archidamum admoneant majorum suorum in liberanda

4. Καὶ ἕκαστος ᾗ ἐδύνατο] τὰς τριάκοντα δύο πολεις. 6. Ἐνόμιζον γὰρ ἂν] ἀνδραποδίσαι γὰρ τοὺς ἄνδρας ἐβούλοντο.

1. καὶ γυναῖκας καὶ παῖδας L. O.
2. τε C.e.
ξυνδεῖν f.
τι om. L.O.
3. ἐπὶ τὴν A.B.F.H.K.L.N.c. f.g.h. vulgo ἔς τε τὴν.
4. ᾗ ἕκαστος C.Q.e.
ἐδύναντο L.O.P.
7. ἔπεμψαν ἑαυτῶν C.L.O.P.e. ἑαυτῶν ἐξέπεμψαν G.
8. κατῴκησαν Q.
10. συνέγραψεν g. om. f.
11. Τοῦ δ' ἐπιγιγνομένου θέρους] Hæc ad finem usque cap. LXXIV. ob perspicuitatem laudat Dionys. Halic. p. 153. qui et θέρους legit. WASS.
ἐπιγενομένου G.
θέρους] ἔτους G.K.N.c.f.
12. τὴν om. P.
14. βασιλεὺς λακεδαιμονίων B. g.h.
16. παρ' αὐτῶν C. παρ' αὐτὸν e.
17. οὐδὲ] οὔτε Dionys. p. 901.
19. γὰρ] δὲ L.

a Medis patria meritorum, et quid sibi ideo a Pausania promissum fuerit.

" μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίν-
" δυνον τῆς μάχης ἢ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ
" Πλαταιῶν ἀγορᾷ Διὶ ἐλευθερίῳ ἱερὰ καὶ ξυγκαλέσας
" πάντας τοὺς ξυμμάχους ἀπεδίδου Πλαταιεῦσι γῆν
" καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν, 5
" στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς μηδ'
" ἐπὶ δουλείᾳ, εἰ δὲ μή, ἀμύνειν τοὺς παρόντας ξυμμά-
" χους κατὰ δύναμιν. τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτε-
" ροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκείνοις
" τοῖς κινδύνοις γενομένης, ὑμεῖς δὲ ταναντία δρᾶτε· 10
" μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων ἐπὶ δουλείᾳ τῇ
" ἡμετέρᾳ ἥκετε. μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε
" γενομένους ποιούμενοι, καὶ τοὺς ὑμετέρους πατρῴους
" καὶ ἡμετέρους ἐγχωρίους, λέγομεν ὑμῖν τὴν γῆν τὴν
" Πλαταιίδα μὴ ἀδικεῖν, μηδὲ παραβαίνειν τοὺς ὅρκους, 15
" ἐᾶν δὲ οἰκεῖν αὐτονόμους, καθάπερ Παυσανίας ἐδικαί-
" ωσεν." * τοσαῦτα εἰπόντων Πλαταιῶν Ἀρχίδαμος ὑπο-
72. Quibus Archidamus respondit, promissis se staturum, si et ipei Pla-
λαβὼν εἶπε " Δίκαια λέγετε, ὦ ἄνδρες Πλαταιῆς, ἢν
" ποιῆτε ὁμοῖα τοῖς λόγοις. καθάπερ γὰρ Παυσανίας
" ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖσθε, καὶ τοὺς ἄλ- 20

5. Αὐτονόμους] τοὺς Πλαταιεῖς δηλονότι. 17. Ὑπολαβὼν] ἀποκριθείς, ἢ ὑπονοήσας, ἢ ἐνθυμηθείς. 20. Αὐτοί τε αὐτονομεῖσθε] τοῖς οἰκείοις νόμοις

2. τῇ om. L.

3. *Ιερὰ διὶ ἐλευθερίῳ* C.O.P.e. *ξυγκαλέσας*] ξυμμάχους B. ξυγκ. π. τ. ξ. om. h.

6. ποτὲ om. G.K.c.f.

8. *οἱ πατέρες οἱ* G.

9. *Ἀρετῆς—προθυμίας*] Herodoti verba de Platæensibus respexit. Vid. VIII. 1. Wass.

10. *τἀναντία ἐκείνοις δρᾶτε* Dionysius.

12. *Τοὺς ὁρκίους*] Formula juramenti, quo se mutuo obstrinxerunt Fœderati, exstat apud Lycurgum Orat. adv. Leocratem. pag. 149. Hanov. Confer Plutarchum in Miltiade. Wass.

14. *ὑμῖν γῆν* C.L.O.e. cum Dionysio.

17. *εἰπόντων τῶν πλ.* C.L.O.P.e. cum Dionysio.

18. *ἄνδρες* om. K.f.i.

19. *γὰρ* om. H.e.

20. *τοῖς ἄλλοις* A.G.c.

" λους ξυνελευθερῶτε, ὅσοι μετασχόντες τῶν τότε κιν-
" δύνων ὑμῖν τε ξυνώμοσαν καὶ εἰσὶ νῦν ὑπ' Ἀθηναίοις,
" παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν
" ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως. ἧς μάλιστα μὲν
" μετασχόντες καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ
" μή, ἅπερ καὶ τὸ πρότερον ἤδη προὐκαλεσάμεθα, ἡσυ-
" χίαν ἄγετε, νεμόμενοι τὰ ὑμέτερα αὐτῶν, καὶ ἕστε μηδὲ
" μεθ' ἑτέρων, δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέ-
" μῳ δὲ μηδ' ἑτέρους. καὶ τάδε ἡμῖν ἀρκέσει." ὁ μὲν Ἀρ-
χίδαμος τοσαῦτα εἶπεν· οἱ δὲ Πλαταιῶν πρέσβεις ἀκού-
σαντες ταῦτα ἐσῆλθον ἐς τὴν πόλιν, καὶ τῷ πλήθει τὰ
ῥηθέντα κοινώσαντες ἀπεκρίναντο αὐτῷ ὅτι ἀδύνατα σφί-
σιν εἴη ποιεῖν ἃ προκαλεῖται ἄνευ Ἀθηναίων· παῖδες γὰρ
σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἶησαν· δεδίεναι δὲ καὶ
περὶ τῇ πάσῃ πόλει, μὴ ἐκείνων ἀποχωρησάντων Ἀθηναῖοι
ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ Θηβαῖοι, ὡς ἔνορκοι
ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι, αὖθις σφῶν τὴν
πόλιν πειράσωσι καταλαβεῖν. ὁ δὲ θαρσύνων αὐτοὺς πρὸς
ταῦτα ἔφη " Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας ἡμῖν πα-
" ράδοτε τοῖς Λακεδαιμονίοις, καὶ γῆς ὅρους ἀποδείξατε,
" καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο εἴ τι δυνα-

taenses aut ceteros Græcos una essent liberaturi, aut certe neutri parti auxilio futuri. Illi excusare necessitatem cum Atheniensibus consilia communicandi, in quorum potestate ipsorum liberi et uxores essent; tum a Thebanis metuere. Itaque Archidamus ab iis postulat, ut urbem usque ad belli finem Lacedæmoniis servandam tradant.

ἀκωλύτως χρῆσθε. 13. Ἄνευ Ἀθηναίων] τῆς γνώμης δηλανότι. 14. Παρ' ἐκείνοις] τοῖς Ἀθηναίοις. 16. Οὐκ ἐπιτρέπωσιν] οὐ δώσωσιν ἄδειαν τοῖς Πλαταιεῦσιν ἐμμένειν τοῖς ὅρκασιν. 21. Εἴτι δυνατὸν] λείπει τὸ ἐστί.

1. μεταστάντες P.
τοτε B.
2. νῦν om. C.c.e.
3. δὲ C.e.
4. καὶ τῆς L O.P.
5. καὶ οἱ αὐτοὶ g.
6. καὶ πρότερον C.L.O.P.e.
9. δὲ post πόλεμῳ om. F.H.
ταῦτα d.i.
ἀρκέσει A.B.C.I.O.P.b.e.g.cum Dionysio p. 903. vulgo ἀρέσκει.
13. προκαλεῖτε K.
γὰρ om. f.
15. πάσῃ τῇ A. cum Dionysio.
16. θηβαῖοις f.
18. πειράσουσι A.B.H.Q h.
19. ὑμῖν g.
μὲν] ὑμῶν L.O.P.
ἡμῖν παράδοτε B.C.H.K.O.c.d. e.f.g.h.i. vulgo παράδοτε ἡμῖν.
21. δυνατόν ἐστιν ἐς H.

" τὸν ἐς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι
" βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ. ἐπειδὰν δὲ παρέλθῃ,
" ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλάβωμεν. μέχρι δὲ τοῦδε
" ἔξομεν παρακαταθήκην, ἐργαζόμενοι, καὶ φορὰν φέ-
" ροντες ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι." * οἱ δ' ἀκού-

73. Copia autem facta, per inducias cum Atheniensibus communicandi, quæ ab Archidamo proposita essent, mox legati renuntiant, Athenienses validissimum auxilium promittere;

σαντες ἐσῆλθον αὖθις ἐς τὴν πόλιν, καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους ἔλεξαν ὅτι βούλονται, ἃ προκαλεῖται, Ἀθηναίοις κοινῶσαι πρῶτον, καὶ ἢν πείθωσιν αὐτοὺς, ποιεῖν ταῦτα· μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον, καὶ τὴν γῆν μὴ δῃοῦν. ὁ δὲ ἡμέρας τε ἐσπείσατο, ἐν αἷς εἰκὸς ἦν κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμνεν. ἐλθόντες δὲ οἱ Πλαταιῆς πρέσβεις ὡς τοὺς Ἀθηναίους, καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· " Οὔτ' ἐν τῷ πρὸ τοῦ χρόνῳ,
" ὦ ἄνδρες Πλαταιῆς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα,
" Ἀθηναῖοί φασιν ἐν οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμέν-
" ους, οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν.

3. Μέχρι δὲ τοῦδε] τοῦ καιροῦ τοῦ πολέμου. 4. Ἐργαζόμενοι] τὴν γῆν δηλονότι. 5. Ἱκανὴ ἔσεσθαι] εἰς τροφὴν δηλονότι. 6. Καὶ βουλευσάμενοι] πρεσβεύσασθαι πρὸς τοὺς Ἀθηναίους δηλονότι. 11. Κομισθῆναι] ἀναστρέψαι. Οὐκ ἔτεμνε] σημείωσαι ὅτι τὸ τεμεῖν διαφόρως καὶ ἐπὶ τῆς γῆς, ὅστερ τὸ δῃῶσαι, τέθεικεν. 13. Ἀπαγγέλλοντες] οἱ

1. ἐλεῖν L O.P.
παραχωρήσατε c.
ἕτη L.O.N.e.
3. ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλάβωμεν μέχρι A.B.C.F.H.K.L. M.N.O.P.d.g. cum Dionysio p. 904. ἀποδώσομεν ὑμῖν μέχρι c. vulgo ἀποδώσομεν μέχρι.
δὲ] μὲν d.i.
4. Παρακαταθήκην] Agnoscit D. Halic. et Phrynichus, qui, Hippias παραθήκην, inquit. Nostrum sequuntur Demosth. Æsch. Isocr. Aristot. Polyb. Josephus 1144. Pausan. Pollux. Mœris Atticista. et ita locum hunc citat T. Magister. παραθήκη ab Herodoto est: usi Phocylides, Plutarchus, et recentiores. Wass.
5. ἱκανὴ ὑμῖν μέλλοι f.
6. αὖθις] πάλιν Q.
7. προκαλοῦνται P. προκαλεῖτε K.
8. κοινωνῆσαι P.
9. δὴ G.
τοῦδε L.O.
11. ἕτεμε f.
12. δὲ om. d.
πλαταιῶν f.
13. ἀγγέλλοντες C.I.L.O.f.g. ἀναγγέλλοντες P. ἐπαγγέλλοντες d.
14. τάδε L.O.P.
16. ὑμᾶς A.B.C.N.d.e.f.g.h.i.

" ἐπισκήπτουσί τε ὑμῖν, πρὸς τῶν ὅρκων οὓς οἱ πατέρες
" ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν."
* τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων οἱ Πλαταιῆς 74.
ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι quo permoti decernunt, Atheniensium societatem non esse deserendam. Archidami deorum indigetum imprecatio.
καὶ γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας, καὶ ἄλλο πάσχοντας ὅ τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ
τοῦ τείχους ἀποκρίνασθαι ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστὶν
ἃ Λακεδαιμόνιοι προκαλοῦνται. ὡς δὲ ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων
τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη, λέγων
ὧδε " Θεοὶ, ὅσοι γῆν τὴν Πλαταιίδα ἔχετε, καὶ ἥρωες,
" ξυνίστορες ἔστε ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως, ἐκλιπόντων
" τῶνδε πρότερον τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν,
" ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν,
" καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλ-
" λησιν, οὔτε νῦν, ἤν τι ποιῶμεν, ἀδικήσομεν· προκαλε-
" σάμενοι γὰρ πολλὰ καὶ εἰκότα οὐ τυγχάνομεν. ξυγ-
" γνώμονες δὲ ἔστε τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς

Πλαταιεῖς δηλονότι. 1. Ἐπισκήπτουσι] παρακελεύονται. 8. Προκαλοῦνται] ἐπιστῶνται 15. Καὶ παρέσχετε] οἱ θεοὶ δηλονότι. Ἐναγωνί-

1. πρὸ τῶν C. πρώτων g.
4. ἀθηναίους A.B.h.
ἀντέχεσθαι B.H.N.g.h.
5. δέοι Dionysius.
6. ξυμβαίνοι g.h. ξυμβαίη d.i.
δὲ i.
ὑπὸ B.g.h. ἐπὶ γρ. g.
7. τοῦ om. H.
ἀδύνατόν O.
10. ὁ om. A.B.H.N.g.h.
11. Θεοὶ ὅσοι] Confer Euripid. Phœniss. v. 494. Wass. Plura loca scriptorum veterum, in quibus urbes, vel regiones ἔχειν dicuntur Dii, in quorum tutela esse sunt, leg. apud Spanhem. ad Callim. hymn. in Pallad. v. 53. Duk.
τὴν γῆν Q. γῆν, omisso articulo, g.h.
12. συνίστορες C.e.
ἐκλειπόντων d.
13. τῶνδε] δὲ τῶνδε H. I. L.O.Q.e.g. cum Thoma Magist. v. συνώμοτον: δὲ τῶν C. δὲ B.h.
τὴν γῆν N.Q.
15. παρέχετε L.O.
18. τῆς] τοῖς f.

" ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς
" ἐπιφέρουσι νομίμως."

75—78. Quæ Peloponnesii ad- * Τοσαῦτα ἐπιθειάσας καθίστη ἐς πόλεμον τὸν στρατὸν, καὶ πρῶτον μὲν περιεσταύρωσεν αὐτοὺς τοῖς δένδρε-

σασθαι] ἐν αὐτῇ τὸν ἀγῶνα τελέσαι. 1. Τῆς δὲ τιμωρίας] τῆς ἐκδικήσεως. 3. Ἐπιθειάσας] κατευξάμενος. 4. Περιεσταύρωσεν] ὁ Ἀρχίδαμος δηλονότι. τὰ ὀρθὰ ξύλα ἐκάλουν σταυρούς. Τοῖς δένδρεσι] σημείωσαι

1. τῆς] τοῖς P.f.

3. Ἐπιθειάσας] Suidas h. v. τινὰ ἐπιθειάσας pro τοσαῦτα, hinc emendandus. Explicat τὸ θεῖον εἰσδεδεγμένος, θεοφορούμενος. Cave credas. Supra, ἐς ἐπιμαρτυρίαν θεῶν κατέστη, *obtestatus:* et sic vertendum, hic et infra. Obiter emenda Hesych. ἐπιθεάψει. leg. ἐπιθεάζει. Wass. Suidas quidem non male ita explicat ἐπιθειάσας: nam Pollux I. 16. inter verba, quæ de vatibus dicuntur, ut κατασχεθῆναι, καταληφθῆναι, πληρωθῆναι θεοῦ, et alia, etiam ponit ἐπιθειάσαι. Sed perperam ita interpretatur hunc locum, quod etiam Kusterus observavit. In Cod. Cass. hic est scholion κατευξάμενος. Duk. Etymolog. p. 449, 50. θειαζόντων μαινομένων ἢ θεολήπτων γινομένων· καὶ θειάσαντες· καὶ ἐπιθειάσας τὸ ἐπιθαυμάσας. ὁ δὲ Μιλήσιος παρὰ τῷ συγγραφεῖ θεοὺς ἐπικαλεσάμενος καὶ κατευξάμενος· ἔστι γὰρ ἀπὸ τοῦ ἐπιθεάζειν. θειάσας τὸ θ. εἰσδ. &c. Utrumque θειάσαντες et ἐπιθειάσας apud Thucydidem exstat, illud VIII. 1: hoc II. 75. quod posterius recte quidem animadvertit Sylburgius; sed idem valde aberrat, cum scribit " verum loquitur ibi non Mile- " sius sed Archidamus." Immo vero non Archidamus: nam is Etymologi Milesius est Orus Milesius, grammaticus non ignobilis, qui in Thucydidem, ut opinor, scripsit commentarios, a scholiasta quoque nonnusquam laudatus: ipse Etymologus p. 816, 39: ἡ ὀρθογραφία Ὥρου τοῦ Μιλησίου, et p. 315, 10. Μιλήσιος ὁ Ὠρίων. Ὧρος enim et Ὠρίων sæpe commutantur: Ὧρος ὁ Μενδήσιος et Ὠρίων, utroque modo Galenus; et in historia ecclesiastica plures inter Ægyptios Ὧροι, qui iidem apud alios Ὠρίωνες. Verum hic etiam grammaticorum mihi videor argutias subodorari. Disjunxerunt θεάζειν et θειάζειν, illud interpretati deos invocare vel obtestari, hoc deorum numine correptum agitari. Hesychius aperte Ἐπιθεάζει, θεοὺς ἐπικαλεῖται: at Ἐπιθειάσας, τὸ θεῖον δεξάμενος, θεοφορηθείς. Eo referendum arbitror in Etymol. ἔστι γὰρ ἀπὸ τοῦ ἐπιθεάζειν: ideoque parum abest quin pro certo putem voluisse Orum Milesium in Thucydide scribi non ἐπιθειάσας sed ἐπιθεάσας. Hemsterhus.

ἐς τὸν πόλεμον g.i.

4. περιεσταύρωσαν e.

Περιεσταύρωσεν—ἐξιέναι] Corinthus. Voc. δένδρεσιν agnoscit etiam Thom. Magister. Wass. Corinthus etiam καὶ πρῶτα habet. Περιεσταύρωσαν sive in exemplari suo invenit, sive de se posuit, sine detrimento sententiæ scribi potest. De σταυρώσει

σιν ἀ ἔκοψαν, τοῦ μηδένα ἔτι ἐξίεναι, ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν στρατεύματος τοσούτου ἐργαζομένου. ξύλα μὲν οὖν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα· ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ καὶ λίθους καὶ γῆν, καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον. ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διῃρημένοι κατ' ἀναπαύλας, ὥστε τοὺς μὲν φέρειν, τοὺς δὲ ὕπνου ἔτε καὶ σῖτου αἱρεῖσθαι· Λακεδαιμονίων τε οἱ ξεναγοὶ

versus Plateas conati sint, et quid Platæenses contra conati.

τὸ δένδρος εὐθεῖαν. 1. Ἔχουν] συνεκόμιζαν. 2. Πρὸς τὴν πόλιν] οὐ διὰ παντὸς τοῦ τείχους, ἀλλ' ἐν μέρει τινί. Αἵρεσιν] πόρθησιν. 5. Φορμηδὸν] ψιαθηδόν. φορμὸς γὰρ ψίαθος, ὅστις ἐναλλὰξ ἔχων τὸ πλέγμα ἐστί. 7. Καὶ εἴτι ἄλλο ἀνύτειν μέλλοι] τελεσιουργεῖν πρὸς ὕψος. οἱ Ἀττικοὶ τὸ ἀνύειν ἀνύτειν φασί. 8. Ξυνεχῶς] ἀδιαστάτως. 10. Καὶ σῖτου] τὸ σῖτον οὐδετέρως. Αἱρεῖσθαι] λαμβάνειν. Οἱ ξεναγοὶ] οἱ τῶν μισθοφόρων ἄρ-

in obsidionibus urbium vid. Casaubon. ad Polyb. lib. I. p. 179. Et de constructione aggerum e ligno, lapide, et terra Lips. II. Poliorcet. 3. Quod Corinthus et Scholiastes jubent adnotari τὸ δένδρος casu recto, de eo agit Stephanus Animadv. in Libr. de Dial. p. 25. qui nominativum τὸ δένδρος inusitatum, obliquos autem in usu esse dicit. Duk.

1. ἔκοψεν d.i.

ἐπεξιέναι L.O. et omisso ἔτι C.e.

χῶμά τι L.O.P. χώματα C.e.

2. Αὐτῶν] Τῶν Πλαταιέων, quum præcedat πόλιν. Thucyd. I. 136. φεύγει ἐς Κέρκυραν ὧν αὐτῶν εὐεργέτης. Et sic alibi. Vid. ad I. 3. Duk.

3. Ξύλα—χῶμα] Habet Suidas in φορμηδόν. Wass.

5. Φορμηδὸν] Vid. Scholiast. Hesych. et Herodot. VIII. 71. Idem. Add. Casaubon. ad Æneæ Tactic. cap. XXXII. et Schol. Thucyd. IV. 48. Duk.

τειχῶν f.

6. Ἐφόρουν—ἐπιβαλλόμενον] Suidas in ἐφόρουν, ubi est τὴν ὕλην. De phrasi ὕπνου καὶ σῖτου αἱρεῖσθαι Leopard. VII. Emendation. 14. Duk.

7. ἀνύττειν C.b.g. ἀνύσειν Suidas.

10. σῖτόν τε καὶ ὕπνον e. ὕπνον καὶ σῖτον f.

ξεναγωγοὶ O.

Ξεναγοὶ] MS. Biblioth. Coislin. cujus Catalogum summo Viro B. Montefalconio debemus, p. 237. explicat ξεναγῶν, ξενοδοχῶν. Verum, inquit, apud Thucyd. οἱ τῶν μισθοφόρων ἄρχοντες &c. Schol. exscribens. Vid. Hesych. Pollucis MSS. ξεναγωγὸς ex interprete habent non uno loco. Xenoph. p. 503. τοὺς ξεναγούς, et p. 518. ξεναγεῖν τοῦ ξενικοῦ. Suidas in ξεναγῶν, οἵ τε ξεναγοὶ ἐκ πάσης πόλεως ξυνεφεστῶτες ἡ. ἐ. τ. ἐ. Wass.

ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον. οἱ δὲ Πλαταιῆς ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες, καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει ᾗ προσεχοῦτο, ἐσῳκοδόμουν ἐς αὐτὸ πλίνθους, ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. ξύνδεσμος δ' ἦν αὐτοῖς τὰ ξύλα, τοῦ μὴ ὑψηλὸν γιγνόμενον ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα· καὶ προκαλύμματα εἶχε δέρρεις καὶ διφθέρας, ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις ὀϊστοῖς βάλλεσθαι ἐν ἀσφαλείᾳ τε εἶναι. ἤρετο δὲ τὸ ὕψος τοῦ τείχους μέγα, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀνταΐρει αὐτῷ. καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσι· διελόντες τοῦ τείχους ᾗ προσέπιπτε τὸ χῶμα, ἐσεφόρουν τὴν γῆν. * οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι, ἐν ταρσοῖς καλάμου πηλὸν

76.

χοντες· ξένους γὰρ ἐκάλουν τοὺς μισθοφόρους. 10. Οὐ σχολαίτερον] οὐ βραδύτερον. Ἀντανῄει] ἀνήρχετο. 13. Ἐν ταρσοῖς] πλέγμασιν ἀπὸ κα-

Add. Herald. I. Adversar. 5. Duk.

1. τῆς ἑκάστης K. καὶ ἑκάστης C.L.O.P.d.e.
ἐφεστῶτες C.I.L.O.P.e.
3. συνθέντες H.i.
αὐτῶν P.
ᾗ c.
προσεχοῦντο K.d.i. προσεχεῖτο c.
4. ἐφῳκοδόμουν K.d.
5. τοῦ om. P.
6. γενόμενον g.
7. προκάλυμμα I.
Προκαλύμματα] Confer Josephum B. Jud. III. 7. 10. ubi pro γυμνουμένους Codex Busb. γεγυμνωμένους, et pro ὑψοῦν, ἐνηλοῦν. Paulo supra etiam legendum πλῆθος ἀθρόον ὀϊστῶν cum Busb. Rhed. Ruf. Wass. Huc pertinent, quæ congesserunt Lips. V. Poliorcet. 9. et Freinshem. ad Curt. IV. 2. Thucydidem prope ad verbum descripsit Arrian. II. de Exped. Alex. 18.

προκαλύμματα δὲ δέρρεις καὶ διφθέραι αὐτοῖς ἦσαν, &c. ubi Vir Clariss. e MSS. plerisque videtur præferre αὐταῖς, nempe μηχαναῖς, et αὐτοῖς ad longinquius retrocedere dicit. Hoc non bene capio: nam ita dicit Arrianus, πύργους ἑπτὰν τοῦ χώματος—ἐπέστησαν δύο, καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις. Προκαλύμματα δὲ cet. in quibus αὐτοῖς recte referri potest ad πύργοις, quod propius est, quam μηχαναῖς. Duk.
δέρεις K.
8. τὰ om. L.P.
9. ἀσφαλεῖ L.
10. σχολαιότερον L.P.
11. τι] τοι e.
12. ᾗ] οὗ L.O.P.
ἐξεφόρουν d.
Ἐσεφόρουν] Confer Josephum B. Jud. V. 6. Wass.
13. Ἐν ταρσοῖς—εἰς τὸ διῃρημένον τοῦ τείχους] Suidas in ἐπείλλοντες. ultimas voces de suo addidit:

ἐνείλλοντες ἐσέβαλλον ἐς τὸ διηρημένον, ὅπως μὴ διαχεόμενον ὥσπερ ἡ γῆ φορεῖτο. οἱ δὲ ταύτῃ ἀποκληόμενοι τοῦτο μὲν ἐπέσχον, ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες, καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα, ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντας ἧσσον ἀνύτειν, ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος καὶ ἰζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. δεδιότες δὲ μὴ οὐδ' οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προσεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς τὴν πόλιν προσῳκοδόμουν, ὅπως, εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι, καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν, καὶ προχωροῦντας εἴσω δι-

λάμου πεποιημένους. 1. Ἐνείλλοντες] ἐμπλέκοντες. 3. Τοῦτο μὲν] κεκρυμμένον ὄργμα. 4. Ξυντεκμηράμενοι] διὰ τεκμηρίου τινὸς ἐρχόμενοι ὑπὸ τὸ χωμάτιον. 6. Ὑπαγομένου] ἐνδιδόντος. 9. Οἰκοδόμημα] τὸ ξύλινον. 14. Πρὸς αὐτὸ χοῦν] ἀπὸ χυτῆς γῆς τεῖχος ποιεῖν.

MSS. enim non agnoscunt. Phavorinus Suidam exscribit. Rursus Suidas in εἴλλειν pro εἰσέβαλλον, quod priore loco est, habet ἐπέβαλον. Sed ibi forte reponendum est ἐσέβαλον, quod idem in ταρσὸς agnoscit: ubi male ἐνείλαντες et τείχους, ut supra. Vid. Etymologum in ταφροί. Wass.

1. ἐσέβαλλον C.I.K.L.O.e. εἰσέβαλλον Suidas: vulgo ἐσέβαλον.
διηρημένον τοῦ τείχους Suidas: διηρημένον τοῦ χώματος f.
2. ἀποκληιόμενοι A.B.C. ἀποκληόμενοι h. vulgo ἀποκλειόμενοι.
3. Τοῦτο μὲν ἐπέσχον] Fortasse τούτου μὲν ἐπέσχον scribendum rectius esset. Steph.
ἔπασχον A.B.e.
4. συντεκμηράμενοι B.C.d.e.g.
τὸ om. L.O.P.
ὑφεῖλον L.
περὶ g.
6. ἐπιβάλλοντες K.
ἀνύττειν C.G.H.N.g.
αὐτοῖς] εὐθὺς c.
9. τόδε] τοιόνδε f.
10. τὸ κατὰ τὸ σῶμα ἐργαζόμενοι O.
Ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ] Herodot. IV. 71. ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ. Wass.
11. αὐτοῦ om. K. post ἀρξάμενοι ponit e.
καὶ ἀπὸ e.
12. μηνοειδὲς ἐς τὴν πόλιν A.B. C.F.H.K.L.O.P.d.e.g.h.i. vulgo ἐς τὴν πόλιν μηνοειδές.
ἐσῳκοδόμουν C.L.O.e.
13. ἀνέχοι g. ἂν ἔχοι A.B.
14. αὖθις] πάλιν N.
προσχωροῦντας C.

πλάσιόν τε πόνον ἔχειν καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. Ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον τῇ πόλει οἱ Πελοποννήσιοι, μίαν μὲν ἣ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα ἐπὶ μέγα τε κατέσεισε καὶ τοὺς Πλαταιέας ἐφόβησεν, ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες ἀνέκλων οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἀλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους, ἀνελκύσαντες ἐγκαρσίας, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανή, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι καὶ οὐ διὰ χειρὸς ἔχοντες· ἡ δὲ ῥύμη ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.

77. Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἵ τε μηχαναὶ

1. Ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι] ἀντὶ τοῦ ἑκατέρωθεν βάλλεσθαι. Μᾶλλον γίγνεσθαι] τοὺς ἐναντίους δηλονότι. 3. Μίαν μὲν] μηχανήν. Τοῦ μεγάλου οἰκοδομήματος] τῶν Πλαταιέων δηλονότι. 5. Κατέσεισε] τὸ τεῖχος δηλονότι. Ἄλλας δὲ] μηχανὰς δηλονότι. 6. Τοῦ τείχους] προσέφερον. Ἃς βρόχους τε] σημείωσαι τὴν σύνταξιν, ἃς βρόχοι περιβάλλοντες. 9. Καὶ ὑπερτεινουσῶν] ὑψουμένων. 11. Ἡ μηχανὴ] τῶν Πελοποννησίων δηλονότι. 12. Ἀπεκαύλιζε] ἀπέτεμε τὸ ἄκρον. 13. Τὸ πρόεχον τῆς ἐμβολῆς] τὸ προβε-

3. οἱ πελοποννήσιοι τῇ πόλει C.L. O.P.e.
μία μὲν ἡ c.
5. πλαταιέας C. πλαταιῆς A.B. K.b.c.h.
6. Βρόχους τε περιβάλλοντες] Confer Josephum B. Jud. et Philonem de telorum constructione p. 83. Wass. Hæc erat usitata apud veteres ratio eludendi ictus arietis. Vid. Lips. V. Poliorcet. 8. Ubi etiam de trabibus et saxis in eum dejiciendis plura legi possunt: nec non apud Casaubon. ad Æneæ Poliorcet. cap. XXXII. De structuris lunatis Lips. ibid. Duk.
παραβάλλοντες P.
7. μεγάλους K.
ἀρτύσαντες e.
10. ἐγκαρσίας A.B.C.F.G.H.I. L.N.O.P.Q.g.
Ἐγκαρσίους] Marg. Cl. Al. ἐγκαρσίας. utroque modo Auctores; sed hoc melius. Noster VII. 99. ἐγκάρσιον τεῖχος ἄγοντες. Qua forma Latini *transversas* etiam *trabes* dicunt. Vid. Sallust. Jug. IX. neque aliter πλάγιον et πλαγιεύμενον Hippoc. V. pag. 167. Wass.
ποι K.L.O.P.
11. χαλεραῖς K.
12. ἔχοντες om. L.
ῥύμη L.

οὐδὲν ὠφέλουν καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν, πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο. πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι, εἰ δύναιντο πνεύματος γενομένου ἐπιφλέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην· πᾶσαν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη. φοροῦντες δὲ ὕλης φακέλλους παρέβαλλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως, ταχὺ δὲ πλήρους

βλημένον. 5. Πᾶσαν γὰρ δὴ ἰδέαν] ἐπινοίας δηλονότι. 7. Φακέλους] φορτία. Φάκελος δεσμὸς, φορτίον, καὶ τὸ ταῖς κεφαλαῖς φορούμενον, ἤτοι τὸ φασκόλιον. 9. Ταχὺ δὲ πλήρους γενομένου] τοῦ διαστήματος.

1. τὸ om. e.
3. τὴν πόλιν ἑλεῖν A.
παρατείχισιν B.h.
4. δύναιτο C.e.
5. γιγνομένου C.I.L.O.P.
οὐ om. L.e.
6. δὴ om. L.
εἰδέαν f.
εἴπως] εἰ L.O.P. ἐφῶ C. ἐφ' ᾧ I.e.
7. φακέλλους A.B.C. vulgo φακέλους.

Φακέλλους] Vocem hanc cum simplici λ efferendam docet Casaubonus ad Euripidis Cyclop. quo modo etiam scribunt Hesych. aliique Lexicographi. Vide Ammonium in voce φάκελος, et Leopardi Emend. lib. XI. c. 15. Huds. Hippocrates de morbis mulier. p. 182. φρυγάνων φάκελλον μαλθακῶν. Ælianus apud Suidam φάκελλον βύβλου. Cl. Gr. φακέλους scribunt. Atque ita bis Aristoteles in Metaph. sine Var. Lect. Josephus, et D. Halicarn. in MSS. Vatic. Hesychius, Phavorin. et Th. Magist. ex Synesio. Ammonius, et Luciani Schol. tom. 2. p. 13. Denique φ. ὕλης ἀργείας legit Ammonius. Herodot. IV. 62. φρυγάνων φάκελοι ita et 67. et Baroc. Wass. Suidas hæc laudans itidem φακέλλους legit. Quid in Ammonio sit ἀργείας, vel, quod pro eo habet Th. Magist. ἀγροίας, non intelligo. Sed utrumque hunc locum ante oculos habuisse apertum est. Itaque ea recte a Leopardo deleri puto. Duk. ἀγρίας Valcken. ad Herodot. 4. p. 309.

8. παρέβαλλον A.B.C.F.H.I.K. e.g. παρενέβαλον L.O.P. προσέβαλον Q. vulgo παρέβαλον.

9. Ταχὺ—ἐδύναντο] Suidas in ἐπιπαρένησαν, quod exponit ἐσώρευσαν. Vid. Hesych. in παρενήνευον, et Herodotum. Homer. Od. α'. 148. et π'. 51. Suidas in παρένησαν eadem iterat, sed pro πόλεως habet ὕλης, male. hinc ergo corrige, quod non fecit Kusterus. Πολυχειρίαν agnoscit Pollux II. 149. ut πολυκοιρανίη apud Homerum. Usus haud semel Dionys. Halic. Hesychius ex Poëta quodam promit πολυχερία. Wass.

γενομένου διὰ πολυχειρίαν, ἐπιπαρέντησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισχεῖν, ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ, ἦψαν τὴν ὕλην. καὶ ἐγένετο φλὸξ τοσαύτη, ὅσην οὐδείς πω ἔς γε ἐκεῖναν τὸν χρόνον χειροπαίητον εἶδεν· ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτὴν ἀπὸ ταυτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε. τοῦτο δὲ μέγα τε ἦν, καὶ τοὺς Πλαταιέας τἆλλα διαφυγόντας ἐλαχίστου ἐδέησε διαφθεῖραι· ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι, πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον. νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα, καὶ οὕτω παυθῆναι τὸν κίνδυνον.

78. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου, [τὸ δὲ λοιπὸν ἀφέντες] περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον· τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλινθεύσαντο. καὶ ἐπειδὴ πᾶν ἐξείργαστο περὶ ἀρκτούρου ἐπιτολὰς, καταλιπόντες φύλακας τοῦ

1. Ἐπιπαρέντησαν] συνῆξαν. 5. Χειροπαίητον] ἔστι γὰρ καὶ αὐτόματος. Ἤδη γὰρ] πάλαι ποτέ. 8. Τἆλλα] δεινὰ δηλονότι. Ἐλαχίστου] ὀλίγου καιροῦ δηλονότι. 10. Αὐτῇ] τῇ φλογί. 11. Διέφυγον] τὸν κίνδυνον. 20. Περὶ

1. γενομένου f.
διὰ τὴν πολυχειρίαν O. διὰ πολυχερίαν d.
3. ἐμβάλλοντες K. ἐσβαλόντες i.
4. ὅσην C.H.K.L.O.Q. vulgo ὅσον.
6. Τριφθεῖσα ὑπ' ἀνέμων] De silvis ita inflammatis est apud Scaliger. ad Severi Ætn. v. 362. Dux.
ἀπὸ τοῦ αὐτομάτου C.e.
10. εἰ om. P.
11. διέφυγεν C.e.
12. ἐξ οὐρανοῦ om. e.
13. οὕτω c.
παυθῆναι A.B.C.H.L.O.P.Q.d. h. ceteri παυσθῆναι.
15. καὶ om. A.N.
16. τι] τοι H.I.g.
στρατοπέδου A.B.F.H.K.L.N. O.P.Q.c.f.h. ceteri στρατοῦ.
τὸ δὲ πλέον ἀφέντες C.e. om. A. B.F.L.N.O.P.Q.h.
20. παρὰ g.
καταλιπόντες τε φ. Q.
φυλακὰς L.O.

ἡμίσεος τείχους (τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον) ἀνεχώρησαν τῷ στρατῷ καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιῆς δὲ παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἄχρηστον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας, αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. τοσοῦτοι ἦσαν οἱ ξύμπαντες, ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει, οὔτε δοῦλος οὔτε ἐλεύθερος. τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

Τοῦ δ' αὐτοῦ θέρους, καὶ ἅμα τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ, Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης καὶ Βοττιαίους, ἀκμάζοντος τοῦ σίτου· ἐστρατήγει δὲ Ξενοφῶν ὁ Εὐριπίδου τρίτος αὐτός. ἐλθόντες δὲ 79. Dum hæc geruntur, Atheniensium in Thraciam adversus Chalcidenses fit expeditio,

ἀρκτούρου ἐπιτολὰς] κατὰ τὸν Ὀκτώβριον μῆνα. 5. Ἐκκεκομισμένοι ἦσαν] ἐξήγαγον. 10. Τοιαύτη μὲν] οἱ διελόντες ταύτην τὴν συγγραφὴν εἰς τρισκαίδεκα, ἐνταῦθα τὸ τέλος τῆς τρίτης ἱστορίας ἔθεσαν, καὶ ἀρχὴν τῆς τε-

1. ἡμίσεως L.O.g.
4. τε om. L.O.P.
ἄχρηστον A.B.F.H.K.N.Q.c.d. f.g. ceteri ἀχρεῖων.
5. ἐκκεκοσμημένοι h. ἐκκεκομμένοι g.
6. τριακόσιοι K.g.
7. Γυναῖκες—σιτοποιοί] Tangit morem Græcorum, apud quos hoc mulierum munus erat, ut fruges pinserent, panem coquerent, et alia ad victum pertinentia pararent: de quo Feith. in Antiquitatib. Homer. IV. 3. Add. Plaut. Mercat. II. 3. 62. et Terent. Adelph. V. 3. 60. De Romanis notus est locus Plinii XVIII. H. N. 11. *Pistores Romæ non fuere ad Persicum usque bellum, annis ab U. C. super DLXXX.: Ipsi panem faciebant Quirites, mulierumque id opus erat; sicut etiam nunc in plurimis gentium.* Cui magis credo, quam Plutarcho Quæst. Rom. LXXXIV. Et rure mos vetus mansit. Ulpian. l. 12. §. 5. D. de Instruct. vel Instrum. leg. *et mulieres, quæ panem coquant.* Dukr.
8. τὴν om. K.
11. τῶν om. L.
12. αὐτῶν f.
13. ἐπεστράτευσαν L.O.P.c.e.
τοὺς om. f.
15. Ξενοφῶν—τρίτος αὐτοῖς] Reliqui duo erant Phanomachus (Diod. XII. p. 512.) et Calliades, (Plut. Nic. p. 348. Reisk.) Gottl.

qua apud Spartolum urbem ab Olynthiorum auxilii victi et fugati, domum revertuntur.

ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν τὸν σῖτον διέφθειραν. ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. προσπεμψάντων δὲ ἐς Ὄλυνθον τῶν οὐ ταῦτα βουλομένων, ὁπλῖταί τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν· ἧς ἐπεξελθούσης ἐκ τῆς Σπαρτώλου ἐς μάχην καθίστανται οἱ Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων καὶ ἐπίκουροί τινες μετ' αὐτῶν νικῶνται ὑπὸ τῶν Ἀθηναίων, καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον· οἱ δὲ ἱππῆς τῶν Χαλκιδέων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν Ἀθηναίων ἱππέας καὶ ψιλούς. εἶχον δέ τινας οὐ πολλοὺς πελταστὰς ἐκ τῆς Κρουσίδος γῆς καλουμένης. ἄρτι δὲ τῆς μάχης γεγενημένης ἐπιβοηθοῦσιν ἄλλοι πελτασταὶ ἐκ τῆς Ὀλύνθου. καὶ οἱ ἐκ τῆς Σπαρτώλου ψιλοὶ ὡς εἶδον, θαρσήσαντες τοῖς τε προσγεγενημένοις καὶ ὅτι πρότερον οὐχ ἡσσῶντο, ἐπιτίθενται αὖθις, μετὰ τῶν Χαλκι-

τάρτης. 1. Τὸ Σπάρτωλον] ἡ Σπάρτωλος προπαροξύτονον. Τὴν Βοττικὴν] ὅτι Βοττιαῖοι ἄποικοι Μακεδόνων. εἰσὶ δὲ ἐν τῇ Θρᾴκῃ, πλησίον Χαλκιδέων. 2. Καὶ προσχωρήσειν] τοῖς Ἀθηναίοις δηλονότι. 7. Μετ' αὐτῶν] τῶν μὴ θελόντων παραδοῦναι δηλονότι. ἡ δὲ Ὄλυνθος μητρόπολις Χαλκιδέων.

1. διέφθειρον B.G.c.f.g.h.

3. προσπεμψάντων B.F.H.K.L. N.O.P.Q.c.d.f.g.h.i. ceteri προπεμψ.

οὐ A.B.C.F.H.K.L.N.O.P.c. d.e.f.g.h.i. vulgo μὴ.

ταυτὰ P.

4. τε om. O.

5. ἐξελθούσης B.g h.

τῆς] τοῦ h.

6. οἱ ἀθηναῖοι A.B.C.H.K.N.c. d.e.f.g. vulgo deest articulus.

πρὸς A.B.F.Q.c.d.f.g.h.i. πρὸ G. vulgo ὑπ'.

8. Σπάρτωλον] Ita hic Codd. et mox Σπαρτώλου, et lib. V. cap. 19. Σπάρτωλος, nec aliter Steph. Vid. Suid. Harpocrat. Hesych. et Schol. Σπαρτωλίων numus Titi apud Goltzium. Wass. In Stephano, et aliis omnibus, præter Scholiasten Thucyd. est Σπαρτωλὸς, ἐξυτόνως, item in Xenoph. V. Græc. p. 561. cujus locum adnotavit Vales. ad Harpocrat. Dukr.

10. ψιλῶν A.B.F.H.g.h.

11. κρουσίδος F.H.L.N. vulgo κρούσιδος.

12. γενομένης I.L.O.e.

14. ἐπιγιγνομένοις L.O.P. προγιγνομένοις Q.

πρότεροι P.Q.

15. ἡσσῶντο A.B.F.L.N.d.f.g. h.i. ἥσσοντο P.Q. ceteri ἥσσηντο.

τῶν om. L.

δέων ἱππέων καὶ τῶν προσβοηθησάντων, τοῖς Ἀθηναίοις· καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. καὶ ὁπότε μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ἐνεδίδοσαν, ἀποχωροῦσι δὲ ἐνέκειντο καὶ ἐσηκόντιζον. οἵ τε ἱππῆς τῶν Χαλκιδέων, προσιππεύοντες ἢ δοκοῖ, προσέβαλλον, καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς Ἀθηναίους καὶ ἐπεδίωξαν ἐπὶ πολύ. καὶ οἱ μὲν Ἀθηναῖοι ἐς τὴν Ποτίδαιαν καταφεύγουσι, καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι ἐς τὰς Ἀθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ· ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι, καὶ οἱ στρατηγοὶ πάντες. οἱ δὲ Χαλκιδῆς καὶ οἱ Βοττιαῖοι τροπαῖόν τε ἔστησαν, καὶ τοὺς νεκροὺς τοὺς αὑτῶν ἀνελόμενοι διελύθησαν κατὰ πόλεις.

80. Ambraciotis cum barbaris in Acarnaniam incursionem facientibus, Lacedæmo-

* Τοῦ δ' αὐτοῦ θέρους, οὐ πολλῷ ὕστερον τούτων, Ἀμπρακιῶται καὶ Χάονες, βουλόμενοι Ἀκαρνανίαν πᾶσαν καταστρέψασθαι καὶ Ἀθηναίων ἀποστῆσαι, πείθουσι Λακεδαιμονίους ναυτικόν τε παρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος καὶ ὁπλίτας χιλίους πέμψαι ἐς Ἀκαρνα-

2. Καὶ ἀναχωροῦσι] οἱ Ἀθηναῖοι. 4. Ἐνεδίδοσαν δὲ] ὑπεχώρουν, οἱ Χαλκιδεῖς δηλονότι, καὶ οἱ Σπαρτώλιοι. 5. Ἢ δοκοῖ] καθ' ὃ μέρος ἐνομίζετο αὐτοῖς συμφέρειν. τὸ δὲ δοκοῖ, τρίτης συζυγίας. 7. Ἐπὶ πολύ] διάστημα δηλονότι. 13. Ἀνελόμενοι] ἀναλαβόντες Διελύθησαν κατὰ πόλεις] ἕκαστος ἦλθεν εἰς τὴν οἰκείαν πόλιν. 16. Καταστρέψασθαι] ἀφανίσαι. 17. Ἐκ τῆς ξυμμαχίδος] γῆς δηλονότι.

1. τῶν om. B.K.h.
προσβοησάντων c.
3. οἱ om. L.O.P.
4. ἀναχωροῦσι B.h.
ἐξηκόντιζον K.
5. δοκεῖ K.d.e.i. δοκῇ f. δοκοίη G.
6. προσέβαλλον A.B.F.G.H.K. Q.c.g.h. προσέβαλον N.f. προσεσέβαλον d.i. ἐσέβαλον e.
τοὺς ἀθηναίους ἔτρεψαν L.O.P.
7. ἐδίωξαν L.O.e.
ἐπὶ om. c.
11. πάντες A.B.F.G.H.K.L. N.O.Q.d.e.f.g.h. ceteri ἅπαντες.
12. οἱ ante βοττιαῖοι om C.e.
τε om. K.L.O.P.
13. alterum τοὺς om. C.L.O. P.c.e.f.
15. τὴν πᾶσαν C.L.O.P.c.e.f.
17. ναυτικόν τε παρασκευασα C.L.O.P.e.
18. συμμαχίδος B.e.
ἐς] ἐπ' B.I.L.O.e.

nii auxiliantur mille militibus gravis armaturæ, et Peloponnesii, imprimis Corinthii, XLVII navibus, ut maritimi Acarnanes impedirentur, quo minus interioribus subvenirent. Sed

νίαν, λέγοντες ὅτι, ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν ἔλθωσιν, ἀδυνάτων ὄντων ξυμβοηθεῖν τῶν ἀπὸ θαλάσσης Ἀκαρνάνων ῥᾳδίως ἂν Ἀκαρνανίαν σχόντες καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρατήσουσι, καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο Ἀθηναίοις ὁμοίως περὶ Πελοπόννησον· ἐλπίδα δ' εἶναι καὶ Ναύπακτον λαβεῖν. οἱ δὲ Λακεδαιμόνιοι πεισθέντες Κνῆμον μὲν, ναύαρχον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσι, τῷ δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένῳ ὡς τάχιστα πλεῖν ἐς Λευκάδα. ἦσαν δὲ Κορίνθιοι ξυμπροθυμούμενοι μάλιστα

9. Περιήγγειλαν] πανταχοῦ ἐμήνυσαν.

1. ἢν] εἰ d.
μετ' αὐτῶν ἔλθωσιν c.
2. βοηθεῖν c.f.
3. ἂν om. C.L.O.P.e.
καὶ τῆς κεφαλληνίας K.Q.
4. Κεφαλληνίας] Κεφαληνίας Gr. Homerus, Strabo, Polybius, Xenophon, Noster, Pausanias, aliique λ geminant. At Scylax, Ptolemæus et recentiores scripturam Gr. Cod. ubique servant. Inscriptiones apud Reinesium III. 85. et Fabrettum 439. c. Cedren. Anna, D. Chrysost. Libanius Orat. 216. Artemidorus apud Porphyrium de esu Animal. cum simplici λ. Aristotelis exemplaria variant. Wass. Vid. quæ adnotata sunt ad I. 27. et ad Flor. II. 9. Duk.
κρατήσωσι F.G.H.Q.g.h.
5. ὁμοῖος] Fortasse leg. ὁμοίως.
ἐλπίδας C.L.O.
6. λαβεῖν] ἑλεῖν c.
7. ἔτι ναύαρχον K.
Ναύαρχον ἔτι ὄντα] Particula ἔτι indicat, munus navarchi apud Lacedæmonios certo temporis spatio circumscriptum fuisse. Ex Emnii Republ. Lacon. in fin. intelligi potest esse, qui ei annum præfiniant, de quo parum constare Idem dicit. Si Dodwelli rationes sequimur, Cnemus plus quam annum in hoc imperio fuit. Nam quæ supra cap. 66. Cnemo navarcho gesta scribit Thucydides, confert in Maium Julianum exeuntem anni secundi hujus belli; quæ autem deinde cap. 90. —93. in Octobrem Julianum anni tertii. Et Diodor. Sicul. XII. 311. etiam post hoc tempus, quum gesta sunt ea, quæ Thucydides cap. 93. et seq. exponit, Cnemum navarchum Lacedæmoniorum vocat. Duk.
8. νησὶν F.H.
9. παρασκευασαμένη c. παρασκευασμένῳ K. παρεσκευασμένῳ B. F.h. παρισκευασμένως g.
ὡς τάχιστα in margine ponit g.
10. ξυμπροθύμως g. ξυμπροθέμενοι h.

τοῖς Ἀμπρακιώταις, ἀποίκοις οὖσι. καὶ τὸ μὲν ναυτικὸν ἔκ τε Κορίνθου καὶ Σικυῶνος καὶ τῶν ταύτῃ χωρίων ἐν παρασκευῇ ἦν, τὸ δ' ἐκ Λευκάδος καὶ Ἀνακτορίου καὶ Ἀμπρακίας πρότερον ἀφικόμενον ἐν Λευκάδι περιέμενε. Κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται, ἐπειδὴ ἐπεραιώθησαν λαθόντες Φορμίωνα ὃς ἦρχε τῶν εἴκοσι νεῶν τῶν Ἀττικῶν αἱ περὶ Ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν κατὰ γῆν στρατείαν. καὶ αὐτῷ παρῆσαν Ἑλλήνων μὲν Ἀμπρακιῶται καὶ Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οὓς αὐτὸς ἔχων ἦλθε, χίλιοι Πελοποννησίων, βάρβαροι δὲ Χάονες χίλιοι, ἀβασίλευτοι, ὧν ἡγοῦντο ἐπ' ἐτησίῳ προστασίᾳ ἐκ τοῦ ἀρχικοῦ γένους Φώτυος καὶ Νικάνωρ. ἐστρατεύοντο δὲ μετὰ Χαόνων καὶ Θεσπρωτοὶ ἀβασίλευτοι. Μολοσσοὺς δὲ ἦγε καὶ Ἀτιντᾶνας Σαβύλινθος, ἐπίτροπος ὢν Θάρυπος τοῦ βασιλέως, ἔτι παιδὸς ὄντος·

Cnemus, Spartanorum dux, satis validum exercitum suum ratus, antequam ii, qui in Corinthiorum navibus erant, advenissent, processit ad Stratum,

1. Ἀποίκοις οὖσι] τῆς Κορίνθου δηλονότι. 8. Καὶ αὐτῷ] τῷ Κνήμῳ. 11. Ἀβασίλευτοι] μὴ νομίζοντες ἔχειν βασιλεῖς, ἀλλὰ μόνον ἡγεμόνας

2. ταύτῃ] ἄλλων c.

4. περιέμεινε e.

5. Κνῆμος] De Cnemo vid. Diodor. pag. 311. c. Duk.

7. ἀττικῶν] ναυτικῶν e.

8. αὐτῶν C.e.

9. μὲν om. B.h.
ἀνακτόριοι καὶ λευκάδιοι C.K.L. O.P.e.

10. αὐτοὺς P.
ἦλθεν ἔχων L.O.P.

11. ἐπετησίῳ conjuncte Stephanus.

12. προστατείᾳ C.e. στρατείᾳ L.O.P. Conf. Lobeck. ad Phrynich. p. 529.
φώτιος A.B.d.g. ceteri φώτιος.

13. ξυνεστρατεύοντο C.L.O.P.e.
Θεσπρωτοὶ ἀβασίλευτοι] Thesproti secundum Homerum (qui Odyss. ε'. v. 115. Phidonis eorum regis meminit) regio parebant dominatui. sed vel postea (ni fallitur Thucyd.) reges suos abdicaverunt, vel eorum pars fuit quondam sine rege. Verum, utrum verba Thucydidis de universa gente, an de quadam ejus parte intelligenda sint, non liquet. Palmer. in Græc. Antiq. pag. 261. Huds.

14. ἀτιντᾶνας A.B.N. ἀτιντάνας F.G.H.K. ἀτιτανὰς P. ἀτιτᾶνας L.O. ἀντιτᾶνας I.b. ἀτταντῖνας Q.
Ἀντιτάνας] vid. Aristot. περὶ θαυμ. 94. 4. Polyæn. IV. 11. 4. et Stephanum, Lycoph. et Appianum, Livium XXXIX. 12. Wass. Accentus variat. Strabo VII. pag. 326. Ἀτιντᾶνες, Stephan. Ἀτιντάνες. Duk.

15. θαρύπου B. cum Pausania I. 10. τάρυβος e.
Θάρυπος] Θαρύπου malit Pal-

καὶ Παραυαίους Ὀροιδος, βασιλεὺς ὤν. Ὀρέσται δὲ χίλιοι, ὧν ἐβασίλευεν Ἀντίοχος, μετὰ Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ, Ἀντιόχου ἐπιτρέψαντος. ἔπεμψε δὲ καὶ Περδίκκας κρύφα τῶν Ἀθηναίων χιλίους Μακεδόνων, οἳ ὕστερον ἦλθον. τούτῳ τῷ στρατῷ ἐπορεύετο Κῆ-

καὶ ἄρχοντας. 3. Ἐπιτρέψαντος] τὸ ἄρχειν δηλονότι, καὶ εἶναι αὐτοκράτορα

merius. Θάρυψ quidam memoratur a Diodoro Siculo l. 3. p. 139. Huds. Palmer. II. Græc. Ant. 8. rationem emendationis suæ hanc adfert, quod omnibus aliis Rex ille Θάρυπος vocetur in recto, non Θάρυψ. Nihil peccasset, si omnes illos alios, vel certe quosdam ex iis nominasset, et quærendi labore nos levasset. Nam ego quidem nondum alium, quam Pausaniam, invenire potui, qui I. 11. Alcetan, Æacidæ, patris Pyrrhi, et Olympiadis, matris Alexandri M. avum, filium Θαρύπου fuisse scribit. Nec Xylandrum alios, quam Pausaniam, scivisse, ex eo colligo, quod ad Plutarch. Pyrrh. princ. ubi hic Θαλλύτας vocatur, adnotat eum Pausaniæ esse Θάρυπον, nec ullum præterea memorat, qui idem tradiderit. Sed vel sic unius Pausaniæ auctoritas sufficere potest, ad emendationem Palmerii stabiliendam. Et est facilis et non infrequens in his permutatio. Sic quod in Harpocratione v. Οἴηθεν legitur, Κεφάλου μὲν θυγατέρα, Χάροπος δὲ γυναῖκα, pro eo in Editis Suidæ est Χαρίπου, in MSS. Χαρόπου, ut ad Suidam adnotat Kusterus. et in Photio apud Valesium ad Harpocrat. Χαροποῦ. Et contra, quem vulgati libri Livii XXXII. 6. vocant Charopum, is in scriptis, et Polybio, ac Plutarcho est Charops. Nec dubito, quin in Luciano Dial. mort. p. 313. de Nireo perperam edatur τὸν Ἀγλαΐας καὶ Χάροπος, pro Χαρόπου. Nam pater ei erat Χάροπος, non Χάρωψ. Res certa est ex Homer. Iliad. β'. 672. Eustathio ad illum locum, et Hygin. Fab. XCVII. Itaque recte in Diodor. Sic. V. 225. Viri docti ediderunt Νιρεὺς Χαρόπου καὶ Ἀγλαΐας, pro Χάροπος, quod in scriptis erat. Quinam sint, quos paullo post Παραυαίους, vocat Thucydides, mihi non liquet. Sed cogitabam fortassis eum loquutum de Παρωραίοις, quos cum Molossis, Atintanibus, Orestis, et aliis quibusdam, aspera loca in eodem tractu colentibus, jungit Strabo VII. 326. Duk.

1. παραβαίους L. παραυναίους g. παραναίους f.

βασιλεὺς ὤν] βασιλεύων C.e.

Ὀρέσται] Vid. Lampridium Elagab. VII. et Zonaram in Constantino Mon. Niceph. Bryen. 71, juxta Athyram ponit Anna Comnena 57. 109. Inter Epirum et Ætoliam posuit Liv. XLII. 38. Adde quæ Cellarius profert p. 701. Wass.

2. παραβαίων K.e. παραυναίων g. παραναίων c.d.f.i.

συνεστρατεύοντο B.d.g.i.

μος, οὐ περιμείνας τὸ ἀπὸ Κορίνθου ναυτικόν· καὶ διὰ τῆς Ἀργείας ἰόντες Λιμναίαν, κώμην ἀτείχιστον, ἐπόρθησαν. ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ἀκαρνανίας, νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἆλλα προσχωρήσειν. * Ἀκαρνᾶνες δὲ αἰσθόμενοι κατά τε γῆν πολλὴν στρατιὰν ἐσβεβληκυῖαν, ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι, παρά τε Φορμίωνα ἔπεμπον κελεύοντες ἀμύνειν· ὁ δὲ ἀδύνατος ἔφη εἶναι, ναυτικοῦ ἐκ Κορίνθου μέλλοντος ἐκπλεῖν, Ναύπακτον ἐρήμην ἀπολιπεῖν. οἱ δὲ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, τρία τέλη ποιήσαντες σφῶν αὐτῶν, ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν, ὅπως ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγοις πείθοιεν, ἔργῳ πειρῷντο τοῦ τείχους. καὶ μέσον μὲν ἔχοντες προσῆσαν Χάονες καὶ οἱ ἄλλοι βάρβαροι, ἐκ δεξιᾶς δ' αὐτῶν Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ

81. ubi, cum Chaones cum ceteris barbaris imprudentius præcucurrissent, a Stratiis exceptis insidiis, magna clade afficiuntur.

τὸν Ὀροιδον ἀμφοῖν τοῖν ἐθνοῖν. 1. Καὶ διὰ τῆς Ἀργείας] τῆς Ἀμφιλοχικῆς. 3. Ἐπὶ Στράτον] θηλυκῶς ἡ Στράτος. 9. Κελεύοντες] παρακινοῦντες. 11. Ἐρήμην] ἔρημον φυλάκων.

1. Διὰ τῆς Ἀργείας] Locus Thucydidis, e quo Palmerius verosimili, ut videtur, conjectura III. Græc. Ant. 6. emendat Ἀγραίας est Lib. III. cap. 106. De Agræis vid. plura apud eumdem IV. Græc. Ant. 3. et de Strato III. 5. Duk.

2. λεμναίαν d.
κώμην] πόλιν K.

4. ταύτην πρώτην A. B. C. H. K. L. O. P. c. d. f. g. h. i. ταύτην πρῶτον e. vulgo πρώτην ταύτην.
ἂν om. C. e.

5. προσχωρήσειν N. O. e.

6. τε τὴν γῆν F. I.

8. ἐφύλαττόν L. P.
ἑαυτῶν f.

9. ἐκέλευον πέμποντες cod. Stephani, ut videtur.

11. ἐκλιπεῖν c. ἀπολείπειν i.

12. Τέλη] Vid. Hesych. in h. v. Dionys. Hal. VIII. Ant. 65. Noster I. 48. τέλη τῶν νεῶν sine exemplo aut imitatore, opinor, dixit. Herodot. II. 64. ὀρνίθων γένεα, at fortasse rectius τέλεα cum Baroc. et Lambeth. alibi κατὰ τέλεα, *turmatim*, Idem. Contra tamen, ut videtur, Mediceus. Confer Ulpianum in Demosth. pag. 263. Wass.

14. λόγῳ C. G. I. b. e.

15. μέσον A. B. F. H. K. N. b. g. h. i. ceteri τὸ μέσον.
οἱ om. c.

οἱ μετὰ τούτων, ἐν ἀριστερᾷ δὲ Κνῆμος καὶ οἱ Πελοποννήσιοι καὶ Ἀμπρακιῶται· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων, καὶ ἔστιν ὅτε οὐδὲ ἑωρῶντο. καὶ οἱ μὲν Ἕλληνες τεταγμένοι τε προσῆσαν καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ· οἱ δὲ Χάονες, σφίσι τε αὐτοῖς πιστεύοντες καὶ ἀξιούμενοι ὑπὸ τῶν ἐκείνῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι, οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν, χωρήσαντές τε ῥύμῃ μετὰ τῶν ἄλλων βαρβάρων ἐνόμισαν αὐτοβοεὶ ἂν τὴν πόλιν ἑλεῖν καὶ αὐτῶν τὸ ἔργον γενέσθαι. γνόντες δ' αὐτοὺς οἱ Στράτιοι ἔτι προσιόντας, καὶ ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν, προλοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις, καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν ἐνεδρῶν προσπίπτουσι. καὶ ἐς φόβον καταστάντων, διαφθείρονταί τε πολλοὶ τῶν Χαόνων, καὶ οἱ ἄλλοι βάρβαροι, ὡς εἶδον αὐτοὺς

2. Διεῖχον] διέστησαν. 3. Τεταγμένοι] εὐτάκτως. Διὰ φυλακῆς ἔχοντες] ἑαυτοὺς δηλονότι. 5. Ἐν ἐπιτηδείῳ] χώρᾳ δηλονότι. 6. Πιστεύοντες] θαῤῥοῦντες. Ἀξιούμενοι] ἄξιοι κρινόμενοι. 7. Ἐπέσχον] ἐνεκαρτέρησαν. Τὸ στρατόπεδον] τὸ τό περιττὸν κεῖται. 9. Αὐτοβοεὶ ἄν] βοῇ μόνῃ χρησάμενοι. 11. Μεμονωμένων] διεζευγμένων τῆς τῶν Ἑλλήνων συμμαχίας. 15. Ἐς φόβον κατα-

2. καὶ οἱ ἀμπρ. c.
4. προσῆσαν τεταγμένοι τε .HF. ἐστρατεύσαντο f.
6. πιστεύσαντες C.Q. πιστεύμενοι e.
7. ὑπέσχον d.
8. ῥώμῃ A.B.C.F.H.I.K.L. N.O.P.b.c.d.e.f.g.h.i.
9. Αὐτοβοεὶ Attici pro παραχρῆμα Mœris. Ita fere Hesychius. Suidas pro κατακράτος apud Theopompum esse dicit. Wass. Auctor Etymol. M. et alii Grammatici tradunt, Thucydidem hoc vocabulum usurpare de rebus, quæ in bello primo statim clamore, id est, primo impetu, perficiuntur. Et sic præter Thucydidem etiam alii. Itaque si qui sine respectu ad bellum αὐτοβοεὶ pro παραχρῆμα dicunt, hi non prima, sive propria significatione eo utuntur. Duk.
ἐνόμισαν καὶ αὐτοβοεὶ I.P.
ἂν om. d.
10. ἔτι om. f.
11. μεμονωμένους g.
12. προλοχίζουσι δὴ τὰ C.L.O. P.e. sed η a correctore habet C.
13. τε om. L.O.P.
15. τε om. L.
16. τῶν om. O.
οἱ om. P.

ἐνδόντας, οὐκέτι ὑπέμειναν ἀλλ' ἐς φυγὴν κατέστησαν. τῶν δὲ Ἑλληνικῶν στρατοπέδων οὐδέτερον ἤσθετο τῆς μάχης, διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς καὶ στρατόπεδον οἰηθῆναι καταληψομένους ἐπείγεσθαι. ἐπεὶ δὲ ἐνέκειντο φεύγοντες οἱ βάρβαροι, ἀνελάμβανόν τε αὐτοὺς, καὶ ξυναγαγόντες τὰ στρατόπεδα ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν, ἐς χεῖρας μὲν οὐκ ἰόντων σφίσι τῶν Στρατίων διὰ τὸ μήπω τοὺς ἄλλους Ἀκαρνᾶνας ξυμβεβοηθηκέναι, ἄποθεν δὲ σφενδονώντων καὶ ἐς ἀπορίαν καθιστάντων· οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι. δοκοῦσι δ' οἱ Ἀκαρνᾶνες πράτιστοι εἶναι τοῦτο ποιεῖν. * ἐπειδὴ δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ Κνῆμος τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν Ἀναπον ποταμὸν, ὃς ἀπέχει σταδίους ὀγδοήκοντα Στράτου, τούς

82. Caemus cum exercitu Œniadas se recipit.

στάντων] ἤγουν, φυγόντων. 3. Αὐτοὺς] τοὺς Χάονας. 4. Ἐνέκειντο φεύγοντες] ἤγουν, κατὰ κράτος ἔφευγον. 5. Ἀνελάμβανόν τε αὐτοὺς] οἱ Ἕλλη-

3. οἰηθῆναι] οἱ ἀθηναῖοι I.
4. ἐπειδὴ L.O.g.
ἐνείκοντο L.
9. ἄπωθεν C. ἄποθεν et hic ceteri et 3, 111. A.B. 4, 67. A.B. I.Q. 4, 92. A.B.Q. 4, 115. A. B.I.Q.e.h. 4, 120. A.B.Q.d.e. 4, 125. A.B. 4, 126. A.B.d.e. 6, 7. A.B.I.K.d. 6, 58. A.B.L. O.h. 6, 77. A.B.L.O. 8, 69. A.B.F.H.L.O.Q.
10. Δοκοῦσι δ' οἱ Ἀκαρνᾶνες] Pollux I. 150. εὐδόκιμα δὲ— σφενδόνη Ἀκαρνάνων, ἀκόντιον Αἰτωλικόν. Lipsius IV. Poliorcet. 2. scribit, Pollucem Acarnanibus tribuere inventionem fundæ. Hoc non magis ex his verbis confici potest, quam quia ibidem inter εὐδόκιμα etiam recensentur θώραξ Ἀττικουργὴς, κράνος Βοιωτιουργὲς, ἀσπὶς Ἀργολικὴ, et alia, omnes illos populos earum rerum inventores fuisse, vel iis a Polluce inventionem earum adsignari. Dux.
11. νὺξ ἐγένετο] ξυνεγένετο I.
13. Στράτου] Acarnaniæ dicit esse cum Nostro, et Plinio IV. 1. Stephanus; Ætoliæ Livius XLIII. 21. Steph. supra Στράτιων πόλις Ἀκαρνανίας. ubi fortasse legendum Στρατίη πόλις Ἀρκαδίας. Hanc conjecturam firmant Homerus Il. β'. 301. Hesychius, Nonnus Dionys. XIII. p. 368. et Pausanias. Diodorus XIX. Πεισθέντων δὲ τῶν Ἀκαρνάνων, οἱ πλεῖστοι μὲν εἰς ΣΤΡΑΤΟΠΟΛΙΝ συνῴκησαν, ὀχυρωτάτην οὖσαν, καὶ μεγίστην. Repono Στράτων πόλιν. Eandem urbem *validissimam* vocat Livius. Mox Οἰνιάδων rectius, quam Οἰνιαδῶν. nam I. 111. est εἰς Οἰνιάδας. Wass. De Strato Palmer. III. Græc. Ant. 5. Dux.

pit, priusquam Acarnanum auxilia Stratiis veniunt.

τε νεκροὺς κομίζεται τῇ ὑστεραίᾳ ὑποσπόνδους, καὶ Οἰνιαδῶν ξυμπαραγενομένων κατὰ φιλίαν ἀναχωρεῖ παρ' αὐτοὺς, πρὶν τὴν ξυμβοήθειαν ἐλθεῖν. κἀκεῖθεν ἐπ' οἴκου ἀπῆλθον ἕκαστοι. οἱ δὲ Στράτιοι τροπαῖον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους.

83. Interim classis Peloponnesiorum cum militibus Corintho proficiscitur, sed a Phormione, Atheniensium apud Naupactum duce, extra sinum eam excipiente, ad pugnam coacta,

* Τὸ δ' ἐκ τῆς Κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν ἐκ τοῦ Κρισαίου κόλπου ναυτικὸν, ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες, οὐ παραγίγνεται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων, αἳ ἐφρούρουν ἐν Ναυπάκτῳ. ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλπου ἐτήρει, βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ ὡς ἐπὶ ναυμαχίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι, ἐς τὴν Ἀκαρνανίαν, καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς τὰς σφετέρας τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε εἶδον

νες τοὺς βαρβάρους. 19. Ἀντιπαραπλέοντας] ἀντὶ τοῦ εἰς ἀντιπαράταξιν. Εὐ-

3. παρελθεῖν i.
4. ἐπῆλθεν i. om. L.O.P.
τῆς ante μάχης om. f.g.h.
7. κρισσαίου L.O.
Κρισαίου] Κρισσαίου Sophocles, Steph. pag. 114. Κρισαίου Herodotus. κόλπου Stephanus mallet abesse, sed agnoscunt plerique Codices. Vid. mox cap. 86. Wass. De Κρισσαῖος et Κρισαῖος est ad I. 107. Duk.
κόλπου om. L.O.P.
8. ἀπὸ τῆς θαλάσσης K.
10. ἐν τῇ στράτῳ K.
12. ἃς f.
13. διετήρει g.
15. ἐπέπλεων C.L.O.P.e.
οὐχ ὡς A.B.F.G.H.K.c.f.g.h.i. vulgo ὡς οὐκ.
ναυμαχίαν A.B.F.H.K.c.f.g.h.i.
στρατιῶται A.B.g.
16. ἐς om. K.
τὴν om. g.h.
18. τολμῆσαι τοὺς ἀθηναίους om. e.
19. ἀντιπερπλέοντάς g.

αὐτοὺς παρὰ γῆν σφῶν νομιζομένων, καὶ ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπὶ Ἀκαρνανίας κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου ποταμοῦ προσπλέοντας σφίσι, καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ναυμαχεῖν κατὰ μέσον τὸν πορθμόν. στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων οἱ παρεσκευάζοντο, Κορινθίων

ρων] οἱ Κορίνθιοι δηλονότι. 1. Σφῶν] τῶν Κορινθίων. 4. Οὐκ ἔλαθον] οἱ Ἀθηναῖοι. 6. Κατὰ μέσον τὸν πορθμόν] τὸν Κρισαῖον φησί. ἔστι δὲ

1. παρὰ τὴν γῆν L.

Πατρῶν] Urbs hæc ex septem pagis conflata est, inquit Strabo VIII. 519. Conditam narrat Eusebius A. M. 2907. ante Christum 1041. De origine adi ante omnia Pausaniam VII. p. 568. ἀπό τινος Πατρέως nomen deducit Stephanus Pausaniam secutus, et Gentile unicum Πατρεὺς agnoscit. Theophrastus Hist. Plant. IX. Πατρικὴν de agro Patrensi ut videtur usurpavit. Πατρίες Herodotus, et Noster alibi Πατρέας ἔπεισεν. Numi passim ΠΑΤΡΕΩΝ. In uno Domitiani apud Motraye, COL. A. A. PATRENS. Hanc enim civitatem bellis adtritam Augustus instauravit, Dymenque Patrensibus adtribuit. Et fortasse de hac ejusdem renovatione intelligendus locus Strabonis supra adductus. V. Pausan. p. 564. Inde Colonia Augusta, et A. Patrensis. Colonia juxta Eusebium deducta est Olymp. CXCI. 3. Πάθραν corrupte, sed ævi istius vitio appellat Nicetas Choniates p. 409. Auctor in fine Codini hæc habet, Ἀχαΐα ἡ νῦν Πάτρα. Numero plurium ἐς Πατρὰς rectius Laonicus Chalcocond. 225. Est et Patrensium civitas in Phthiotide Lacon. sive Patræ Thessalicæ. Vide Cantacuzenum p. 130. et Paulinium. De hac apud Rhium Prom. civitate consule Aristidem I. 540. Dionem 424. Lucian. Asino 115. Silium XV. et Ciceronem Epist. Ammianum XIX. 12. Nonnulla de eadem memoratu digna produnt Polybius II. 41. IV. 7. 83. et p. 1478. Livius XXXVIII. 29. Plutarch. Alcib. 198. et Catone p. 343. et Hist. Byzant. concinnatores superius laudati. Ὁ Πατρῶν Archiepiscopus Concil. Sardic. adfuit A. Chr. CCCXLVII. Denique, ut extrema ejus adtingamus Turcæ vi ceperunt A. Chr. MCCCCXLVII. a quibus, docente in Pandectis Leunclavio, Badra, vel Balubathra, dictione opinor a πάλαι Πάθρα detorta, hodie vocatur. De præsenti statu lege Whelerum. Itin. p. 304. Wass.

2. ἀντιπέραν O.
4. εὐήνου A.B.H.K.g.
7. καὶ om. L.O.P.
πόλιν ἑκάστην N.

δὲ Μαχάων καὶ Ἰσοκράτης καὶ Ἀγαθαρχίδας. καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλῳ τῶν νεῶν, ὡς μέγιστον οἷοί τ' ἦσαν, μὴ διδόντες διέκπλουν, τὰς πρώρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας, καὶ τά τε λεπτὰ πλοῖα, ἃ ξυνέπλει, ἐντὸς ποιοῦνται, καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν διὰ βραχέος παραγιγνόμενοι, εἴ πῃ προσπίπτοιεν οἱ ἐναντίοι. * οἱ δ' Ἀθηναῖοι, κατὰ μίαν ναῦν τεταγμένοι, περιέπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν· προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν, πρὶν ἂν αὐτὸς σημήνῃ. ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν, ὥσπερ ἐν γῇ πεζήν, ἀλλὰ

84. magna perturbatione in fugam vertitur; quo facto Cyllenen se recipiunt omnes Peloponnesiorum naves.

πορθμὸς ἀμφίγειος θάλασσα. 4. Τά τε λεπτὰ πλοῖα] τοὺς λέμβους. 7. Κατὰ μίαν ναῦν τεταγμένοι] μίαν ἔχοντες ἐπίσω τῆς μιᾶς. 9. Ἐν χρῷ] ἀντὶ τοῦ πλησίον. ἔστι δὲ ἀπικοστή· ἦν γὰρ ἐν χρωτί. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῆς κουρᾶς τῆς ἄχρι τοῦ χρωτὸς γιγνομένης. Δόκησιν] δόξαν. 10. Ἐμβαλεῖν] προσπεσεῖν. 11. Μὴ ἐπιχειρεῖν] τῷ πολέμῳ. Σημήνῃ]

1. μαχάων A.B.C.I.K.L.N.O. P.g. ceteri μάχων.

2. Post νεῶν legebatur ποιήσαντες. id post μέγιστον ponit f. om. A.B.C.F.H.K.N.c.g.h.

3. καθὼς οἷοί f.

4. τε om. f. qui mox ποιησάμενοι.

6. βραχέως B.C.i.

παραγιγνόμενοι I.K.P.d.e.i.

Παραγιγνόμενοι] Non puto recipiendum, quod est in Gr. et Dan. παραγιγνόμεναι. Nam non respicit ad præcedens ναῦς, sed ad eos, qui in illis erant. Sic mox cap. seq. εἰδότα χρόνον ἡσυχάσειν αὐτοὺς: quum præcedat ναῦς et πλοῖα. Et cap. 31. præcedente νῆες, sequitur αὐτοὺς, pro quo nonnulli libri ibi quoque perperam habent αὐτάς. Plura hujus generis adnotavit Steph. in Append. ad Script. de Dialect. p. 131. et seqq. Duk.

7. εἶπεν Q.

προστλέοιεν A.B.F.H.K.N.d.f. g.h.i.

9. χρῶ d.i.

Ἐν χρῷ] Eustath. citat ἐν χρῷ παραπλεῦσαι τὰς ναῦς, et exponit πλοῖς ἐν χρῷ ὁ γῆς ἐγγύς. p. 1450. εἴρηται δὲ, inquit Suidas v. ἐν χρῷ, ἀπὸ τῆς κουρᾶς τῆς ἄχρι τοῦ χρωτὸς γινομένης. Idem sonat ἐγκατὶ apud Callimach. et Agathiam post Herodotum. Hoc tonsuræ genus σκάφιον alicubi vocat Schol. Aristoph. Figurate usus Sophocles Ajace 801. et Anthol. ἐν ΧΡΟΙ' ΚΕΙΡΑΜΕ'ΝΑ Ἑλλάς. Synes. Epist. IV. Οὐ πρὶν, ἢ 'ΕΝ ΧΡΩΙ γενέσθαι τοῦ κινδύνου. Plaut. *ad cutim tonderi*, Virg. *Altius ad vivum persedit.* et *Radit iter*, huc spectantes dixerunt. Wass.

12. αὐτὸν C.

ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς καὶ τὰ πλοῖα παραχὴν παρέξειν, εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ ἀναμένων τε περιέπλει καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῷ τε ἐνόμιζεν εἶναι, ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλεουσῶν, καὶ τότε καλλίστην γίγνεσθαι. ὡς δὲ τό τε πνεῦμα κατῄει, καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου τῶν τε πλοίων, ἅμα προσκειμένων ἐταράσσοντο, καὶ ναῦς τε νηὶ προσέπιπτε, καὶ τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων οὔτε τῶν κελευστῶν καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει, καὶ οἱ Ἀθηναῖοι προσπεσόντες πρῶτον μὲν κατασύουσι τῶν στρα-

σημεῖον δῷ. 4. Αὐτοὺς] τοὺς Κορινθίους. 5. Ἐφ' ἑαυτῷ] ἐπὶ τῇ ἐξουσίᾳ αὐτοῦ. 8. Τῶν τε πλοίων] τῶν λεπτῶν. 12. Παραγγελλομένων] συμβουλευόντων. Τῶν κελευστῶν] τῶν στρατηγῶν καὶ τῶν κυβερνητῶν. 15. Ση-

1. τὰ om. g.
2. παρέχειν A.B.F.H.b.g.h.
ἐκπνεύσειν L.O.P.Q.
Lego ἐκπνεύσαι, ac εἴ τ' s. εἴτε puto hic valere, *et quum, et si*, ut III. 28. Ergo verto: *et quum spiraret ex sinu* &c. Dein seqq, ὅπερ usque ad οὐδένα sunt parenthesis. Tum sequitur prioris periodi apodosis: *ne momento—temporis staturas*, &c. Quod si malis εἴτ' ἐκπνεῦσαι vertere: *tumque spirare ex*; addi oportet ex codd. aliis τε ante χρόνον. Wass.
4. ἐπὶ] περὶ L.N.O.P.Q.g.
οὐδένα τε χρόνον L.O.
ἡσυχάζειν I.K.O.
5. αὐτῷ C.K.e.f.
7. τὸ πνεῦμα L.O.
8. ὑπ'] ἐπ' d.
πλοίων] λεπτῶν d.
9. προσκειμένων ἅμα c.f. ἅμα προκειμένων d.
10. κωδοῖς C.
12. De κελευσταῖς eorumque munere in navibus Scheffer. de Milit. Nav. IV. 7. et Interpretes Pollucc. I. 96. Duk.
13. ὄντες om. K.
ἀναφέρειν ἐν κλυδωνίῳ f. ἐν κλύδωνι ἀναφέρειν Suidas v. κλυδώνιον.
14. ἀπειθεστέρους I.
15. δὲ c.
τοῦτον om. d.

τηγιδων νεῶν μίαν, ἔπειτα δὲ καὶ πάσας, ἢ χωρήσειαν, διέφθειρον, καὶ κατέστησαν ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς Πάτρας καὶ Δύμην τῆς Ἀχαΐας. οἱ δὲ Ἀθηναῖοι καταδιώξαντες καὶ ναῦς δώδεκα λαβόντες, τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι, ἐς Μολύκρειον ἀπέπλεον, καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ, καὶ νεῶν ἀναθέντες τῷ Ποσειδῶνι, ἀνεχώρησαν ἐς Ναύπακτον. παρέπλευσαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Δύμης καὶ Πατρῶν ἐς Κυλλήνην, τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευκάδος Κνῆμος καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει ταύταις ξυμμίζαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην ἐς τὴν Κυλλήνην.

85. Quam cladem ægre ferentes Lacedæmonii, classem reficiendam angeri-

* Πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνήμῳ ξυμβούλους ἐπὶ τὰς ναῦς, Τιμοκράτην καὶ Βρασίδαν καὶ Λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν βελτίω κατασκευάζεσθαι καὶ μὴ ὑπ' ὀλίγων νεῶν εἴργεσθαι τῆς θα-

μαίνει] σημείων ποιεῖ. 1. Ἢ χωρήσειαν] ὁρμήσειαν. 2. Ἐς ἀλκὴν] εἰς μάχην πολέμου. 8. Ἀνεχώρησαν] ὑπέστρεψαν. 10. Ἐπίνειον] ἐπίνειον καλεῖται πᾶν ἐμπόριον, ἢ παρὰ τὸ ἐπινήχεσθαι αὐτὸ τῇ θαλάσσῃ, ἢ παρὰ τὸ ἐν αὐτῷ τὰς ὁλκάδας νήχεσθαι ἢ ὀκέλλειν. 17. Τῶ ὀλίγων νεῶν] τῶν Ἀθη-

1. πάσας A.B.F.G.H.K.N.c. d.f.g.h.i. ceteri τὰς ἄλλας.
διεχωρήσειαν K.
2. διέφθειραν d.
μηδὲν C. μηδεμίαν c.
τραπέσθαι G.K.L.O.P.c.d.
3. πάτραν G.Q.c.g.
6. πλείους c.
ἐπέπλεον L.O.P.Q.
Μολύκρειον] Euphorion Μολυκρίαν scribit: Steph. ab editis stat. vid. Nostrum III, 102. Μολυκρεία Scylax p. 14. Polybius V. 604. ἐξοδεύσας εἰς Μολυκρίαν. Molycria Plin. IV. 11. confer Ptolemæum III. 15. hos sequitur Steph. Sed Berkelius contra libros scripturam immutavit. Wass, Add. Palmer. IV. Græc. Ant. 19. de Rhio ibid. et cap. seq. de quo etiam Holsten. ad Steph. Duk.
10. ἠλείων L.
11. κεῖθεν L.O.P. ἐκείνων C.e.
13. τὴν om. Q.
κυλλήνην F.
14. ξυμβούλους] ξυμμάχους L. O.P.
15. βρασίδα d.e.i. βασιλίδην N.
16. βελτίω om. i.
παρασκευάζεσθαι I.K.L.O.P. Q.e.
17. νεῶν ὀλίγων c.f.

λάσσης. ἐδόκει γὰρ αὐτοῖς, ἄλλως τε καὶ πρῶτον ναυμαχίας πειρασαμένοις, πολὺς ὁ παράλογος εἶναι καὶ οὐ τοσούτῳ ὤοντο σφῶν τὸ ναυτικὸν λείπεσθαι, γεγενῆσθαι δέ τινα μαλακίαν, οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας δι' ὀλίγου μελέτης. ὀργῇ οὖν ἀπέστελλον. οἱ δὲ ἀφικόμενοι μετὰ Κνήμου ναῦς τε περιήγγελλον κατὰ πόλεις, καὶ τὰς προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν. πέμπει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας τήν τε παρασκευὴν αὐτῶν ἀγγελοῦντας, καὶ περὶ τῆς ναυμαχίας, ἣν ἐνίκησαν, φράσοντας, καὶ κελεύων αὐτῷ ναῦς ὅτι πλείστας διὰ τάχους ἀποστεῖλαι, ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυμαχήσειν. οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ, τῷ δὲ κομίζοντι αὐτὰς προσεπέστειλαν ἐς Κρήτην πρῶτον ἀφικέσθαι. Νικίας γὰρ Κρὴς Γορτύνιος, πρόξενος ὤν, πείθει αὐτοὺς ἐπὶ Κυδωνίαν πλεῦσαι, φάσκων προσποιήσειν αὐτὴν οὖσαν πολεμίαν· ἐπῆγε δὲ Πολιχνίταις χαριζόμενος,

que jubent. Phormioni subsidia petita ab Atheniensibus mittuntur sero, quia antea in Cretam navigare naves jubentur, ibique diutius morantur.

ναίων. 1. Ναυμαχίας πειρασαμένοις] ἐν τῷ Πελοποννησιακῷ πολέμῳ δηλονότι. 2. Ὁ παράλογος] τὸ παρὰ τὸ ἐνδεχόμενον γενέσθαι. 3. Τὸ ναυτικὸν λείπεσθαι] οὐ κατ' ἐμπειρίαν τοῦ ναυτικοῦ λείπεσθαι. 4. Οὐκ ἀντιτιθέντες] οὐκ ἀντιπαραβάλλοντες. 5. Ὀργῇ οὖν ἀπέστελλον] ὀργιζόμενοι ἀπέστελλον τοὺς συμβούλους. 15. Γορτύνιος] ἰστέον ὅτι ἡ Γόρτυς πόλις ἐστὶ Κρήτης, ἀπέχουσα Κυδωνίας σχεδὸν σταδίους χιλίους· καὶ ἔστιν ἀπίθανον, εἶναι πολεμίας ἀλλήλαις ταύτας τὰς πόλεις. ῥητέον οὖν ὅτι πολεμίαν λέγει τὴν Κυδωνίαν τῇ Πολίχνῃ, οἷς εἰκὸς χαρίζεσθαι κατὰ φιλίαν τὸν Νικίαν. 16. Προσποιήσειν] οἰκείαν ποιήσειν.

1. ἐδόκει γὰρ αὐτοῖς om. c.f.
2. πειρασαμένοις c.
Ὁ παράλογος] Vide Stephani Append. ad Script. al. de Dial. Att. p. 157. Huds. Suidas h. v. et exempla adducit ex Procopio. Vid. I. 78. Ita Philo, Plutarchus, Diodorus, Dionys. Halic. Add. Poll. II. 119. Wass.
3. τοσοῦτον g. τοσούτων c.
4. τὴν ἀθηναίων — μελέτης] τὴν μελέτην I.
6. μετὰ τοῦ κνήμου C.L.O.
7. προσπεριήγγειλαν C.I.L.O.e.
8. ἐξήρτυον C.e.
ὡς om. g.
11. αὐτῶν K.c.g.
διὰ τάχος C. om. g.
12. ἑκάστην ἡμέραν O.
14. προσεπέτειλαν g. προσαπέστειλαν i.

ὁμόροις τῶν Κυδωνιατῶν. καὶ ὁ μὲν λαβὼν τὰς ναῦς ᾤχετο ἐς Κρήτην, καὶ μετὰ τῶν Πολιχνιτῶν ἐδῄου τὴν γῆν τῶν Κυδωνιατῶν, καὶ ὑπὸ ἀνέμων καὶ ὑπὸ ἀπλοίας ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον. * οἱ δ' ἐν τῇ Κυλλήνῃ Πελοποννήσιοι, ἐν τούτῳ ἐν ᾧ οἱ Ἀθηναῖοι περὶ Κρήτην κατείχοντο, παρεσκευασμένοι ὡς ἐπὶ ναυμαχίαν παρέπλευσαν ἐς Πάνορμον τὸν Ἀχαϊκόν, οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσβεβοηθήκει. παρέπλευσε δὲ καὶ οἱ Φορμίων ἐπὶ τὸ Ῥίον τὸ Μολυκρικόν, καὶ ὡρμίσατο ἔξω αὐτοῦ ναυσὶν εἴκοσιν αἴσπερ καὶ ἐναυμάχησεν. ἦν δὲ τοῦτο μὲν τὸ Ῥίον φίλιον τοῖς Ἀθηναίοις, τὸ δ' ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας, τὸ ἐν τῇ Πελοποννήσῳ· διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα ἑπτὰ τῆς θαλάσσης, τοῦ δὲ Κρισαίου κόλπου στόμα τοῦτό ἐστιν. ἐπὶ οὖν τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ οἱ Πελοποννήσιοι, ἀπέχοντι οὐ πολὺ τοῦ Πανόρμου ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ἡμέ-

86. Interim altera classis alteri in utroque Rhio ex adverso constiterat. Atheniensium XX. Peloponnesiorum LXXV naves erant, atque hi pugnam parabant, antequam auxilia Athenis ad Phormionem venirent.

5. Ἐν τούτῳ] τῷ χρόνῳ. 13. Διέχετον] κεχώρισθον.

1. Κυδωνιατῶν] Ptolemæus Κυδόνιας mendose. In Orpheo Κυδωνιάς, vid. Herodot. III. 59. Cydonia olim, inquit Steph. Apollonia. Confer Apollonii Schol. IV. 1492. Sch. Theocr. Eid. ζ'. 12. nunc *Canea*. Tournefort vol. I. p. 23. Wass. De Polichna Steph. de urb. ibique Holsten. Duk.

3. καὶ ἀπλοίας C.L.O.P.c.e.f.

4. ἐνδιέτριψαν e. ἐνδιέτριβον c.

5. περὶ τὴν κρήτην P.Q.

6. κατείχον B.

παρασκευασάμενοι L.N.O.P.Q.

7. De Panormo vid. Pausan. Achaic. cap. XXII. De Rhio Molycrico, quod et Antirrhion, Holsten. ad Steph. Ῥίον, et Palmer. Græc. Ant. IV. 20. Duk.

9. τὸ ῥίον om K.

πολυκρικὸν A.B.h.

10. ὡρμήσατο C. ὁρμήσατο e.

εἴκοσιν om. P.

11. φίλον g.

13. διείχετον A.B.C. et plerique omnes, nisi quod f.g. διειχέτην habere videntur. Vide Buttmannum (Sprachlehre I. p. 349.)

τῆς om. e.

14. κρισσαίου O. κρησσαίου e.

16. ὡρμήσαντο C.

17. πεντήκοντα C.I.

ρας ἀνθώρμουν ἀλλήλοις, μελετῶντές τε καὶ παρασκευαζόμενοι τὴν ναυμαχίαν, γνώμην ἔχοντες οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχωρίαν, φοβούμενοι τὸ πρότερον πάθος, οἱ δὲ μὴ ἐσπλεῖν ἐς τὰ στενὰ, νομίζοντες πρὸς ἐκείνων εἶναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. ἔπειτα ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι τῶν Πελοποννησίων στρατηγοὶ, βουλόμενοι ἐν τάχει τὴν ναυμαχίαν ποιῆσαι πρίν τι καὶ ἀπὸ τῶν Ἀθηναίων ἐπιβοηθῆσαι, ξυνεκάλεσαν τοὺς στρατιώτας πρῶτον, καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν πρότεραν ἧσσαν φοβουμένους καὶ οὐ προθύμους ὄντας παρεκελεύσαντο καὶ ἔλεξαν τοιάδε.

87. * " Ἡ MEN γενομένη ναυμαχία, ὦ ἄνδρες Πελοπον- Cnemus mi-
" νήσιοι εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλου- lites suos,

2. Γνώμην] σκοπόν. Οἱ μὲν] οἱ Πελοποννήσιοι. 4. Οἱ δὲ] οἱ Ἀθηναῖοι. 12. Ἡ μὲν γενομένη ναυμαχία] ἡ στάσις πραγματικὴ, ἄγραφος, εἶδους συμβουλευτικοῦ. 13. Τὴν μέλλουσαν] ναυμαχίαν.

1. τε om. K.i.

2. οἱ μὲν om. P.

Οἱ μὲν—φοβούμενοι] Agnoscit Suidas in Ῥία. qui Ῥία, ἀκρωτήρια contra Historici mentem interpretatur. Vid. Etymologum et Hesych. in Ῥίων. Expositio vera est, exemplum non quadrat. Homerus Ἥρη δ' ἀΐξασα λίπεν Ῥ'ΙΟΝ Οὐλύμποιο. Wass. Fortassis defendi potest Suidas. Ῥία in universum sunt, ut recte dicit, omnia ἀκρωτήρια, ὄρους ὄρθια, καὶ τὰ ἐπὶ θάλασσαν ἐγκείμενα. Jam vero satis certum est, utrumque Ῥίων, de quo hic agit Thucydides, a veteribus Scriptoribus appellari, et fuisse ἄκραν, et ἀκρωτήριον, et locum in mare procurrentem. Vid. Palmer. l. d. Schol. Theocr. in I. 126. Τὸ Ῥίον ἀκρωτήριόν ἐστι τῆς Πελοποννήσου ἐναντίως τῷ καλουμένῳ Ἀντιρρίῳ τετραμμένον. In iis, quæ ibi paullo ante leguntur de Helice, ἣ ὄνομα πόλεως πρὸς τῷ ὄρει τῷ Ἀχαϊκῷ, videtur idem vitium esse, quod e Pausan. Phocic. cap. XI. sustulerunt Palmerius et Kuhnius, et pro ὄρει legendum Ῥίῳ ut et infr. in Schol. cap. XC. τῶν Ῥίων cum Cass. pro τῶν ὁρίων. Vid. Casaub. Lect. Theocrit. cap. II. Duk.

3. ῥίων] ὁρίων I.e.

4. ἐκπλεῖν B.I.e.h.

5. Πρὸς ἐκείνων εἶναι] Thom. Magist. Τῷ πρὸς Ἀττικοὶ εἰς τὴν σημασίαν τοῦ ὑπὲρ χρῶνται ἐνίοτε. Θουκυδ. οἱ δὲ—εἶναι. Add. Steph. ad Script. de Dialect. pag. 32. Duk.

12. ἄνδρες om. c.

ob priorem cladem adhuc timidos, cohortatur et forti animo esse jubet.

" σαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. τῇ
" τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥσπερ ἴστε καὶ οὐχὶ
" ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν ἐπλέομεν· ξυν-
" έβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι,
" καί πού τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφη-
" λεν. ὥστε οὐ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσᾶσθαι
" προσεγένετο, οὐδὲ δίκαιον τῆς γνώμης τὸ μὴ κατὰ
" κράτος νικηθὲν, ἔχον δέ τινα ἐν αὑτῷ ἀντιλογίαν, τῆς
" ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι, νομίσαι δὲ ταῖς
" μὲν τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους,
" ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι,
" καὶ μὴ ἀπειρίαν τοῦ ἀνδρείου παρόντος προβαλλομένους
" εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. ὑμῶν δὲ οὐδ' ἡ
" ἀπειρία τοσοῦτον λείπεται, ὅσον τόλμῃ προέχετε· τῶνδε
" δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρίαν μὲν

1. Τέκμαρσιν] στοχασμόν. 4. Οὐκ ὀλίγα] ὁ ἄνεμος, καὶ ἡ ἐν κύκλῳ τάξις τῶν νεῶν, καὶ τὸ μὴ ταχέως αὐτοὺς ἐπιχειρῆσαι τῇ ναυμαχίᾳ, ἀλλὰ τὴν τοῦ Φορμίωνος ἀναμένειν διὰ τοῦ ἀνέμου στρατηγίαν. 5. Ἔσφηλε] σφαλῆναι ἐποίησεν. 7. Οὐδὲ δίκαιον τῆς γνώμης] τὸ ἐξῆς, οὐ δίκαιον τῆς γνώμης τὸ μὴ νικηθὲν κατὰ κράτος, ἀμβλύνεσθαι. 8. Τῆς ξυμφορᾶς τῷ ἀποβάντι] τῇ ἀποβάσῃ συμφορᾷ. 9. Ἀμβλύνεσθαι] ἀναπίπτειν. 11. Ὀρθῶς εἶναι] ἔχειν τοὺς ἀνθρώπους ἑστηκυῖαν τὴν γνώμην καὶ μὴ ὑποπεπτωκυῖαν τοῖς δεινοῖς. 13. Κακοὺς γενέσθαι] ἀπὸ κοινοῦ δὲ τὸ δίκαιον. 14. Προέχετε] τῶν Ἀθηναίων δηλονότι. 15. Ἡ ἐπιστήμη] ἡ γυμνασία, ἡ

1. οὐ K.
ἐκφοβεῖσθαι I.
5. τι] τοι c.f.
ἡ om. K.
6. ὥστε om. b.
ἡσσᾶσθαι C.G.c.e.f. ἡσσηθῆναι L.O.P.
7. μὴ om. B.
8. δὲ] τε A.
τῆς τε ξυμφορᾶς B.H.c.d.f.g.h. i. τῆς γε ξυμφορᾶς C.Q e.
9. ἀλγύνεσθαι c.
11. ἀεὶ om. d.i.
ὀρθῶς ἀνδρείους C.I.L.O.P. ὀρθῶς εἶναι ἀνδρείους c.e.
12. παρόντος om. F. ante ἀνδρείου ponit Q.
13. ἄν] ἄρα Q.
οὐχ ἡ ἀπειρία P. αὐ δὴ ἀπειρία c. d.g.
14. προσέχετε A.C.e.
15. δὲ om. C.e.
ἀνδρείας d.i.

" ἔχουσα καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμα-
" θεν, ἄνευ δὲ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κιν-
" δύνους ἰσχύει. φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ
" ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. πρὸς μὲν οὖν τὸ ἐμπειρότε-
" ρον αὐτῶν τὸ τολμηρότερον ἀντιτάξασθε, πρὸς δὲ τὸ διὰ
" τὴν ἧσσαν δεδιέναι τὸ ἀπαράσκευοι τότε τυχεῖν. περι-
" γίγνεται δὲ ὑμῖν πλῆθός τε νεῶν, καὶ πρὸς τῇ γῇ οἰ-
" κείᾳ οὔσῃ, ὁπλιτῶν παρόντων, ναυμαχεῖν· τὰ δὲ πολ-
" λὰ τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ
" κράτος ἐστίν. ὥστε οὐδὲ καθ' ἓν εὑρίσκομεν εἰκότως
" ἂν ἡμᾶς σφαλλομένους. καὶ ὅσα ἡμάρτομεν πρότερον,
" νῦν αὐτὰ ταῦτα προσγενόμενα διδασκαλίαν παρέξει.
" θαρσοῦντες οὖν καὶ κυβερνῆται καὶ ναῦται τὸ καθ'
" ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ προλείποντες, ἣ ἄν
" τις προσταχθῇ. τῶν δὲ πρότερον ἡγεμόνων οὐ χεῖρον
" τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν, καὶ οὐκ ἐνδώ-
" σομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις ἄρα
" καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ, οἱ δὲ

μελέτη. 1. Ἐν τῷ δεινῷ] τῷ πολέμῳ. 3. Ἐκπλήσσει] ἐξωθεῖται, ἐκκρούει. 8. Τὰ δὲ πολλὰ] ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πολύ. οὐκ εἶπε δὲ ἀεὶ διὰ τὸ ἄδηλον τῆς τύχης. 12. Προσγενόμενα] προσκτηθέντα. 14. Χώραν] ἀντὶ τοῦ τάξιν. 15. Τῶν δὲ πρότερον ἡγεμόνων] τῶν καταναυμαχηθέντων ὑπὸ Φορμίωνος· λέγει δὲ τοὺς περὶ Μαχάονα καὶ Ἰσοκράτην. 16. Τὴν ἐπιχείρησιν] τῆς παρασκευῆς τοῦ πολέμου δηλονότι. 18. Οἱ δὲ ἀγαθοὶ] οἱ γεν-

1. ἔξειν I.
3. ἐπιπλήσσει d.i.
4. Ἄνευ—ὠφελεῖ] Stobæus p. 88. ex Cnici orat. (corrige *Cnemi*,) pro ἀλκῆς habet αὐτῆς. hinc emenda. Locum æmulatus est Sallustius Catil. cap. 60. *timor animi auribus officit.* ἐκπλήττει habent Plutarchi Codd. Moral. 333. Wass. Ἐκπλήσσει Thom. Magist. h. v. Duk.
5. τὸ ante τολμηρότερον om. H. L.O.P.
6. ἀπαράσκευοί γε τότε G.
7. ἡμῖν P.
9. πλεόνων C.L.O.
11. πρῶτον L.O.P.
14. ἑαυτοὺς L.O. ἑαυτῶν e. προλείποντες A.B.F.H.N.Q.c.g. h.i. ceteri λείποντες.
16. ἡμεῖς τὴν ἐπιχείρησιν e.

" ἀγαθοὶ τιμήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρε-
" τῆς."

88. Item Phormio, timore suorum animadverso,

* Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρε-
κελεύσαντο. ὁ δὲ Φορμίων δεδιὼς καὶ αὐτὸς τὴν τῶν
στρατιωτῶν ὀρρωδίαν, καὶ αἰσθόμενος ὅτι τὸ πλῆθος τῶν
νεῶν κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι ἐφοβοῦντο, ἐβούλετο
ξυγκαλέσας θαρσῦναί τε καὶ παραίνεσιν ἐν τῷ παρόντι
ποιήσασθαι. πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε, καὶ
προπαρεσκεύαζε τὰς γνώμας, ὡς οὐδὲν αὐτοῖς πλῆθος
νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ, ὅ τι οὐχ ὑπομενετέον αὐτοῖς
ἐστί· καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν
ἀξίωσιν ταύτην εἰλήφεσαν, μηδένα ὄχλον Ἀθηναίοις ὄντες
Πελοποννησίων νεῶν ὑποχωρεῖν. τότε δὲ πρὸς τὴν παροῦ-
σαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας ἐβούλετο ὑπόμνησιν
ποιήσασθαι τοῦ θαρσεῖν, καὶ ξυγκαλέσας τοὺς Ἀθηναίους
ἔλεξε τοιάδε.

89. Cohortandi causa eos alloquitur.

" Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους
" τὸ πλῆθος τῶν ἐναντίων ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ

ναῦσι. 1. Τιμήσονται] ἀντὶ τοῦ τιμηθήσονται. 6. Ξυνιστάμενοι] συναθροιζόμενοι. 11. Τὴν ἀξίωσιν] τὴν πεῖραν. 12. Μηδένα—ὑποχωρεῖν] σημείωσαι τὴν σύνταξιν. 18. Τῶν νεῶν] γράφεται τῶν ἐναντίων. Ξυνεκά-

1. τιμηθήσονται L.O.
Τιμήσονται] Pro τιμηθήσονται dictum adnotat Scholiastes. Sic I. 142. Τῇ τῶν χρημάτων σπάνει κωλύσουσιν, pro κωλυθήσονται. Euripid. Hecub. 905. Σὺ μὲν ὦ πατρὶς Ἰλιὰς Τῶν ἀπορθήτων πόλις Οὐκέτι λέξῃ. Schol. οὐδαμῶς κληθήσῃ πόλις τῶν ἀπορθήτων. Vid. supr. ad I. 81. Steph. Append. ad Script. de Dialect. p. 147. et Barnes. ad Euripid. Helen. v. 359. Duk.
5. τὸ om. g.
7. ξυγκαλέσας i. om. d.
8. μὲν om. g.
αὐτοὺς A.B.C.K.c.g.
ἔλεγε om. F.
9. παρεσκεύαζε c.
10. τοσοῦτον A.B.K.g.
αὐτοῖς om. e.
11. Ἐν σφίσιν—ὑποχωρεῖν] Citat Th. Mag. in v. ἀξιῶ. Wass.
13. δὴ c.
14. ὁρῶν τε αὐτοὺς e.
16. ἔλεγε L.O.c.e.
17. ὦ ἄνδρες om. g. ἄνδρες om. c.f.
στρατιῶται] ἀθηναῖοι d.i.
18. Οὐκ ἀξιῶν] Vid. quæ de hoc loquendi genere adnotat

" δεινὰ ἐν ὁρμῇ ἔχειν. οὗτοι γὰρ πρῶτον μὲν, διὰ τὸ
" προνενικῆσθαι καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὁμοίοι ἡμῖν εἶναι,
" τὸ πλῆθος τῶν νεῶν, καὶ οὐκ ἀπὸ τοῦ ἴσου, παρεσκευ-
" άσαντο· ἔπειτα, ᾧ μάλιστα πιστεύοντες προσέρχονται,
" ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι
" θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω
" κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ
" ποιήσειν τὸ αὐτό. τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον
" νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ, ἐπεὶ εὐψυ-
" χία γε οὐδὲν προφέρουσι, τῷ δὲ ἑκάτεροί τι ἐμπειρό-
" τεροι εἶναι θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγού-
" μενοι τῶν ξυμμάχων διὰ τὴν σφετέραν δόξαν ἄκοντας
" προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον, ἐπεὶ οὐκ ἄν
" ποτε ἐπεχείρησαν ἠσσηθέντες παρὰ πολὺ αὖθις ναυμα-
" χεῖν. μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε. πολὺ δὲ ὑμεῖς
" ἐκείνοις πλέω φόβον παρέχετε καὶ πιστότερον, κατά
" τε τὸ προνενικηκέναι, καὶ ὅτι οὐκ ἂν ἡγοῦνται μὴ μέλ-
" λόντάς τι ἄξιον τοῦ παρὰ πολὺ πράξειν ἀνθίστασθαι
" ὑμᾶς. ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι, τῇ

λεσα] εἰς ταυτὸν συνήγαγον. 1. Οὗτοι γὰρ] οἱ Λακεδαιμόνιοι. 9. Ἐν ἐκείνῳ] ἐν τῇ πεζομαχίᾳ. 10. Οὐδὲν προφέρουσι] κατὰ τὴν ναυμαχίαν. 14. Παραπολὺ] ὑπερβαλλόντες. 17. Καὶ ὅτι οὐκ ἄν] ὁ νοῦς οὗτος, ἡγοῦνται οἱ ἐχθροὶ μὴ ἀνθίστασθαι ἡμᾶς ἄλλως ἢ μέλλοντάς τι γενναῖον πρᾶξαι. 19. Ἀντίπαλοι] θαῤῥοῦντες ἀντιπαλαίειν.

Steph. in Append. ad Script. de Dialect. pag. 127. Duk.

2. ἡμῖν om. K.Q.
3. καὶ om. L.O.P.
6. τὰ πλέω C.
7. οἴονται] οἰόν τε A.B.g.h.
10. τι om. A.B.F.H.N.
11. εἶναι ἐμπειρότεροι C.L.O.e. θαρσύτεροι L.
12. τῶν] αὐτῶν M. et, omisso ξυμμάχων, C.I.e.
13. προάγουσι G.K.c.
14. ἐπεχείρησαν A.B.F.G.H.K. N.c.f. cum Stobeeo: vulgo ἐνεχείρησαν.
15. δὴ] δι' C. τόλμην i.
16. πλέων C.I. om. e.f.g. φόβον πλέω L.O.P.
17. ἡγῶνται g.
19. ἡμᾶς plerique omnes.

" δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ
" δ' ἐκ πολλῷ ὑποδεεστέρων, καὶ ἅμα οὐκ ἀναγκαζό-
" μενοι, μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντι-
" τολμῶσιν. ἃ λογιζόμενοι οὗτοι τῷ οὐκ εἰκότι πλέον
" πεφόβηνται ἡμᾶς ἢ τῇ κατὰ λόγον παρασκευῇ. πολ-
" λὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ
" ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς
" νῦν μετέχομεν. τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἑκὼν
" εἶναι ποιήσομαι, οὐδὲ ἐσπλεύσομαι ἐς αὐτόν. ὁρῶ γὰρ
" ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν
" ἐμπείροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμ-
" φέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβο-
" λήν, μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ,
" οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι πιεζόμενος· διέκπλοι
" τε οὐκ εἰσὶν οὐδὲ ἀναστροφαί, ἅπερ νεῶν ἄμεινον πλε-
" ουσῶν ἔργα ἐστίν, ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν

2. Πολλῷ] τῷ μέτρῳ. Οὐκ ἀναγκαζόμενοι] ἡμεῖς δηλονότι οἱ Ἀθηναῖοι. 8. Ἑκὼν εἶναι] τὸ εἶναι παρέλκει Ἀττικῶς. οὐδὲν γὰρ ἐν ταῖς τοιαύταις συντάξεσι δηλοῖ. 12. Ἐπιπλεύσειε] κατὰ τῶν ἐναντίων ἐπέλθοι. 13. Μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων] μὴ ὁρῶν τοὺς πολεμίους. Ἐκ πολλοῦ] λείπει διαστήματος. 14. Διέκπλοι] τὸ ἐμβάλλειν καὶ διασχίζειν τὴν τῶν ἐναντίων τάξιν. ἀναστροφαὶ δὲ αἱ εἰς τοὐπίσω ὑποχωρήσεις.

2. πολλῶν] C.I.H.K.M.N.b. d.g.i.
3. μέγα τι] μέγιστα C.e.
τῆς om. g.
4. οὐκ] γε f.
6. καὶ om. L.
ἐλαττόνων L.O.P.
8. Ἑκὼν εἶναι] De hoc Attico genere loquendi Steph. ad Script. de Dialect. pag. 26. et Thom. Magist. in ἑκών, ubi ex memoria hæc ita refert: οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι τὴν ναυμαχίαν ποιήσομαι. Duk.
9. πλεύσομαι C.I.b. ἐσπλεύσομαι d.i.
11. ἐμπείροις A.B.F.H.K.N.c. f.g.h.i. vulgo ἐμπείρως.
12. ἐς] ὡς g.
ἐκβολὴν c.
13. πρόσοψιν] Immo πρόψιν.
πολεμίων ἐναντίων ἐκ L.O.P.
Πολεμίων] Suspicor legendum ἐναντίων loco πολεμίων. Noster IV. Μὴ τοὺς ἐναντίους οὕτω κακῶς ὁρῶν, ὥστε αὐτοὺς τὰ πλείω βλάπτεσθαι. Wass. Thom. Magist. in πρόσοψις sequitur lectionem vulgatam. Πρόσοψιν e Thucydide adnotat Pollux II. 58. Duk.

" πεζομαχίαν καθίστασθαι, καὶ ἐν τούτῳ αἱ πλείους
" νῆες κρείσσους γίγνονται. τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν
" πρόνοιαν κατὰ τὸ δυνατόν· ὑμεῖς δὲ εὔτακτοι παρὰ
" ταῖς ναυσὶ μένοντες τά τε παραγγελλόμενα ὀξέως δέ-
" χεσθε, ἄλλως τε καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως οὔ-
" σης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου
" ἡγεῖσθε, ὃ ἔς τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει
" καὶ ναυμαχίᾳ οὐχ ἥκιστα, ἀμύνασθε δὲ τούσδε ἀξίως
" τῶν προειργασμένων. ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ κατα-
" λῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ, ἢ ἐγ-
" γυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς
" θαλάσσης. ἀναμιμνήσκω δ' αὖ ὑμᾶς ὅτι νενικήκατε
" αὐτῶν τοὺς πολλούς. ἠσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέ-

1. Ἐν τούτῳ] ἐν τῷ πεζομαχεῖν. 2. Τούτων μὲν οὖν ἐγὼ] τὸ ἐπιχείρημα ἐκ τοῦ συμφέροντος. 4. Τά τε παραγγελλόμενα] τὰ τῆς παραινέσεως ἔργα. Ὀξέως] σπουδαίως. 5. Τῆς ἐφορμήσεως οὔσης] τῶν πολεμίων. 6. Καὶ ἐν τῷ ἔργῳ] ἤτοι ἐν τῷ πολέμῳ. κόσμον ἔχετε. καὶ σιγὴν καὶ συμφέρον ἂν τοῖς μετιοῦσιν ἐπιτοπολὺ τὰ πολεμικά, καὶ μάλιστα τοῖς ναυμαχοῦσιν.

2. γίγνονται κρείσσους Q.
οὖν ἐγὼ om. K.
3. ἄτακτοι I.
παρά τε ταῖς K. παρὰ ταῖς τε A.B.F.H. περὶ ταῖς g.
4. τὰ, omisso τε, e.
5. τῆς ἐφορμίσεως B. τῆς τῶν πολεμίων ἐφορμίσεως g.
7. ἡγεῖσθε] ποιεῖσθε I.L.O.P.e.
ὅσπερ N. ceteri ὅστε: quod reposui ὃ ἔς τε, e conjectura est Stephani.
πολεμίων C.M.
καὶ ξυμφέρει A.B.F.G.H.g. h.i.
8. ἀμύνασθε A.B.G.H.N.b.c.d. f.g.h.i. ceteri ἀμύνεσθε.
δὲ A.B.H.c.d.g.h.i. οὖν f. om. G.K. ceteri τε.
τούσδε] τάδε f.
10. τῶν πελοπ. g.
11. τῆς om. L.P.
12. αὖ] ἂν B.d.h.i.
13. Ἠσσημένων—εἶναι] Stobæus pag. 97. qui agnoscit τούς. Aristophanes ἱππ. Ὡς ἂν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ Δειλὲν εὑρήσεις. Arellius Fuscus apud Senecam Suasor. v. " Sic fuga-
" tum creditis Xerxen, ut rever-
" ti possit? At nescio quomodo
" languet circa memoriam jactu-
" ræ animus. Prior enim *metus*
" futuri *pignus* est. *Amissa* ne
" audeat, amissurum monent.
" Omnis exest animum clades,
" ubi ignominia spem premit,
" ubi nullam meminit aciem,
" nisi quæ fugerat, *errat* circa
" *damna* sua, et, quæ male ex-
" pertus est, vota deponit." Scipio apud Livium: " cum iis vo-

" λουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοῖαι
" εἶναι."

90—92. Descriptio navalis prœlii e regione Naupacti in sinu Crisæo, sive Corinthiaco. Primum novem Atheniensium naves vel corrumpuntur, vel capiuntur a Peloponnesiis, reliquæ Naupactum fugiunt, ubi, prœlio iterato, totam Peloponnesiorum clas-

* Τοιαῦτα δὲ καὶ ὁ Φορμίων παρεκελεύετο. οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι οὐκ ἐπέπλεον ἐς τὸν κόλπον καὶ τὰ στενὰ, βουλόμενοι ἄκοντας ἔσω προαγαγεῖν αὐτοὺς, ἀναγόμενοι ἅμα ἕω ἔπλεον, ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς, ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοῦ κόλπου, δεξιῷ κέρᾳ ἡγουμένῳ, ὥσπερ καὶ ὥρμουν· ἐπὶ δ' αὐτῷ εἴκοσι ἔταξαν τὰς ἄριστα πλεούσας, ὅπως, εἰ ἄρα νομίσας ἐπὶ τὴν Ναύπακτον αὐτοὺς πλεῖν ὁ Φορμίων καὶ αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ἐπίπλουν σφῶν οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως, ἀλλ' αὗται αἱ νῆες περικλήσειαν. ὁ δὲ, ὅπερ ἐκεῖνοι προσεδέχοντο, φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι, ὡς ἑώρα ἀναγομένους αὐτοὺς, ἄκων καὶ κατὰ σπουδὴν ἐμ-

6. Ἐπὶ τεσσάρων ταξάμενοι] ἀντὶ τοῦ κατὰ τέσσαρας αὐτὰς ποιήσαντες. 7. Ἐπὶ τὴν] ἀντὶ τοῦ παρὰ τήν. Ἔσω ἐπὶ τοῦ κόλπου] ἐσωτέρω τῶν Ῥίων, ἐν τῷ Κρισαίῳ κόλπῳ. 8. Ἐπὶ δ' αὐτῷ] τῷ κέρατι. 10. Ἐπὶ τὴν Ναύπακτον] ἔσω γὰρ ἐν τῷ κόλπῳ ἔκειτο ἡ Ναύπακτος. 11. Ταύτῃ] τῇ ὁδῷ. 13. Ὁ δὲ] ὁ δὲ Φορμίων ὡς ἑώρα τοὺς Πελοποννησίους, ἄκων κατὰ σπουδὴν τοὺς στρατιώτας ἐμβιβάσας εἰς τὴν ναῦν ἔπλει. 14. Προσεδέχοντο] ἤλπιζον. Περὶ τῷ χωρίῳ] τῆς Ναυπάκτου δηλονότι. Ἐρήμῳ ὄντι] βοηθείας δη-

" bis pugnandum, quos terra
" marique vicistis. Erit igitur
" in hoc certamine is vobis illis-
" que *animus*, qui Victoribus et
" Victis esse solet." Confer Thucyd. VII. 61. Wass.

1. τοὺς om. L.

3. τοιαῦτα μὲν τοιαῦτα δὲ e.g. τοιαῦτα δὲ C.g. vulgo τοιαῦτα μὲν.
καὶ om. d.
παρεκελεύετο A.B.H.N.d.h. παρεσκευάσατο O. vulgo παρεκελεύσατο.

4. οἱ om. b.
ἔπλεον L.N.O.
ἐς om. b.

5. εἴσω C.
6. ἀναγαγόμενοι C.e.
ἕως P.
7. ἐπὶ] παρὰ C.I.b.e.
ἑαυτῶν om. I.e.

8. ἡγουμένῳ A.B.H.N.b.c.g.h. vulgo ἡγουμένου.
καὶ om. h.

9. εἴκοσι A.B.F.H.N.g.h. ceteri εἴκοσι ναῦς.

11. αὐτῇ C.e.

13. αὗται K.L.O.
περικλήσειαν C. περικλείσειαν, priore diphthongo correcta, C.

βιβάσας ἔπλει παρὰ τὴν γῆν· καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρεβοήθει. ἰδόντες δὲ οἱ Πελοποννήσιοι κατὰ μίαν ἐπὶ κέρως παραπλέοντας καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ, ὅπερ ἐβούλοντο μάλιστα, ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν ἔπλεον, ὡς εἶχε τάχους ἕκαστος, ἐπὶ τοὺς Ἀθηναίους, καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι. τῶν δὲ ἔνδεκα μὲν, αἵπερ ἡγοῦντο, ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας καὶ διέφθειραν, ἄνδρας τε τῶν Ἀθηναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν. καὶ τῶν νεῶν τινὰς ἀναδούμενοι εἵλκον κενὰς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον· τὰς δέ τινας οἱ Μεσσήνιοι, παραβοηθήσαντες καὶ ἐπεσβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν καὶ ἐπιβάντες, ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι ἀφείλοντο

sem, perturbatam ac trepidantem, in fugam convertunt, sex naves capiunt, susque recipiunt. Tropæa utrimque erecta. Peloponnesii Corinthum abeunt.

λονίτι. 1. Τὴν γῆν] τὴν οἰκείαν δηλονότι. 2. Κατὰ μίαν ἐπὶ κέρως] ὡς ἂν εἰ ἔλεγε, μίαν κατακολουθοῦσαν τῇ ἑτέρᾳ. τοῦτο γὰρ τὸ ἐπὶ κέρως καλεῖ. 5. Ἀπὸ σημείου ἑνὸς] ὡς ἂν εἰ ἔλεγε, μὴ πολλῶν παρακελεύσεων δεηθέντες, ἀλλ' εἰθὺς τοιοῦντες ὅπερ ἐδόκει. (τὸ δὲ σημείου, ἀντὶ τοῦ μιλίου.) δύναται δὲ λέγειν καὶ τὸ σύνθημα. Ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν ἔπλεον] τὸ μὲν ἐπιστρέψαντες εἶπεν, ὅτι ἦν ἄνω εἰκὼν, ἐπειδὴ κατ' εὐθεῖαν ἔπλεον· νῦν δὲ οὐκέτι· τὸ δὲ μετωπηδὸν, πάλιν τὸ κατ' εὐθεῖαν πλέειν ἐστί. τὸ γὰρ μέτωπον τῆς νεὼς ἡ πρῷρα ἐστί. λέγει οὖν ὅτι τὰ μέτωπα, ὅ ἐστι τὰ πρόσωπα τῶν νεῶν, παρεῖχον τοῖς ἐναντίοις. 7. Τῶν δὲ] τῶν νεῶν τῶν Ἀθηναίων. 10. Ἐξέωσαν] πρὸς τὴν γῆν ὠκείλαι ἐποίησαν, ἐξέκλιναν τῆς προκειμένης ὁδοῦ. 12. Ἐξένευσαν] ἐξεκολύμβησαν.

1. ὁ om. P.
3. ἐπικαίρως G.
παραπλέοντας om. g.
5. ἐπιστρέψαντες C.I.
8. μὲν A.B.F.G.H.N.P.c.g.h. ceteri μέν τινες.
12. Ἐξένευσαν] Suidas h. v. τὰς δὲ ἄλλας ναῦς. addit de suo ναῦς, et sequentia ita legit, ἐπικατ. ἐ. τ. π. τ. γῆν, καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐ. ἀ. cæteris omissis perperam. Phavorin. hæc tantum habet, καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐξέν. αὐτ'. Wass.
13. Ἀναδούμενοι] Thom. Mag. in ἀναδησάμενος laudat ita: καί τινας ἀναδούμενοι κενὰς εἵλκον. Wass.
14. εἶχον C.e.
ἤδη] om. L.P.
περιβοηθήσαντες g.
15. ἐς τὴν] ἐπὶ c.

91. ἑλκομένας ἤδη. * ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι ἐκράτουν τε καὶ ἔφθειραν τὰς Ἀττικὰς ναῦς· αἱ δὲ εἴκοσι νῆες αὐτῶν, αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως, ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν Ἀθηναίων, αἵπερ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. καὶ φθάνουσιν αὐτοὺς πλὴν μιᾶς νεὼς προκαταφυγοῦσαι ἐς τὴν Ναύπακτον, καὶ ἴσχουσαι ἀντίπρωροι κατὰ τὸ Ἀπολλώνιον παρεσκευάζοντο ἀμυνούμενοι, ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσιν. οἱ δὲ παραγενόμενοι ὕστερον ἐπαιώνιζόν τε ἅμα πλέοντες ὡς νενικηκότες, καὶ τὴν μίαν ναῦν τῶν Ἀθηναίων, τὴν ὑπόλοιπον,

1. Ταύτῃ] οὕτως. ἢ ἀντὶ τοῦ κατὰ τοῦτο τὸ μέρος. 6. Καὶ ἴσχουσαι] ἐλλιμενίζουσαι. ἄλλη ἀρχὴ τὸ καὶ ἴσχουσαι. Ἀντίπρωροι] ἔχουσαι τὰς πρώρας πρὸς τὸ πέλαγος ὁρώσας· τοῦ γὰρ φεύγειν ἐπαύσαντο. Ἀντίπρωροι] γεγονῦαι δηλονότι. 7. Τὸ Ἀπολλώνιον] ἱερὸν Ἀπόλλωνος ἐν τῷ λιμένι. 8. Οἱ δὲ] οἱ Πελοποννήσιοι. 10. Τὴν ὑπόλοιπον] τὴν ὑστερήσασαν.

1. οὖν om. c.
2. ἔφθειρον A.G.H.K. διέφθειρον L.O.P.c.e.f.g. διέφθειραν C.
4. ὑποστροφὴν A.B.F.H.K.N.c. g.h.
5. αὐτὰς K.g.
νηὸς I.
6. καταπροφυγοῦσαι e.
ἐς] πρὸς C.e.
σχοῦσαι F.H.Q.
7. τὸ om. A.B.F.H.
Ἀπολλώνιον] Ita legendum censet Suidas h. v. in penult. atque ita Aristoteles in Opusc. p. 108. Wass. Suidas præterea tribus aliis locis inculcat semper scribendum esse Ἀπολλώνιον, pro templo Apollinis, item Ποσειδώνιον, Διονύσιον, Δημήτριον, et alia hujus generis. Vid. eum in Ἀθήναιον, Δημήτριον, et Ποσειδώνειον, ubi tamen contra, quam in superioribus tradiderat, Ποσειδώνειον per diphthongum scribi dicit. Pluribus de his agit Eustathius in Homer. Od. ζ'. p. 1562. ubi hæc quoque leguntur: σημείωσαι δὲ, ὅτι πολλὰ περιεκτικὰ διφορεῦνται παρὰ τοῖς παλαιοῖς· ὃν καὶ τὸ ῥηθὲν Ἀπολλώνιον, διὰ τοῦ ι. κατά τινας δὲ διὰ διφθόγγου, κατὰ τὸ Ἡρακλειον. καθ' ἑτέρους δὲ, Ἀπολλωνεῖον, ὡς Ἰσεῖον. Add. Kuhn. ad Pausan. Corinth. cap. XXVI. Duk.
κατεσκευάζοντο g.
ἀμυνόμενοι A. ἀμυνάμενοι L.
8. πλέωσιν A.B.C.F.H.I.K.L. N.O.P.c,d.e.h. vulgo ἐπιπλέωσιν.
παραγενόμενοι A.B.C.I.g.h.i. ceteri παραγιγνόμενοι.
9. ἐπαιάνιζον I.L.O.c.e.
Ἐπαιώνιζον] Non ἐπαιάνιζον, sed ἐπαιώνιζον, meum vetus exemplar habet, ac memini me et alibi legere: quamvis alioqui sciam, videri novum posse *lætum pæona canentes*, pro illa recepta lectione, *lætum pæana canentes*. Steph. Παιανίζειν D. Hal. passim. Noster Herodotum sequitur. Wass. Vid. supr. ad I. 50. Duk.

ἐδίωκε Λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα τῇ Λευκαδίᾳ διωκούσῃ ἐμβάλλει μέσῃ, καὶ καταδύει. τοῖς μὲν οὖν Πελοποννησίοις γενομένου τούτου ἀπροσδοκήτου τε καὶ παρὰ λόγον φόβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν, αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι, αἱ δὲ καὶ ἐς βράχεα ἀπειρίᾳ χωρίων ὤκειλαν. * τοὺς δ' Ἀθηναίους ἰδόντας ταῦτα 92.
γιγνόμενα θάρσος τε ἔλαβε, καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες ἐπ' αὐτοὺς ὥρμησαν. οἱ δὲ διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα καὶ τὴν παροῦσαν ἀταξίαν ὀλίγον μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πά-

2. Ὁλκὰς] ἡ ἐμπορικὴ ναῦς. 7. Ἐπέστησαν τοῦ πλοῦ] διὰ τὸ ἐγγύθεν ἀντεκπλεῖναι τοὺς Ἀθηναίους. 14. Ὑπέμειναν] ἐδέξαντο τὸ ἐμβάσιμον τῶν Ἀθηναίων. Τὸν Πάνορμον] σημείωσαι· ὁ Πάνορμος.

1. μία ναῦς C.

2. Ὁλκὰς] Agnoscit Suidas h. v. Wass.

3. φθάσασα τῇ A.B.h.i. φθάσασα καὶ διαπλεύσασα τῇ f. φθάσασα καὶ περιπλεύσασα τῇ ceteri.

λευκαδίᾳ διωκούσῃ A.B.C.G.H. K.L.O.P.c.e.f.g.h.i. vulgo διωκούσῃ λευκαδίᾳ.

μέσαν N.

4. οὖν om. g.

τούτου om. L.O.

5. ἀπροσδοκήτου B.C.I.L.e.g.h. vulgo τοῦ ἀπροσδοκήτου.

τε om. A.

παρὰ λόγον B.H.I.L.N.O.P.g. h. ceteri παραλόγου. Sed C. quid habeat, non liquet.

7. καθεῖσαι τὰς κώπας] Vide Gronov. Observ. 4, 26. Duk.

ἔστησαν I.L.N.O.P.e. ἀπέστησαν Q. cum Prisciano 17. pag. 1100.

8. ἀντεφόρμησιν C.e. ἀντεξεφόρμησιν L.O.P.Q.

9. καὶ om. K.

βράχεα H. L. O. βράχεα K. βράγχεα A.B.g. Conf. Lobeck. ad Phrynich. p. 537.

Βραχέα] Βράχη, quod est in Cod. Stephani, habet etiam Pollux I. 115. et alii. Agit de hoc Brod. VI. Miscellan. 24. Duk.

ἀπειρίᾳ χωρίων A.C.F.G.H.P.d. e.g. ἀπειρίᾳ χωρίου B.h.i. ἀπορίᾳ χωρίων L.O. vulgo χωρίων ἀπορίᾳ.

11. κελεύματος C.I.

12. ἐπ'] ἐς I.L.O.P. ὡς e.

14. τὸ C.I.L.O.

νομον, ὅθεν περ ἀνηγάγοντο. ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἐξ καὶ τὰς ἑαυτῶν ἀφείλοντο, ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες τὸ πρῶτον ἀνεδήσαντο· ἄνδρας τε τοὺς μὲν ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. ἐπὶ δὲ τῆς Λευκαδίας νεὼς, ἣ περὶ τὴν ὀλκάδα κατέδυ, Τιμοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτὸν, καὶ ἐξέπεσεν ἐς τὸν Ναυπακτίων λιμένα. ἀναχωρήσαντες δὲ οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν, ὅθεν ἀναγόμενοι ἐκράτησαν· καὶ τοὺς νεκροὺς καὶ τὰ ναυάγια, ὅσα πρὸς τῇ ἑαυτῶν ἦν, ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. ἔστησαν δὲ καὶ οἱ Πελοποννήσιοι τροπαῖον ὡς νενικηκότες, τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἥπερ ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ Ῥίον τὸ Ἀχαϊ-

5. Ἡ περὶ τὴν ὀλκάδα] ἡ περὶ τὴν ὁλκάδα καταδῦσα. 7. Ἔσφαξεν ἑαυτὸν] Λακωνικὸν τὸ φρόνημα τοῦτο, μὴ ὑπ' ἐχθρῶν ἀξιοῦν ἀναιρεθῆναι. 13. Τῆς τροπῆς] ἀντὶ τοῦ ὑπὲρ τῆς τροπῆς. Ἃς πρὸς τῇ γῇ ναῦς] ἀντὶ τοῦ διὰ

1. περ om. L.
ἀνήγοντο C.I.O.P.Q.b.e.
3. Ἃς ἐκεῖνοι] Kuhnius ad Polluc. I. 125. hunc locum ita legit: ἃς ἐκεῖνοι τὸ πρῶτον ἀνεδήσαντο. ἄνδρας δὲ τοὺς μὲν πρὸς τῇ γῇ διαφθείραντες ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. Nam, *si ita locus legatur*, inquit, *omnia bene inter se conveniunt, quod secus est in vulgato*. Non adsequor, quænam illa sint in vulgata scriptura, quæ inter se non conveniant. Nec ulla est ratio, cur verba, πρὸς τῇ γῇ διαφθείραντες, loco moveri, et cum ἄνδρας conjungi debeant. Ipse Thucydides satis tuetur receptam lectionem iis, quæ scribit cap. XC. τὰς δὲ ἄλλας (naves Atheniensium) ἐπικαταλαβόντες (Peloponnesii) ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφεύγουσας, καὶ διέφθειραν—καὶ τῶν νεῶν τινὰς ἀναδούμενοι εἷλκον κενάς. Nec pluribus verbis opus esse puto in re aperta. Duk.
5. καὶ om. K.d.i.
6. περὶ] πρὶν A.g. πρὶν περὶ K.
7. Ἔσφαξεν] Pollux VI. 192. adnotat, Thucydidem dixisse ἔσφαζεν. Dubitat Jungermann. an in Polluce legendum sit ex hoc loco ἔσφαξεν. Si nusquam alibi Thucydides dixit ἔσφαζεν, non est dubitandum. Duk.
αὐτὸν B.H.K.N.c.g.h.i.
8. ναυπάκτιον C.G.I.L.O.f.
9. ἀναγαγόμενοι C.O.
12. καὶ om. f.
οἱ om. C.
13. διέφθειραν ναῦς C.L.O.P.
14. Ἀνέθεσαν] Huc spectare

κὸν παρὰ τὸ τροπαῖον. μετὰ δὲ ταῦτα, φοβούμενοι τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν, ὑπὸ νύκτα ἐσέπλευσαν ἐς τὸν κόλπον τὸν Κρισαῖον, καὶ Κόρινθον, πάντες πλὴν Λευκαδίων. καὶ οἱ ἐκ τῆς Κρήτης Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν, αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι, οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται ἐς τὴν Ναύπακτον. καὶ τὸ θέρος ἐτελεύτα.

93. Spartanorum duces, a Megarensibus inducti, ut, priusquam exercitum navalem dimittant Corintho Megara et Niseam proficiscantur pedestri itinere, navibusque ibi conscensis, Piræeum aggrediantur, hunc

* Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικὸν, ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι ἄρχοντες τῶν Πελοποννησίων ἀρχομένου τοῦ χειμῶνος ἐβούλοντο, διδαξάντων Μεγαρέων ἀποπειρᾶσαι τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων· ἦν δὲ ἀφύλακτος καὶ ἄκλητος, εἰκότως, διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ. ἐνθένδε δὲ λαβόντα τῶν ναυτῶν ἕκαστον τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ τὸν τροπωτῆρα πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν πρὸς Ἀθήνας θάλασσαν, καὶ ἀφικομένους κατὰ τάχος ἐς Μέγαρα, καθελκύσαντας ἐκ Νισαίας, τοῦ νεωρίου αὐτῶν, τεσσαράκοντα ναῦς αἳ ἔτυχον αὐ-

τὰς ναῦς. 2. Τὸ νύκτα] ἀντὶ τοῦ κατὰ τὴν νύκτα. 6. Οὐ πολλῷ ὕστερον] μετ' ὀλίγων τῆς ἀναχωρήσεως τῶν νεῶν τῶν ἐναντίων. 13. Ἐπικρατεῖν] ἰσχύειν τοὺς Ἀθηναίους. 15. Τὸ ὑπηρέσιον] ὑπηρέσιόν ἐστι τὸ κῶας, ᾧ ἐπικάθηνται οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πτυγάς.

videtur Aristophan. Equit. 559. Wass.

2. ἐς κόλπον A.B.K.N.c.d.g.h.i.

3. κρισαίων L.O.P.g. κρησσαίων e.

κορίνθιον C.b.e. κορίνθιοι L.O.P.Q.

ἅπαντες C.I.L.O.P.Q.e.

5. ἃς f.

πρὸ] πρὸς P. εἰς d.

10. οἱ] om. O.e.

11. διδαξάντων μεγαρέων B.C.F.H.K.N.c.g.h.i. ceteri διδ. τῶν μεγαρέων.

12. δὲ καὶ ἀφύλακτος καὶ e.

13. ἄκλητος A.B. ἄκλητος K.h.i.

τὸ ναυτικὸν e.

14. ναυτῶν] αὐτῶν I.

15. Πεζῇ] Vid. Diodor. p. 312. a. Wass.

16. ἀθηναίους C.L.O.P.e.

17. ἐς μέγαρα κατὰ τάχος e. μέγαρά τε καθελκ. g.h. νισσαίας L.O.P. passim.

quidem non tangunt, sed Salaminem vastant et Atheniensium naves tres, quæ ibi in statione erant, capiunt.

τόθι οὖσαι, πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ· οὔτε γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδέν, οὔτε προσδοκία οὐδεμία μὴ ἄν ποτε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν, ἐπεὶ οὐδ' ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν, οὐδὲ εἰ διενοοῦντο, μὴ οὐκ ἂν προαισθέσθαι. ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμενοι νυκτὸς καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας τὰς ναῦς ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι, ὥσπερ διενοοῦντο, καταδείσαντες τὸν κίνδυνον (καί τις καὶ ἄνεμος λέγεται αὐτοὺς κωλῦσαι,) ἐπὶ δὲ τῆς Σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· καὶ φρούριον ἐπ' αὐτοῦ ἦν καὶ νεῶν τριῶν φυλακή, τοῦ μὴ ἐσπλεῖν Μεγαρεῦσι μηδ' ἐκπλεῖν μηδέν. τῷ τε φρουρίῳ προσέβαλον, καὶ τὰς τριήρεις ἀφείλκυσαν κενὰς, τήν τε ἄλλην Σαλαμῖνα ἀπροσδοκήτοις ἐπιπεσόντες ἐπόρθουν.

94. Ubi autem Athenis,

* ἐς δὲ τὰς Ἀθήνας φρυκτοί τε ἤροντο πολέμιοι, καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς

1. Πλεῦσαι] ἀπὸ κοινοῦ τὸ ἐδόκει. 6. Ἀφικόμενοι] εἰς τὰ Μέγαρα δηλονότι. 10. Τὸ ἀκρωτήριον] τὸ Βούδορον καλούμενον. 14. Κενὰς] τῶν ἀνδρῶν δηλονότι. 15. Φρυκτοί] φρυκτοί εἰσι λαμπάδες τινὲς ἀπὸ ξύλων γινόμεναι, ἃς τινας βαστάζοντες ἄνωθεν τῶν τειχῶν ἐσήμαινον τοῖς πλησιοχώροις ἢ τοῖς συμμάχοις, ὅταν τινὰς ἑώρων πολεμίους ἐπιόντας, ὡς ὅτι δεῖ προφυλάξασθαι. οὐ μόνον δὲ ἐπὶ πολεμίων τοῦτο ἐποίουν, ἀλλὰ καὶ ἐπὶ φίλων, ὅταν ἑώρων βοήθειαν αὐτοῖς ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τὰ τῶν φρυκτῶν, ὡς οὐ δεῖ θορυβεῖσθαι. καὶ ὅταν μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντες· ὅταν δὲ πολεμίους, ἐκίνουν τοὺς φρυκτοὺς, δηλοῦντες τὸν φόβον. 16. Ἔκ-

1. εὐθὺς πλεῦσαι g.h.
4. οὐδ'—οὐδὲ] Immo οὔτ'—οὔτε.
τοῦ om. b.
5. εἰ] om. c.
προαίσθεσθαι A.B.
7. ἐκ] ἐπὶ L.O.P.
8. οὐκέτι] οὐ C.
9. alteram καὶ om. G.
Καὶ ἄνεμος] Καὶ post τὶς sæpe abundare ex hoc et pluribus Thucydidis aliorumque locis docet Stephanus ad Script. de Dialect. p. 34. De φρυκτοῖς, de quibus in princ. cap. seq. Lips. V. de Milit. Rom. 9. German. et Cerd. ad Virgil. II. Æneid. 256. Dux.
λέγεται αὐτοὺς A.B.F.H.Q.g.h. vulgo αὐτοὺς λέγεται.
11. αὐτῷ L.O.Q.
12. ἐπιπλεῖν C.G.e.
13. προσέβαλλον C.K.
14. ἐφείλκυσαν g.
ἀπροσδοκήτως e.

τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. οἱ μὲν γὰρ ἐν τῷ ἄστει ἐς τὸν Πειραιᾶ ὠθοῦντο τοὺς πολεμίους ἐσπεπλευκέναι ἤδη, οἱ δ' ἐν τῷ Πειραιεῖ τήν τε Σαλαμῖνα ἠρῆσθαι ἐνόμιζον καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐσπλεῖν αὐτούς· ὅπερ ἄν, εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥᾳδίως ἂν ἐγένετο, καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε. βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ Ἀθηναῖοι ἐς τὸν Πειραιᾶ ναῦς τε καθεῖλκον, καὶ ἐσβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο. οἱ δὲ Πελοποννήσιοι, ὡς ἤσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ, καὶ ἀνθρώπους καὶ λείαν λαβόντες καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου, κατὰ τάχος ἐπὶ τῆς Νισαίας ἔπλεον· ἔστι γὰρ ὅτε καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι καὶ οὐδὲν στέγουσαι ἐφόβουν. ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα πάλιν ἐπὶ τῆς Κορίνθου ἀπεχώρησαν πεζοί· οἱ δ' Ἀθηναῖοι, οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι, ἀπέπλευσαν καὶ αὐτοί· καὶ μετὰ τοῦτο φυλακὴν ἅμα τοῦ Πει-

maximo tumultu orto, omnes navibus conscensis succurrunt, Niseam revertuntur Peloponnesii cum captis navibus et varia praeda.

πληξις ἐγένετο] τοῖς Ἀθηναίοις. 1. Οἱ μὲν γὰρ ἐν τῷ ἄστει] ὄντες δηλονότι. 3. Ἠρῆσθαι] ἑαλωκέναι. 4. Ὅσουκ] ἀντὶ τοῦ σχεδὸν, ὡς τὸ μονονουχί. Ἐσπλεῖν αὐτοὺς] ἀντὶ τοῦ ὅτι μέλλουσιν ἐσπλεῖν. 6. βοηθήσαντες] μετὰ βοῆς συνδραμόντες. 15. Οὐδὲν στέγουσαι] ὕδωρ δηλονότι.

1. τὸν om. L.O.P.
3. τήν'τε τῶν σαλαμινίων πόλιν ἑαλωκέναι καὶ παρὰ C.I.L.O.P. b.e.
4. ὅπερ εἰ ἂν μὴ ἐβουλήθησαν K.
5. alterum ἂν om. C.L.O.P.e.
10. καθίσαντο L.
ἤσθάνοντο C.e.
12. βουδώρου C.I.
Βουδόρου] Steph. Ethnic. βούδωρον scribit, uti et Strabo, et Epitom. Βούδαρον φρούριον apud Ephorum invenit Steph. Βουδόρου fluminis meminit Ptolemæus. Diodorus XII. 312. Βουδόριον. Βουδόρας etiam scribi observat Eustath. p. 280. Denique MSS. et Schol. bis, et Noster etiam infra cum ο exhibent. Vid. etiam Hesych. in βουδόρῳ, et Suidam v. βουδόρῳ νόμῳ. Wass.
13. ἀπέπλεον C.K.L.O.P.d.e. i. ἐπέπλεον Q.
14. ὅτε Abreschius ὅ τι.
αἱ om. K.
15. τὰ om. C.L.O.P.e.
16. ἀπὸ I.c.e.
πεζῷ C.I.L.O.P.e.
18. ἅμα A.B.F.G.H.K.N.c. f.g.h.i. ceteri ἤδη.

ραιῶς μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο, λιμένων τε κλήσει καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.

95. Initio hiemis Sitalces magnum exercitum movet adversus Perdiccam, Macedoniæ regem, et Chalcidenses, partim quod ille promissis non steterat, partim quod ipse Atheniensibus hanc expeditionem promiserat.

* Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ χειμῶνος τούτου ἀρχομένου, Σιτάλκης ὁ Τήρεω Ὀδρύσης, Θρᾳκῶν βασιλεὺς, ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα, καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, δύο ὑποσχέσεις, τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. ὅ τε γὰρ Περδίκκας αὐτῷ ὑποσχόμενος, εἰ Ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ πολέμιον ὄντα μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει, ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ Θρᾴκης Χαλκιδικὸν πόλεμον καταλύσειν. ἀμφοτέρων οὖν ἕνεκα τὴν ἔφοδον ἐποιεῖτο, καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε, καὶ τῶν Ἀθηναίων πρέσβεις, οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα Ἄγνωνα· ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι.

96. Quos populos ad hoc

* ἀνίστησιν οὖν, ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος, πρῶτον μὲν τοὺς ἐντὸς τοῦ

4. Σιτάλκης ὁ Τήρεω] ἐντεῦθεν τὰ Θρᾳκικὰ καὶ Σιτάλκου ἐπιστρατεία. 7. Δύο ὑποσχέσεις] ἀντὶ γενικῆς ἡ αἰτιατικὴ Ἀττικῶς. σημείωσαι παρόμοιον τῷ δύο μὲν σκόπελοι ὁ μὲν οὐρανός. (Od. 12. 74.) Ἀναπρᾶξαι] εἰσπρᾶξαι, ἐπαιτῆσαι. 8. Ἀποδοῦναι] τοῖς Ἀθηναίοις δηλονότι. Αὐτῷ] τῷ Σιτάλκῃ. 9. Διαλλάξειεν] φίλον ποιήσειεν. 11. Ὑπεδέξατο] ὑπέσχετο. 16. Οἱ ἔτυγχανον παρόντες] ἀπὸ κοινοῦ τὸ ἦγε. 17. Ἄγνωνα] οὗτος ἔκτισε τὴν Ἀμφίπολιν 19. Ἀνίστησιν] στράτευμα δηλονότι.

1. κλήσει A.B.C. κλῄσει F. H.K.N.b.
2. ἐπιμελείᾳ] ἀσφαλείᾳ f.
4. Σιτάλκης] Diodor. 312. b. Wass.
τήρεως K. τύρεω d.i.
θρᾴκης d.i.
6. θρᾴκης δύο A.B.G.H.K.N.c. θράκης διὰ δύο vulgo.
8. ἐπιδοῦναι g.
10. πιεζόμενος d.
16. πρέσβεις om. F.H.N.
17. ἀγῶνα B.
20. ὀδρυσσῶν f.

Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾴκας, ὅσων ἦρχε μέχρι θαλάσσης ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον, ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας, καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατῴκητο· εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς Σκίθαις καὶ ὁμόσκευοι, πάντες ἱπποτοξόται. παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες· καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυνηκολούθουν. ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ ἄλλα ὅσα ἔθνη Παιονικά, ὧν ἦρχε· καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν, μέχρι Γραικῶν Παιόνων καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκομίου ὄρους

bellum Sitalces excitaverit.

1. Μέχρι θαλάσσης] ἕως τοῦ Εὐξείνου πόντου, καὶ τοῦ Ἑλλησπόντου. 4. Μέρη] γένη, ἐθνῶν δηλονότι. 13. Τοῦ Στρυμόνος] Στρυμὼν ποταμὸς Θρᾴκης, περὶ τὴν Ἀμφίπολιν. ὅρα πόθεν ἄρχεται ὁ Στρυμὼν ποταμὸς, καὶ ποῦ καταλήγει. καὶ ἔτι ὁ Ὄσκιος ποταμὸς καὶ ὁ Νέσος, ὃν Νέστον

1. αἷμον B.C.K.L.N.g. et ita passim : vulgo αἵμου.

Αἵμου] Αἷμος Steph. et Callimachus. at Cl. Gr. Αἷμος, quomodo Geographi antiqui, Herodotus IV. 49. Theocritus Id. VII. 76. Diodorus, Eustathius et Apollodorus. Wass.

τε om. G.d.

2. θαλάσσης ἐς A.B.C.F.G.H. K.N.c.d.e.f.g.h.i. vulgo θαλάσσης τῆς ἐς.

3. ὑπερβάντας G.Q.h.e.

4. τοῦ om. K.

6. Ὅμορος—ὁμόσκευος] Laudat Pollux X. 14. ubi similem locum adnotant e lib. III. cap. 95. Ἱπποτοξότας esse constat et ex Ovidio. v. III. Trist. 10. 54. V. 7. 14. et alibi. Duk.

8. τῶν om. K.

Μαχαιροφόρων] Idem de Sarmatis et Getis, vicinis Tomitanæ regioni, scribit Ovid. V. Tr. 7. 19. *Dextera non segnis fixo dare vulnera cultro, Quem vinctum lateri barbarus omnis habet.* Duk.

δῖοι H.K.

10. ἀκιάνας K.

11. λαιαίους A.B.C.G.H.K.L. N.O.P. alii λεαίους.

ὅσα ἄλλα L.O.

παιονικὰ g. πολεμικὰ d.

12. ἀρχῆς] γῆς g.

μέχρι γραικῶν παιόνων] μέχρι λαιαίων παιόνων I. μέχρι γὰρ λαιαίων παιόνων C.G.c.d.f.i. et γρ. A. μέχρι γὰρ γραικῶν καὶ λαιαίων παιόνων K.e. μέχρι γαικῶν καὶ λαιαίων παιόνων P. vulgo μέχρι γραικῶν καὶ λαιαίων παιόνων.

καὶ παιόνων καὶ Q.

13. κοσμίου d.e.i. σκόμβρου H. D. σκόβρου L.P.

τοῦ ὄρους d.e.

Σκομίου] Al. Σκόμβρου. hinc Σκόμβροι Θρᾴκιον ἔθνος Hesych.

διὰ Γραικῶν καὶ Λαιαίων ῥεῖ, οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη. τὰ δὲ πρὸς Τριβαλλοὺς, καὶ τούτους αὐτονόμους, Τρῆρες ὥριζον καὶ Τιλαταῖοι· οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ Σκομίου ὄρους, καὶ παρήκουσι πρὸς ἡλίου δύσιν μέχρι τοῦ Ὀσκίου ποταμοῦ. ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους ὅθενπερ καὶ ὁ Νέστος καὶ ὁ Ἔβρος· ἔστι δὲ ἔρημον τὸ ὄρος καὶ μέγα, ἐχόμενον τῆς Ῥοδόπης. * ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν μέγεθος ἐπὶ μὲν θάλασσαν καθήκουσα, ἀπὸ Ἀβδήρων πόλεως ἐς

97. Magnitudo et reditus

οὗτος καλεῖ· ἔτι γε μὴν καὶ ὁ Ἔβρος. 1. Οὗ ὡρίζετο] τὸ τέλος εἶχε. 5. Καὶ παρήκουσι] παρατείνονται. 7. Τὸ ὄρος] τὸ Σκόμιον δηλο-

Scopius Plinio. Cedrenus p. 705. Σκοπίων πόλις. Wass.

1. διὰ τῶν γραικῶν d.e.i.
ὡρίζεται B. ὁρίζεται g.h.
ἡ ἀρχὴ τὰ] om. h.
τὰ πρὸς παιόνας om. g.
3. τούτους] τοὺς G.
Τρῆρες] Sic Codices, et Callimachus; Theopompus Τρᾶρας vocat. Cum Nostro faciunt Strabo et Ethnicogr. Supra p. 365. l. 10. Ἀγριᾶνας ex Theopompo eosdem esse cum Sintis Aristotelis probare conatur Holstenius: Noster autem, et Livius XLII. 51. distinguit. Agrianus fluvius recepto Contadesdo inter Hæmum et Adrianopolim, antea Orestam, Hebrum influit. vid. Herodotum IV. 90. V. 16. Sintice cis Strymonem. v. Dionem Cassium pag. 462. et Apollonii Schol. α'. 608. Wass.
τριλαταῖοι L.N.O.Q.
6. Νέστος] Sic scribunt Herodotus, Scylax, Pausan. Mela, ubi v. Vossium p. 132. Aristot. VI. Hist. An. p. 985. et Meteorol. 291. 1. fontes ejus ἐκ τοῦ Σκόμβρου deducit. Steph. contra Nestum fluv. Illyrici facit. Livius Nesson vocat, et Theophrastus, ὁ Νέσσος ἐν τῇ Ἀβδηρίτιδι. Ita et Strabonis Epit. Schol. Hesiod. p. 261. et adstipulante Phavorino etiam Hesychius. Ptolem. Νέσος. MS. Coislin. Ναῖσσον. De qua lectione, vid. Ammianum. In MSS. Plin. Solini, Martiani fere Mestum, Mesius, Mese. Nos scripturam ab antiquissimis firmatam amplectimur. Wass. Hebrum e Rhodope nasci scribunt Diocles apud Scholiast. Theocr. VII. 112. Serv. et Philargyr. ad Virgil IV. Georg. 523. Adnotavit Meziriac. ad Ovid. Heroid. tom. I. p. 130. Quia contigui sunt Oscius et Rhodope, nec Oscius valde celebris est, facile fontes Hebri in Rhodope locari potuerunt. Duk.
7. alterum ὁ om. e.
ἔμβρος B.g.h.
καὶ om. L.
ἀρχόμενον g.
8. ἡ ὀδρυσῶν] τῶν ὀδρυσῶν O. ὀδρυσῶν L.
9. ἀπὸ] ὑπ' K.
Ἀβδήρων] Situm recte addit

τὸν Εὔξεινον πόντον τὸν μέχρι Ἴστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα, ἣν ἀεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα, νηὶ στρογγύλῃ τεσσάρων ἡμερῶν καὶ ἴσων νυκτῶν· ὁδῷ δὲ τὰ ξυντομώτατα ἐξ Ἀβ-

regni Odrysarum, omnes gentes inter Ionium mare et Euxinum pontum superantium divitiis, mi-

νότι. 2. Περίπλους] δυνατὴ περιπλευσθῆναι. 3. Νηὶ στρογγύλῃ] ἐμπορικῇ, διὰ τὰ πολεμικὰ, μακρότερα ὄντα. 4. Ὁδῷ] διὰ ξηρᾶς.

Noster; est enim et alia ejusdem nominis in Hispania. Hæc autem ἀπὸ Ἀβδήρου τοῦ υἱοῦ Ἡρίμου juxta Apollodorum, Hyginum, et Schol. Apollonii. Unde Ephorus sed solus, Ἄβδηρον scribit. Hippocrates semper numero plurium usus est, ἐν Ἀβδήροισι inquit. Herodotus Ἄβδηρα vel τὰ Ἀβδ. Nec aliter apud Athenæum Archestratus. θαυμαστοὶ εἰσὶ τῶν Κεστρέων περὶ Ἄβδηρα ἁλισκόμενοι. Ita et Plutarch. Lacon. *Inscriptio* apud Reinesium, Sotion Paradox. p. 127. Cantacuzenus p. 472. Ἄβδηραν servat, opinor mendose pro Ἄβδηρον. Civis Ἀβδηρίτης apud Herodotum, Pausan. Hecatæum, et Ælianum de Animal. XV. 25. Numi ΑΒΔΗΡΕΙΤΩΝ et ΑΒΔΗΡΙΤΕΩΝ. Ἀβδηρίτης Boreas apud Hesychium. Latini, Abderitæ, Abderiticus, Abderitanus formarunt. Regio Abderitis. Theophrast. III. 2 Hist. Pl. p. 40. Νέσσος ἐν τῇ Ἀβδηρίτιδι. Mare vicinum Ἄβδηρα etiam vocatur. v. Suidam. Urbs ipsa a Timesio Clazomenio A. M. 3349. condita est, et a Teiis et Clazomeniis instaurata A. M. 3464. inde Plinio et Solino Clazomene; sed hoc nomen parum obtinuit. Olymp. XCIII. πόλιν ἐν τοῖς δυνατωτάτοις appellat Diodorus; qui, et Abderitanos magno prælio a Triballis fusos narrat, et postea periculo liberatos a Chabria Olymp. CI. Cantacuzeni tempore πολίχνιον erat, deinde a semet in urbis modum refectum ait: nunc addit Πολύστυλον vocant, quomodo diserte nominat Curopalata. Hodie Niger Asperosam, Astrizzam alii nuncupant. Est et Abdera in Africa. v. Steph. et Notitias Episc. Concilio Chalcedonensi A. Chr. 451. subscripsit Ioannes Abderæ Ep. Wass.

1. πόντον] ποταμὸν d.
τὸν om. C.c.d.e.
2. ἔσται e.
τῇ γῇ e.f.

3. Cur Interpres Latinus, Vallam sequutus, ναῦν στρογγύλην voluerit vertere navem *rotundam*, non scio. Græci quidem multis navibus nomen imposuerunt a forma, de quo Salmas. Observat. ad Jus Attic. et Rom. pag. 658. Sed non credo, Scriptores Latinos eas, quas Græci στρογγύλας vocant, *rotundas* dicere. Et autem in ea re sequendus usus Veterum, qui has *onerarias* appellare maluerunt. Ἐμπορικὴν hic recte exponit Schol. et Schol. Aristoph. Equit. v. 1363. φορτηγόν. Vid. Scheff. IV. de Re Nav. I. Duk.

litum autem copiis cum Scythis non comparandorum.

δήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἑνδεκαταῖος τελεῖ. τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν· ἐς ἤπειρον δὲ ἀπὸ Βυζαντίου ἐς Λαιαίους καὶ ἐπὶ τὸν Στρυμόνα (ταύτῃ γὰρ διὰ πλείστου ἀπὸ θαλάσσης ἄνω ἐγίγνετο) ἡμερῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων, ὅσον προσῆξαν ἐπὶ Σεύθου, ὃς ὕστερον Σιτάλκου βασιλεύσας πλεῖστον δὴ ἐποίησε, τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη· καὶ δῶρα οὐκ ἐλάσσω τούτων χρυσοῦ τε καὶ ἀργύρου προσεφέρετο, χωρὶς δὲ ὅσα ὑφαντά τε καὶ λεῖα, καὶ ἡ ἄλλη κατασκευὴ, καὶ οὐ μόνον αὐτῷ, ἀλλὰ

1. Εὔζωνος] εὐσταλὴς, καὶ κοῦφος, καὶ μηδὲν ἔχων τὸ ἐμποδίζον. 3. Διὰ πλείστου] διαστήματος δηλονότι. 6. Ὅσον] φόρον δηλονότι. 10. Χωρὶς δὲ] τούτων δηλονότι. Ὅσα] προσεφέρετο. 11. Λεῖα] τὰ λιτὰ, πρὸς ἀντιδιαστολὴν

1. Εὔζωνος] Sic locutus Herodotus I. et alibi. Sic πλοῦς ἡμέρας, et τεσσάρων ἡμ. καὶ νυκτῶν, et στάδια ρπ'. πεζῇ, et πλοῦς προαριστίδιος apud Scylacem, quæ formulæ Scriptoris istius novitatem facile demonstrant; semper fere *stadia*, *Thucydideo* more numquam locutus est. Post Olymp. 114. Per. Jul. 4396. stadia adhibet Dicæarchus, et locorum intervalla per dierum et noctium iter designat. Hinc ad Oropum ὁδὸν ἐλευθέρῳ βαδίζοντι σχεδὸν ἡμέρας. Haud ita Scymnus Chius circa A. M. 3938. Verum, qui antiquos, maxime Homerum, imitatur, Dionysium excipiamus, Perieg. V. 985. Τόσσον ἄνευθεν ἰὼν, ὅσον ἕβδομον ἦμαρ ὁδεύσας Ἴφθιμος καὶ κραιπνὸς ἀνὴρ ἀνύσειεν ὁδίτης. Exiguum temporis intervallum ita effert Hippocrates §. IV. p. 5. ἐπισχέτω ὅσον δέκα στάδια διελθεῖν. Wass. De Scylacis ratione dimetiendi intervalla navigationum, quam hic tangit Wass. add. Dodwell. in Dissertat. de Peripli Scylacis ætate §. 13. Quod ibid. §. 17. observat Dodwellus. πλοῦν Scylaci esse spatium navigationis inter urbes in ora maritima sitas, ὁδὸν autem spatium inter easdem terra euntibus, in eo potuit Scylax sequutus esse auctorem Thucydidem h. l. Duk.

2. τοσαῦτα C.K.L.O.i.
ἦν om. i.
3. πλείστους P.
5. τῆς] γῆς K.
6. καὶ om. g.
ὅσων A.B.C.G.I.Q.h.
7. δὲ f.
8. Τετρακοσίων] Diodor. πλείω χιλίων p. 312. c. qui corrigendus. Wass.
μάλιστα om. Q.
9. ἤιει C.F.H.c.e.
καὶ δῶρα καὶ οὐκ K.
τε om. C.L.O.e.
11. Λεῖα] Suidas h. v. hinc sua

καὶ τοῖς παραδυναστεύουσί τε καὶ γενναίοις Ὀδρυσῶν. κατεστήσαντο γὰρ τοὐναντίον τῆς Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θραξὶ, λαμβάνειν μᾶλλον ἢ διδόναι, καὶ αἴσχιον ἦν αἰτηθέντα μὴ δοῦναι ἢ αἰτήσαντα μὴ τυχεῖν· ὅμως δὲ κατὰ τὸ δύνασθαι ἐπὶ πλέον αὐτῷ ἐχρήσαντο· οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα. ὥστε ἐπὶ μέγα ἦλθεν ἡ βασιλεία ἰσχύος. τῶν γὰρ ἐν τῇ Εὐρώπῃ ὅσαι μεταξὺ τοῦ Ἰονίου κόλπου καὶ τοῦ Εὐξείνου πόντου, μεγίστη ἐγένετο χρημάτων προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ, ἰσχύϊ δὲ μάχης καὶ στρατοῦ πλήθει πολὺ δευτέρα μετὰ τὴν Σκυθῶν. ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ, ἀλλ' οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι. οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται. * Σιτάλκης μὲν οὖν βασιλεύων χώρας τοσαύτης, παρεσκευάζετο τὸν στρατόν. καὶ ἐπειδὴ 98. Iter exercitus Odrysa-

τῶν ὑφαντῶν καὶ πεποικιλμένων. 1. Ὀδρυσῶν] προσεφέροντο δηλονότι. 2. Τῆς Περσῶν βασιλείας] οἱ γὰρ Πέρσαι παρέχουσι μᾶλλον ἢπερ παρὰ τῶν ἄλλων λαμβάνουσιν· οἱ δὲ Θρᾷκες τοὐναντίον. καὶ οὐκ ἦν τι πρᾶξαι παρ' αὐτοὺς τὸν μὴ παρέχοντα χρήματα, ὅπερ καὶ νῦν ἐν Ῥωμαίοις. 5. Κατὰ τὸ δύνασθαι] διὰ τὴν δύναμιν. 6. Ἐπιπλέον αὐτῷ ἐχρήσαντο] αὐτῷ, τῷ νόμῳ, μᾶλλον τῶν ἄλλων Θρᾳκῶν οἱ Ὀδρύσαι ἐχρῶντο, λαβεῖν ἢπερ δοῦναι. 11. Ταύτῃ δὲ] τῇ τῶν Σκυθῶν. 12. Οὐχ ὅτι] ἀντὶ τοῦ μήτοιγε. 14. Οὐ μὴν—ἄλλοις

mutuatus est. vid. Pollucem VII. 51. Wass.

1. τε om. C.L.O.e.
2. κατέστησαν. τὸ A.
τῆς περσῶν A.B.C.H.K.N.c.e. f.g.h.i. ceteri τῆς τῶν περσῶν.
3. μὲν om. L.O.P.
4. μὴ δοῦναι om. g.
6. ἐχρήσατο C.d.e.
7. ἦλθεν ἡ βασιλεία A.B.g.h. vulgo ἡ βασιλεία ἦλθεν.
8. τῶν μὲν γὰρ N.
9. προσόδῳ χρημάτων Q.
10. ἰσχύει K.Q.g.
μάχη g.
11. δεύτερον P.
τὴν] τῶν A.B.F.K.Q.e.h. τὴν τῶν H.g. om. L.
ταύτην C.
13. ἓν πρὸς ἓν ἔθνος f.
16. βασιλεύων χώρας τοσαύτης A.B.H.g.h. ceteri τοσ. χ. βασιλεύων.

rum; copiarum numerus, multis Thraciæ populis, qui liberi erant, sponte accurrentibus auctus ad CL. millia hominum, quorum tertia pars equites erant.

αὐτῷ ἑτοῖμα ἦν, ἄρας ἐπορεύετο ἐπὶ τὴν Μακεδονίαν, πρῶτον μὲν διὰ τῆς αὐτοῦ ἀρχῆς, ἔπειτα διὰ Κερκίνης, ἐρήμου ὄρους, ὃ ἔστι μεθόριον Σίντων καὶ Παιόνων· ἐπορεύετο δὲ δι' αὐτοῦ τῇ ὁδῷ ἣν πρότερον αὐτὸς ἐποιήσατο, τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ Παίονας ἐστράτευσε. τὸ δὲ ὄρος ἐξ Ὀδρυσῶν διιόντες ἐν δεξιᾷ μὲν εἶχον Παίονας, ἐν ἀριστερᾷ δὲ Σίντους καὶ Μαίδους. διελθόντες δὲ αὐτὸ ἀφίκοντο ἐς Δόβηρον τὴν Παιονικήν. πορευομένῳ δὲ αὐτῷ ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ, εἰ μή τι νόσῳ, προσεγίγνετο δέ· πολλοὶ γὰρ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν, ὥστε τὸ πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον πεντεκαίδεκα μυριάδων γενέσθαι· καὶ τούτου τὸ μὲν πλέον πεζὸν ἦν, τριτημόριον δὲ μάλιστα ἱππικόν. τοῦ δ' ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ Ὀδρύσαι παρείχοντο, καὶ μετ' αὐτοὺς Γέται. τοῦ δὲ πεζοῦ οἱ μαχαιροφόροι μαχιμώτατοι μὲν ἦσαν, οἱ ἐκ τῆς Ῥοδόπης αὐτόνομοι καταβάντες, ὁ δὲ ἄλλος ὅμιλος ξύμμικτος, πλήθει

ὁμοῦνται] ἀλλ' ὑπερβάλλουσι δηλονότι. 3. Σίντων] Σίντιοι ἐλέγοντο ἐν ὅσῳ τὴν Λῆμνον ᾤκουν. εἰς δὲ τὴν Θρᾴκην ἐλθόντες μετωνομάσθησαν Σίντοι. 5. Τὸ δὲ ὄρος] τὴν Κερκίνην δηλονότι. 8. Δόβηρον] τὴν νῦν καλουμένην Γέβρην. 9. Ἀπεγίγνετο] ἀπώλλυτο. Προσεγίγνετο] ηὐξάνετο κατὰ κρίσθεσιν. 10. Ἀπαράκλητοι] ἑκούσιοι.

1. τὴν om. d.i.
2. αὐτῆς H.
ἔπειτα δὲ διὰ d.
Κερκίνης] v. ad Suidam v. Ἀκουσίλαος. Wass. not. MS.
3. σιντῶν C.H.K.L.O. σιτῶν P.
7. μηδους i.
8. ἐς om. g.
Δόβηρον] Vid. Berkelium ad Steph. Veram loci scripturam firmat Epigr. ined. apud Holsten. et Zosimus p. 39. 109. Apud Suidam male scribitur Δόβειρα. Wass.
9. τινι e.
παρεγίγνετο g. ἐπεγίγνετο i.
10. Τῶν αὐτονόμων—ἠκολούθουν] Citat Suidas et ἀπαράκλητοι expl. αὐτόματοι. Confer de numero copiarum Diodor. p. 312. c. Wass.
12. οὐκ ἔλασσον om. d.
13. Τριτημόριον] Pollux IX. 66. τριτημόριον ὅταν μέντοι Θουκυδίδης εἴποι, τριτημόριον δὲ μάλιστα ἱππικὸν, τὴν τρίτην μοῖραν εἴρηκε. Duk.
15. μαχαιροφόροι καὶ μαχιμώματοι G.
τῆς om. O.

φοβερώτατος, ἠκολούθει. * ξυνεθροίζοντο οὖν ἐν τῇ Δοβήρῳ καὶ παρεσκευάζοντο, ὅπως κατὰ κορυφὴν ἐσβαλοῦσιν ἐς τὴν κάτω Μακεδονίαν, ἧς ὁ Περδίκκας ἦρχε. τῶν γὰρ Μακεδόνων εἰσὶ καὶ Λυγκησταὶ καὶ Ἐλειμιῶται καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα, βασιλείας δ' ἔχει καθ' αὑτά. τὴν δὲ παρὰ θάλασσαν νῦν Μακεδονίαν Ἀλέξανδρος ὁ Περδίκκου πατὴρ καὶ οἱ πρόγονοι αὐτοῦ Τημενίδαι, τὸ ἀρχαῖον ὄντες ἐξ Ἄργους, πρῶτον ἐκτήσαντο καὶ ἐβασίλευσαν, ἀναστήσαντες μάχῃ ἐκ μὲν Πιερίας Πίερας, οἳ ὕστερον ὑπὸ τὸ

99. Macedoniæ regnum quomodo a Temenidis, Argis orundis, primum conditum, ac deinceps auctum fuerit.

3. Τὴν κάτω Μακεδονίαν] τῆς Μακεδονίας τὸ μέν ἐστι μεσόγειον, τὸ δὲ παράλιον, ἣν καλεῖ τὴν κάτω Μακεδονίαν. 9. Πρῶτοι ἐκτήσαντο] τοῦτο

1. φοβερώτερος K.d.i.
συνεθροίζοντο d.e.i.
2. ἐσβάλωσιν d.
3. περδίκας H.
4. λυγκισταὶ H.Q. ἐλυγκησταὶ I.L.O.P.e.
ἐλιμιῶται H.

Ἐλειμιῶται] Arrianus Ἐλυμιῶτιν scribit. Wass. Ita vocat regionem I. de Expedit. Alex. c. 7. vid. Holsten. ad Steph. in Ἐλίμεια, et Cellar. II. Geogr. Ant. 13. Qui hic et alibi in Thucydide et aliis Λυγκησταὶ, Straboni et Stephano Λυγκισταὶ sunt, Diodoro Sic. XVII. p. 592. Λυγκεσταὶ, ut scribit Harduin. ad Plin. IV. 10. quamquam ibi in Ed. Rhodon. est Λυγκιστῶν per ι. Holsten. probat Λυγκησταί. Recte, opinor: nam ι e pronunciatione τοῦ η ortum esse, ex eo probabile est, quod Latini fere ubique in secunda syllaba e habent; ut Amyntas Lyncestes, Alexander Lyncestes apud Curtium semper; Lyncestius amnis Ovid. XV. Metam. 329. Lyncestis aqua Plin. II. Hist. Nat. 103. et alii. In Justin. XI. 2. scriptura variat. Ceterum, Stephanum Lyncum et Lyncestas perperam in Epiro ponere, adnotant ad eum Interpretes v. Λύγκος. Duk.

6. παρὰ C.G.H.I.K.L.N.O.P. Q.c.d.e.g.h.i. vulgo περί.

7. Ἀλέξανδρος] De serie et successione Regum Macedoniæ, deque divisione Macedoniæ in maritimam et mediterraneam, legi debent, quæ scripsit Spanhemius, Dissert. VII. p. 371. et seqq. Ed. ult. de Præst. et usu Numism. quibus egregie inlustrantur, quæ de regno Macedonum variis locis scribit Thucydides. Duk.

8. Πρόγονοι αὐτοῦ Τημενίδαι] Macedoniæ reges Herodoto (VIII. 137.) dicuntur ἀπόγονοι Τημενοῦ, qui sub reditum Heraclidarum Argos obtinuit. Vide etiam Herod. IX. 44. et V. 22. Hudd.

τιμαυνίδαι G. τιμενίδαι Q.
ὄντες om. L.O.P.Q.
9. πρῶτον A.B.F.H.g.h. vulgo πρῶτοι.
10. περιερίας h.
πιέρους e.

Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα καὶ ἄλλα χωρία (καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς θάλασσαν γῆ), ἐκ δὲ τῆς Βοττίας καλουμένης Βοττιαίους, οἳ νῦν ὅμοροι Χαλκιδέων οἰκοῦσι· τῆς δὲ Παιονίας παρὰ τὸν Ἀξιὸν ποταμὸν στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης ἐκτήσαντο, καὶ πέραν Ἀξιοῦ μέχρι Στρυμόνος τὴν Μυγδονίαν καλουμένην, Ἠδῶνας ἐξελάσαντες, νέμονται. ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Ἐορδίας καλουμένης Ἐόρδους, ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται, καὶ ἐξ Ἀλ-

καὶ Ἡρόδοτος ἐν τῇ ἐννάτῃ ἱστορεῖ κατὰ διέξοδον. 5. Ἀξιὸν] τὴν βάρδαρον λέγει. 8. Ἠδῶνας] Ἤδωνοὶ καὶ μεταπλασμῷ Ἠδῶνες καὶ Ἠδῶναι. οὕτως Ἡρωδιανός. 9. Ὧν] τῶν Ἐόρδων.

1. πάγκαιον πέρα c.

φράγητα C.G.K.N.c. φάγητα f.

Φάγρητα] Vide Herodot. p. 418. Strabonis Epitom. et Leopard. Emend. VIII. 2. Hudson. Vid. Herodot. VII. 112. Φάγρη corrupte Scylax p. 27. cum Nostro Strabonis Epit. 108. Φάγρος piscis genus Strabo p. 1179. vid. Athenæum p. 295. 312. apud Hesych. lege φαγρόριος. Confer Clem. Alexand. p. 34. et Pollucem, Plutarch. Mor. 353. Est et Φάγρος Apollinis filius apud Nicand. in Ἑτεροιουμ. Wass. Est in Antonin. Liberal. cap. 13. Urbs, de qua hic Thucydides, etiam apud Stephanum Φάγρης est, h. v. et in Κύρης. Duk.

2. καὶ post ἔτι om. L.O.P.e.

5. ἀξιὸν K.L.O.P. vulgo ἄξιον.

Ἄξιον] Vid. Homerum Il. β'. 849. et Strabonis Epit. 509. Βαρδάριον vocat Cedrenus p. 705. In Codice Cantacuzeni Ms. invenitur etiam Βιστρίτζα, apud Annam Comnenam Βαρδάρης audit. Consule Fulcher. Carnotens. I. 3. Wilhelm. Tyrium II. 13. Tzetzes videtur distinguere Chil. X. 188. Wass. Ἀξιοῦ in Homer. Il. β'. 849, 850. edidit Barnes. quod in aliis Edd. est Ἀξίου, et Eustath. ac parvus Scholiast. ibi habent Ἄξιος, Ἀξίου, Ἄξιον. Herodot. quoque VII. 123. Ἄξιος Duk.

7. ἀξιοῦ I.L.O.P.

9. καλουμένης om. L.O.P. ante ἐορδίας ponit c.

ἐορδοὺς K.L.O. cum Herodiano apud Stephanum Byz.

Ἐόρδους] Ita hodie in barbarie Scythica *Hords*. Hesych. duplicem adfert lectionem Ἔορτος, ἢ Ἔορδος. Herodotus VII. 185. Ἐορδοί. Wass.

Steph. de urbb. p. 346. Ὀξύνεται τὸ Ἔορδος, ὡς Ἡρωδιανὸς ἔκτῃ. Sic Herodotus quoque VII. 185. Gottl.

ἐφθάρησαν A.B.C.F.G.H.I.K. L.N.O.P.Q.d.e.f.g. vulgo διεφθάρησαν.

10. τι] καὶ G.

φύσαν L.O.P. φυσκίαν H.d.i.

ἀλμωπὰς H. ἀλμωπὰς K.

Ἀλμωπίας] Ita Mss. et Steph. Constantinus Porph. II. de

μωπίας Ἀλμωπας. ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ Μακεδόνες οὗτοι, ἃ καὶ νῦν ἔτι ἔχουσι, τόν τε Ἀνθεμοῦντα καὶ Γρηστωνίαν καὶ Βισαλτίαν καὶ Μακεδόνων αὐτῶν πολλήν. τὸ δὲ ξύμπαν Μακεδονία καλεῖται, καὶ Περδίκκας Ἀλεξάνδρου βασιλεὺς αὐτῶν ἦν, ὅτε Σιτάλκης ἐπῆλθε.

100. Thraces progressi, multas Macedoniæ urbes capiunt. Macedones tantum

* Καὶ οἱ μὲν Μακεδόνες οὗτοι, ἐπιόντος πολλοῦ στρατοῦ ἀδύνατοι ὄντες ἀμύνεσθαι, ἔς τε τὰ καρτερὰ καὶ τὰ τείχη, ὅσα ἦν ἐν τῇ χώρᾳ, ἐσεκομίσθησαν. ἦν δὲ οὐ πολλὰ, ἀλλὰ ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς, βασιλεὺς γενόμενος, τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε, καὶ ὁδοὺς

2. Οἱ Μακεδόνες οὗτοι] οἱ κάτω Μακεδόνες. 3. Καὶ Μακεδόνων αὐτῶν] τῶν ἄνω. 9. Ἦν δὲ οὐ πολλὰ] τὰ καρτερὰ δηλονότι. 11. Τὰ νῦν

Them. Ἀλμωπία. et sic Ptolemæus, at Mss. Pall. rectius, Ἄλμωπες. ἀπὸ Ἄλμωπος Neptuni, et Helles Athamantis filiæ. Steph. Vix alibi invenies. vid. tamen Plinium I. 433. Ptolem. pag. 92. 26. Ἀλβωτῶν, lege Ἀλμωτῶν. Wass.

1. καὶ post δὲ om. g.

2. Ἀνθεμοῦντα] Oppidum, et inter regiones nomen gentis. Vid. Herodot. V. 94. Harpocrat v. Ἀνθεμοῦς, Aristid. II. 224. Libanius Declam. XIII. Ἀνθεμοῦντα ἅλων dixit. Est et fluvii nomen Geographis ignotum, ut et Hesychio et Apollodoro constat. Vid. et Plin. IV. 10. Æschin. de Fals. legat. p. 250. Wass.

3. γρηστωνίαν A.B.C.b.c. et Dukeriani, nisi fallor, omnes, præter K, qui γερηστωνίαν. vulgo κρηστωνίαν.

Γρηστωνίαν] Ita Mss. hic et alibi. Gr. cum o male. Stephanus, Theopompus apud Athenæum, Herodotus, Aristoteles de Mirabil. Ausc. p. 112. Lycophron bis, receptam lectionem tuentur. Stephanus mendose uno in loco Γαστρωνίαν. Theopompus apud Athen. III. p. 77. Γραιστωνία. Herodot. VII. 124. Κρηστωνικὴ ex Ionismo, κ pro γ. Ibi Ms. Flor. Κρηστωνέης, pro Κρηστωναίης, Tzetzes, Κρηστώνη, ἀπὸ τῆς Ἄρεος καὶ Κυρήνης θυγατρός. Sic Κρηστώνης ἔχις apud Lycophron. v. 499. ubi Ms. Seld. Κρηστόνης, et τὸν Κρηστώνης θεὸν, v. 937. Pro Κραστωνίᾳ apud Aristotel. legendum Κρηστωνίᾳ, auctore Sylburgio. Wass. Confer quæ ad Stephanum in Γαστρωνία, Γρηστωνία, et Κρήστων adnotant Interpretes. Duk.

βισαντίαν A.B.h.

4. αὐτῶν om. G.

7. καὶ om. b.

8. ἀμύνασθαι N.Q.

καρτερικὰ c.

11. Ὁδοὺς ἔτεμε] Ita loquitur Herodot. 4, 136. Wass.

equites contra mittuntur, multitudini hostium impares.

εὐθείας ἔτεμε, καὶ τἆλλα διεκόσμησε τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι, ἢ ξύμπαντες οἱ ἄλλοι Βασιλῆς ὀκτὼ οἱ πρὸ αὐτοῦ γενόμενοι. ὁ δὲ στρατὸς τῶν Θρᾳκῶν ἐκ τῆς Δοβήρου ἐσέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖ-
σαν ἀρχήν, καὶ εἷλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυ-
νίαν δὲ καὶ Ἀταλάντην καὶ ἄλλα ἄττα χωρία ὁμολογίᾳ διὰ τὴν Ἀμύντου φιλίαν προσχωροῦντα, τοῦ Φίλιππου υἱέος, παρόντος· Εὐρωπὸν δὲ ἐπολιόρκησαν μὲν, ἑλεῖν δὲ οὐκ ἐδύναντο. ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προὐχώρει τὴν ἐν ἀριστερᾷ Πέλλης καὶ Κύρρου. ἔσω δὲ τούτων ἐς τὴν Βοττιαίαν καὶ Πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ

ἄττα] τείχη δηλονότι. 5. Ἐς τὴν Φιλίππου] τοῦ ἀδικηθέντος ὑπὸ Περδίκκου.

1. ἔτεμνε K.

τὸν om. L.O.P.

2. Ἵππους καὶ ὅπλ.] Ex hoc loco rationem reddi posse existimat Begerus, cur Archelai numismata Equum in aversa exhibent. Huds.

3. κρεῖσσον N.Q.

Βασιλῆς ὀκτὼ, etc.] Ab Herodoto (VIII. 139.) septem priores Macedoniæ reges recensentur. I. Perdiccas, conditor regni. II. Arræus (alias Argeus.) III. Philippus. IV. Æropus. V. Alcetas. VI. Amyntas. VII. Alexander. Huic successit Perdiccas pater Archelai. Huds.

οἱ ante ἄλλοι om. A.B.F.H.Q. g.h.

6. εἷλον L.O.P.

ειλομενην Q. ἑδομένην c.

Εἰδομένην] Vide Vossium ad Catullum, p. 210. Huds. Εἰδομένην Mss. et Steph. cum Edd. Vid. omnino Holstenium. In Schol. Lexicis Vett. et auctoribus nulla hujus oppidi mentio. Tumuli ejusdem nominis inter Ambraciam et Acarnaniam siti: forte ad Idomenen Pheretis filiam respiciunt. Apollod. p. 42. Wass.

7. τἆλλα K.

Ἄττα] De particula post Grammaticos veteres egerunt Budæus in Commentar. Ling. Gr. p. 967. Steph. Append. ad Script. de Dial. p. 82. Maussac. ad Harpocrat. et Vales. ad Notas Maussaci. Duk.

8. τὴν τοῦ ἀμύντου b.

9. υἱέος om. d.

10. ἐδύναντο A.B.C.G.H.Q.g. ἐδύνατο h. vulgo ἠδύναντο.

11. προσχώρει L.

πέλης G.

κύρου g.h. κύβου e.

Κύρρου] Κύρου, quod hic habet Cod. Reg. etiam in Mss. Stephani est, v. Μανδαραὶ, ubi id emendant e Thucydide. Duk.

τήν τε Μυγδονίαν καὶ Γρηστωνίαν καὶ Ἀνθεμοῦντα ἐδήουν. οἱ δὲ Μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο ἀμύνεσθαι, ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων, ὅπῃ δοκοῖ, ὀλίγοι πρὸς πολλοὺς ἐσέβαλλον ἐς τὸ στράτευμα τῶν Θρᾳκῶν. καὶ ἢ μὲν προσπέσοιεν, οὐδεὶς ὑπέμενεν ἄνδρας ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους, ὑπὸ δὲ πλήθους περικληόμενοι αὐτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ ἐς κίνδυνον καθίστασαν· ὥστε τέλος ἡσυχίαν ἦγον, οὐ νομίζοντες ἱκανοὶ εἶναι πρὸς τὸ πλέον κινδυνεύειν. * ὁ δὲ Σιτάλκης πρός τε τὸν Περδίκκαν λόγους ἐποιεῖτο, ὧν ἕνεκα ἐστράτευσε, καὶ ἐπειδὴ οἱ Ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσὶν, ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν, δῶρά τε καὶ πρέσβεις ἔπεμψαν αὐτῷ, ἔς τε τοὺς Χαλκιδέας καὶ Βοττιαίους μέρος τι τοῦ στρατοῦ πέμπει, καὶ τειχήρεις ποιήσας ἐδήου τὴν γῆν. καθημένου δ' αὐτοῦ περὶ τοὺς χώρους τούτους οἱ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν καὶ οἱ μέχρι

101. Cum autem Atheniensium naves non adessent, Sitalces, vastata Chalcidice et Macedonia, inductus a Seutha fratre patrueli, quem Perdiccas sibi conciliave-

7. Περικλειόμενοι] ἀντὶ τοῦ περικλείοντες. οἱ Θρᾷκες δηλονότι. 13. Αὐτῷ]

1. τε om. L.O.P.
μακεδονίαν G.
γρηστωνίαν A.B.C.b.c.e.h. et qui supra. στρηγωνίαν d.i.
2. οὐ C.L.O.P.e.
ὅπους H.
3. προσμεταπ. οἱ ἀπὸ e.
ἄνω] ἄλλων G. om. K.
4. ὅπου H.Q.c.
δοκεῖ L.O.P.d.e.i.
ἐσέβαλλον A.H.b.g.
5. ὑπέμειναν P.Q.
7. περικληόμενοι A.B.C. περικληόμενοι h. vulgo περικλειόμενοι.
12. Ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν] Sic I, 10. ubi Schol. adnotat, μὴ post ἀπιστεῖν Ἀττικῶς abundare. Lucian. Rhetor. præcept. p. 321. ei duas negationes adponit: οὐχ ἕξουσιν ὅπως ἀπιστήσουσι μὴ οὐχὶ πάνδεινόν τινα ἐν τοῖς λόγοις ἀγωνιστὴν εἶναί σε. Eumdem pleonasmum post ἀπαγορεύω, κωλύω, ἀρνοῦμαι, et εἴργω observat Stephanus ad Corinth. artic. VIII. et XLIII. Simile est supr. II. 49. ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν. Add. infr. ad III. 1. Dukr.
17. Μάγνητες] Magnesia post Strabonis tempora Thessaliæ adjecta est. vid. Plin. IV. 9. Ptolemæus aliis adscribit. Μαγνητικὴ Æschylus Pers. 492. Μαγνησίαν Dioscorides memorat

rat, celeriter domum redit.

Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες, ὅσοι πεδία εἶχον, Παναῖοι καὶ Ὀδόμαντοι καὶ Δρῶοι καὶ Δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθηναίων πολεμίους Ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν καὶ ἐπὶ σφᾶς χωρήσωσιν. ὁ δὲ τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων ἔφθειρε· καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα ἐσέβαλε, καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ καὶ ὑπὸ χειμῶνος ἐταλαιπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαρδάκου, ἀδελφιδοῦ ὄντος καὶ μέγιστον μεθ' αὑτὸν δυναμένου, ὥστ' ἐν τάχει ἀπελθεῖν. τὸν δὲ Σεύθην κρύφα Περδίκκας, ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν καὶ χρήματα ἐπ' αὐτῇ, προσποιεῖται. καὶ ὁ μὲν πεισθεὶς, καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων

τῷ Σιτάλκῃ οἱ Ἀθηναῖοι. 5. Παρέσχε δὲ λόγον] ὁ Σιτάλκης. 6. Τῶν αὐτῶν] τῶν Ἀθηναίων. 9. Ἐπέχων] ἐπικείμενος. Αὐτῷ] ὑπ' αὐτοῦ. Ὧν ἕνεκα ἐσέβαλε] τὴν ἔφοδον ἐποιήσεν.

pag. 193. Ad civitatem intelligit ad Mæandrum sitam, de qua Tournefort. II. 370. Wass.

1. καὶ post μὴ om. g.
ὁ στρατὸς om. L.
3. βορρέαν P.
καὶ ὅσοι Q.
4. πάναιοι K.
ὀδάμαντοι g. ὀδόματοι i.
Ὀδόμαντοι] Vide Aristoph. Acharnenses, ejusque Scholiasten, p. 378. apud quem Ὀδόμαντες appellantur. Hudb. Ὀδόμαντοι MSS. hic et p. 294. uti et Steph. v. Herodot. V. 16. Liv. XLV. 4. Confer Dissertat. Morini de Odomantis, et Suidam v. ἀποτεθρίακεν, et quem ibi citat Aristoph. Wass.
σερσαῖοι K.
5. παρέχει h.
6. τῶν om. L.O.
πολεμίους καὶ Ἕλληνας c.f.
7. χωρήσουσιν K.
8. τε] μὲν O. om. d.
9. ἐπράττετο c.f.
12. σπαρδάκου A.B.F.H.h. σταρδόκου C.I.N.P.f.g. σπαρδακοῦ K. vulgo σπαραδόκου.
ὄντος αὐτοῦ καὶ G.
μεθ' αὑτὸν A.B.K.N. μεθ' ἑαυτὸν C.H.L.O.P.g. μεθ' ἑαυτοῦ e. μεθ' ἑαυτῶν I. vulgo μετ' αὐτόν.
16. τὰς πάσας ἡμέρας τριάκοντα g.

δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἴκου· Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥσπερ ὑπέσχετο. τὰ μὲν οὖν κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως ἐγένετο.

102. Phormio navigat in Acarnaniam, ibique res ordinat, ut erat commodum. Sed Œniadas adoriri non audet per hiemem. Situs illius urbis, Acheloi cursus, Echinades insulæ, et quid de Alcmæone atque illis insulis fabulæ ferunt.

* Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι τοῦδε τοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου ἐστράτευσαν παραπλεύσαντες ἐπ' Ἀστακοῦ. καὶ ἀποβάντες ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας τετρακοσίοις μὲν ὁπλίταις Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίοις δὲ Μεσσηνίων, ἔκ τε Στράτου καὶ Κορόντων καὶ ἄλλων χωρίων ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν, καὶ Κύνητα τὸν Θεολύτου ἐς Κόροντα καταγαγόντες ἀνεχώρησαν πάλιν ἐπὶ τὰς ναῦς. ἐς γὰρ Οἰνιάδας, ἀεί ποτε πολεμίους ὄντας μόνους Ἀκαρνάνων, οὐκ ἐδόκει δυνατὸν εἶναι χειμῶνος ὄντος στρατεύειν· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγραίων καὶ Ἀμφιλόχων καὶ διὰ τοῦ Ἀκαρνανικοῦ

12. Ἐς Κόροντα] τὰ Κόροντα ἡ εὐθεῖα. 13. Οἰνιάδας] Οἰνιὰς πόλις ἐστὶν ἐν τῷ στομίῳ τοῦ Ἀχελῴου, ἡ καὶ νῦν Δραγαμέστη λεγομένη. 16. Διὰ Δολοπίας] Δολοπία ἡ νῦν καλουμένη Ἀνάβλαχα. ἐξ ἀνατολῶν γὰρ αὐτῆς ὁ Πη-

2. ἐπ' οἴκου om. L.O.P.
3. αὐτοῦ e.
θεόση c.
τὸ P.
4. οὖν om. B.C.F.G.K.c.d.e.g. h.i.
τὴν om. i.
5. τοῦδε τοῦ A.B.g.h.i. τοῦδε τοῦ αὐτοῦ F.H.N. vulgo τοῦ αὐτοῦ.
8. μεσόγειαν c.f.
9. ἁπλίτας τῶν ἀθηναίων K.
10. καὶ ante ἐκ om. H.L.O.P.
κορόντων g.
11. εἶναι om. Q.
12. κόραντα g.
Κόραντα] Et Steph. sic legit: de oppido altum apud veteres silentium. Wass.
14. ὄντος om. K.
15. Ὁ γὰρ Ἀχελ. Vide Demetrium Phaler. de Eloc. p. 120. et 123. Ed. Oxon. Huds. Ὁ γὰρ Ἀχελῷος—στρατεύειν] Demet. Phaler. Μεγαλοπρεπὲς, καὶ τὸ ἐκ περιαγωγῆς τῇ συνθέσει λέγειν &c. §. 45. et 46. Statius Theb. II. 730. "Flavo *tollens*, ubi vertice "pontum Turbidus objectas A-"chelous Echinadas exit." Ibi MS. Arundel. melius *adtollens*. Wass.
17. ἀκαρνικοῦ C.K. cum Demetrio Phal.

πεδίου, ἄνωθεν μὲν παρὰ Στράτον πόλιν, ἐς θάλασσαν δ' ἐξιεὶς παρ' Οἰνιάδας, καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεῦειν. κεῖνται δὲ καὶ τῶν νήσων τῶν Ἐχινάδων αἱ πολλαὶ καταντικρὺ Οἰνιαδῶν, τοῦ Ἀχελῴου τῶν ἐκβολῶν οὐδὲν ἀπέχουσαι, ὥστε μέγας ὢν ὁ ποταμὸς προσχοῖ ἀεὶ, καὶ εἰσὶ τῶν νήσων αἱ ἠπειρωνται, ἐλπὶς δὲ καὶ πάσας οὐκ ἐν πολλῷ τινὶ ἂν χρόνῳ τοῦτο παθεῖν. τό τε γὰρ ῥεῦμά ἐστι μέγα καὶ πολὺ καὶ θολερὸν, αἵ τε νῆσοι πυκναὶ, καὶ ἀλλήλαις τῆς προσχώσεως τῷ μὴ σκεδάννυσθαι σύνδεσμοι γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχουσαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. ἔρημοι δ' εἰσὶ καὶ οὐ μεγάλαι. λέγεται δὲ

ναιὸς ποταμὸς, ἐκ δὲ νότου ὁ Ἀχελῷος οὗτος ποταμὸς ῥεῖ. 2. Αὐτοῖς] τοῖς Οἰνιάδαις. Περιλιμνάζων] περὶ τὴν πόλιν πλημμύρας ὑδάτων ποιῶν. 6. Προσχοῖ ἀεὶ] ὕλην συμφορεῖ. 7. Αἱ ἠπείρωνται] τοιαῦτα πολλὰ οἱ τὰς γεωγραφίας ἡμῖν παραδιδόντες ἀναγράφουσιν ὅπερ καὶ ἐν τῇ πρὸς Αἴγυπτον Φέρῃ τῇ νήσῳ ξυνέβη. ὁ γὰρ Ὅμηρος (Od. 4, 354.) πελαγίαν αὐτὴν ἀναγράφει· νῦν δὲ σχεδὸν ἠπείρωται. 8. Τό, τε γὰρ ῥεῦμά] τοῦ Ἀχελῴου. 10. Τῷ

1. μὲν om. Demetrius.
περὶ L.O.P.
2. δ' ἐξιεὶς] διεξιεὶς libri omnes. correxit Poppo.
αὐτοῖς] αὐτοῖς τε g. αὐτοῖς τοι A.h. αὐτὴν G.
4. alterum τῶν om. e.
5. καὶ ἀντικρὺ K.
6. προσχεῖ K.d.e.f.g.h.i.
7. Τῶν νήσων αἱ ἠπειρ.] Cum Thucydide consentit Strabo, 10. at libro 1. dicit: μία τῶν Ἐχινάδων ἤπειρος γέγονε. Plinius autem (l. 2. c. 85.) invectu Acheloi non continenti annexas Echinadas, sed natas scribit. Huds. Sed exitu caruit vaticinatio Thucydidis et Strab. Vid. Pausan. Arcadic. XXIV. Duk.
δὲ om. P.
8. τινὶ ἂν om. K.
9. μέγα om. g.
καὶ πολὺ θολερὸν L.
10. τὸ K.i.
11. στοιχεῖον e.
12. κείμεναι P.
13. Λέγεται δὲ καὶ Ἀλκ.] Vide Schol. ad Lucianum, tom. 2. Philostratum l. 7. et Basilium in Epist. ad Gregorium Theol. et Hyginum, Fab. 73. Huds. Confer Pausan. VIII. 24. p. 646. Schol. Luciani p. 52. Strabonem X. p. 710. Wass. Lucian. de Saltat. p. 804. inter argumenta saltationis, quae Ætolia suppeditare possit, memorat Ἐχινάδων ἀνάδυσιν, καὶ μετὰ τὴν μανίαν Ἀλκμαίωνος οἴκησιν. Add. Apollodor. III. 7. 5. Sed is I. 9.

καὶ Ἀλκμαίωνι τῷ Ἀμφιάρεω, ὅτε δὴ ἁλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρὸς, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν, ὑπειπόντα οὐκ εἶναι λύσιν τῶν δεινμάτων, πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ κατοικίσηται ἥτις, ὅτε ἔκτεινε τὴν μητέρα, μήπω ὑπὸ ἡλίου ἑωρᾶτο μηδὲ γῇ ἦν, ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. ὁ δ' ἀπορῶν, ὥς φασι, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην τοῦ Ἀχελῴου, καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι, ἀφ' οὗπερ κτείνας τὴν μητέρα οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους ἐδυνάστευσέ τε, καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε. τὰ μὲν περὶ Ἀλκμαίωνα τοιαῦτα λεγόμενα παρελάβομεν.

103. Naupactum reversus Phormio, primo vere Athenas proficiscitur cum captivis navibusque captis.

* Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων, ἄραντες ἐκ τῆς Ἀκαρνανίας καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον, ἅμα ἦρι κατέπλευσαν ἐς τὰς Ἀθήνας, τούς τε ἐλευθέρους τῶν αἰχ-

μὴ σκεδάσσυσθαι] τὴν πρόσχωσιν δηλονότι. 2. Τῆς μητρὸς] τῆς Ἐριφύλης. 8. Καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν] τὸ ἐξῆς, δίαιτα ἱκανὴ τῷ σώματι ἐδόκει ἡ πρόσχωσις, δηλονότι εἰς χρείαν τοῦ σώματος. 11. Ἐδυνάστευσέ τε] τὴν βασιλείαν ἔσχε. 12. Τὴν ἐπωνυμίαν ἐγκατέλιπε] πρότερον γὰρ Κουρῆτις ἐκαλεῖτο. Ὅμηρος· Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι (Il. 9, 525). 13. Παρελάβομεν] ἀκοῇ δηλονότι.

21. non recte easdem facit Echinadas et Strophadas. Quod autem Thucydides Echinadas ἐρήμους esse dicit, id de plerisque et minoribus intelligendum esse, quia Dulichium quoque inter eas ponit Strabo, putat Cellar. II. Geogr. Ant. 14. Et εὐλιμένας fuisse ex hoc Callimachi Hymn. in Del. v. 155. λιπαρὸν νήεσσιν Ἐχινάδες ὅρμον ἔχουσαι, observat ibi Spanhemius. Duk.

2. μητρὸς συνέβη τὸν f.
3. εἰπόντα O.
4. κατοικήσηται A.B.I.N.P.Q. c.e.f.g.h.
6. γε ἄλλης] γῆς ἴλης L.O.P.Q. γῆς ἄλλης e.
7. πρόχωσιν C.d.
τοῦ om. c.
8. ἂν κεχῶσθαι] ἀνακεχῶσθαι Stephanus.
10. οἰνίδας e.
12. τῇ χόρᾳ L.Q.g.
κατέλιπε F.H.
μὲν περὶ A.B.C.G.K.L.O.g.h.
13. λεγόμενα] λέγομεν ἃ A.B. H.N.g.h.
παραλάβωμεν d.

Illi viritim redempti totidem Atheniensium civibus. Finis tertii anni.

μαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἱ ἀνὴρ ἀντ᾽ ἀνδρὸς ἐλύθησαν, καὶ τὰς γαῦς ἃς εἶλον. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

a. Ἐλύθησαν] ἐλυτρώθησαν, εἰς λύτρων ἐδόθησαν.

1. οἱ om. P.
2. ἐτελεύτα om. I.L.O.P.e.
3. τοῦδε C.c.
4. συνέγραψεν g.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Γ.

Τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἅμα τῷ σίτῳ ἀκμάζοντι ἐστράτευσαν ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ ἐγκαθεζόμενοι ἐδήουν τὴν γῆν· καὶ προσβολαὶ, ὥσπερ εἰώθεσαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων, ὅπῃ παρείκοι, καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία, ἀνεχώρησαν, καὶ διελύθησαν κατὰ πόλεις. 1. Tertia Lacedæmoniorum in Atticam incursio breviter narratur.

* Μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων εὐθὺς Λέσβος, πλὴν Μηθύμνης, ἀπέστη ἀπ' Ἀθηναίων, βουληθέντες 2. Lesbii ab Atheniensi-

2. Ἐς τὴν Ἀττικήν] ἀντὶ τοῦ κατὰ τῆς Ἀττικῆς. 4. ἐγκαθεζόμενοι] ἐνδιατρίβοντες. οὐχ ἁπλῶς πορείαν ποιούμενοι, ἀλλ' ἐμβραδύνοντες, διὰ τὸν σῖτον. Τὴν γῆν] τῶν Ἀθηναίων. 6. Ὅπῃ παρείκοι] ὅπου ἐνεδέχετο καὶ ἐνεχώρει. Τῶν ψιλῶν] τῶν Δακεδαιμονίων. 7. Τὸ μὴ προεξιόντας—κακουργεῖν] λείπει ἡ διά· διὰ τὸ μὴ προεξιόντας τῶν ὅπλων λῃστεύειν. 8. Κακουργεῖν] λῃστεύειν. Οὗ εἶχον τὰ σιτία] ἀντὶ τοῦ ἕως οὗ εἶχον τροφήν.

3. ἦγητο E.
6. ὅπου K.O.
παρήκει d.
Καὶ τὸν πλεῖστον — κακουργεῖν] Corinthus de Dial. Att. in his statuit ellipsin præpositionis διὰ, quasi sententia esset, διὰ τὸ μὴ κακουργεῖν. Scholiastes quoque ellipsin τοῦ διὰ esse dicit, sed aliter ac Corinthus: nam non conjungit διὰ τὸ μὴ ἀδικεῖν, sed διὰ τὸ μὴ προεξιόντας. Refellit eos Stephanus ad Corinth. artic. VIII. et Append. ad Script. de Dial. p. 178. et ostendit, tam articulum, quam negationem, ante verba ἀπαγορευτικὰ, et quæ ἀπαγορεύσεως significationem inclusam habent, abundare. Nam sic Thucyd. I. 62. ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν. Et apud alios quoque sæpe hujusmodi verba cum solo Infinitivo ponuntur. Add. quæ adnotantur ad II. 101. et Schol. infra ad cap. 6. Sententiam horum verborum aliter expressam habes supr. II. 22. Dux.
7. τῷ d. διὰ τὸ e.
προσεξιόντας A.B.E.b.d.e.
11. Μηθύμνης] Ita numus apud Holsten. Herodotus, Philostra-

bus clam deficiunt,

μὲν καὶ πρὸ τοῦ πολέμου, ἀλλ' οἱ Λακεδαιμόνιοι οὐ προσεδέξαντο, ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον ἢ διενοοῦντο ποιήσασθαι. τῶν τε γὰρ λιμένων τὴν χῶσιν καὶ τειχῶν οἰκοδόμησιν καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι, καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε καὶ σῖτον, καὶ ἃ μεταπεμπόμενοι ἦσαν. Τενέδιοι γὰρ, ὄντες αὐτοῖς διάφοροι, καὶ Μηθυμναῖοι, καὶ αὐτῶν Μυτιληναίων ἰδίᾳ ἄνδρες κατὰ στάσιν, πρόξενοι Ἀθηναίων, μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις ὅτι ξυνοικίζουσί τε τὴν Λέσβον ἐς τὴν Μυτιλήνην βίᾳ, καὶ τὴν πα-

1. Πρὸ τοῦ πολέμου] τοῦ Πελοποννησιακοῦ. Οὐ προσεδέξαντο] ἵνα μὴ λύσωσι τὰς τριακοντούτεις σπονδάς. 2. Ἀναγκασθέντες δὲ] διὰ τοῦτο ἠναγκάσθησαν ἀποστῆναι, διὰ τὸ διαβληθῆναι. Καὶ ταύτην] οὐχ ὡς καὶ ἄλλην αὐτῶν πεποιημένων ἀπόστασιν· ἀλλὰ τὸ ταύτην ἀντὶ τοῦ ἐν ταύτῃ τῇ χρόνῳ τέθεικε. 3. Πρότερον ἢ διενοοῦντο] πρὶν εὐτρεπισθῆναι. ἐπιφέρει διὰ τί ἀναγκασθέντες· ἦσαν γὰρ ἐκ πολλοῦ βουλόμενοι ἀποστῆναι, ἀλλὰ μὴν μήπω εὐτρεπισθέντες ἀπέστησαν. Τῶν τε γὰρ λιμένων] οἱ προσδεχόμενοι πολεμίους κατὰ θάλατταν ἰσχυροτέρους αὐτῶν, χῶμα ἔχουν ἐπὶ τοῖς στόμασι τῶν λιμένων, ὅπως δυσείσπλωτοι τοῖς πολεμίοις εἶεν. 6. Καὶ ἃ μεταπεμπόμενοι ἦσαν] καὶ ἃ μετεπέμποντο. 7. Αὐτοῖς] τοῖς Μιτυληναίοις. 9. Μηνυταὶ γίγνονται] τὸ μηνυταὶ γίγνονται τῷ κατὰ στάσιν, συντακτέον, ἵνα ᾖ τοιοῦτον, στασιασάντων (δηλονότι πρὸς ἀλλήλους) τῶν πολιτῶν, μία στάσις ἐμήνυσεν αὐτῶν τὴν ἀπόστασιν τοῖς Ἀθηναίοις. 10. Ἐς τὴν Μυτιλήνην βίᾳ] ἄκοντας τοὺς Λεσβίους ἀναγκάζουσιν εἰς τὴν Μιτυλήνην οἰκῆσαι. Ἐβούλοντο γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενοι πολεμεῖν. Καὶ τὴν παρασκευὴν] καὶ

tus Vit. Apoll. IV. 13. at IV. 16. corrupte Μεθύμναν. Cantacuzenus Μεθύμνης p. 290. et Alciphron Μεθυμναίῳ μειρακίῳ 275. Callimachus Epig. XVI. Στήλη, καὶ Μήθυμνα τεὴ πόλις. Ita Geogr. vett. et Isocrates Epist. Julianus Imp. p. 111. Schol. Homer. Il. ι. 130. Unus opinor Scylax cum ε scribit. Ælianus Anim. IV. 20. Μηθύμνης τῆς Κρητικῆς meminit. Verum ibi legerim Ῥιθύμνης nunc *Retimo*, vid. Tournefort. I. 28. Wass.

1. καὶ om. K.

3. ᾖ H.

4. χῶσιν] θέσιν I.e.

6. ἃ] ἅμα P.

7. γὰρ] δὲ L.O.P.

μηθυμναίων οἱ καὶ H.g.

Καὶ αὐτῶν Μιτ.] De belli hujus origine vide Aristot. Politic. l. 5. c. 4. Huds. Causam ejus narrat Aristoteles Polit. Ε'. IV. Confer Diodorum XII. 314. et Aristotelem Polit. V. 135. Wass.

8. μυτιληναίων et mox μυτιλήνην A.B.E. qui sic tantum non ubique. Rarius K. velut 3, 27. et 35. Vulgo μιτυληναίων et μιτυλήνην.

κατὰ] διὰ i.

ρασκευὴν ἅπασαν μετὰ Λακεδαιμονίων καὶ Βοιωτῶν ξυγγενῶν ὄντων ἐπὶ ἀποστάσει ἐπείγονται· καὶ εἰ μή τις προκαταλήψεται ἤδη, στερήσεσθαι αὐτοὺς Λέσβου. * οἱ δ' Ἀθηναῖοι (ἦσαν γὰρ τεταλαιπωρημένοι ὑπό τε τῆς νόσου καὶ τοῦ πολέμου ἄρτι καθισταμένου καὶ ἀκμάζοντος) μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον προσπολεμώσασθαι, ναυτικὸν ἔχουσαν καὶ δύναμιν ἀκέραιον, καὶ οὐκ ἀπεδέχοντο πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς Μυτιληναίους τήν τε ξυνοίκησιν καὶ τὴν παρασκευὴν διαλύειν, δείσαντες προκαταλαβεῖν ἐβούλοντο. καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς, αἳ ἔτυχον περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν· Κλεϊππίδης δὲ ὁ Δεινίου τρίτος αὐτὸς ἐστρατήγει. ἐσηγγέλθη γὰρ αὐτοῖς ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως ἑορτὴ, ἐν ᾗ πανδημεὶ Μυτιληναῖοι ἑορτάζουσι, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω· καὶ ἦν μὲν ξυμβῇ ἡ πεῖρα,—εἰ δὲ μὴ, Μυτι-

3. qui rem a delatoribus nuntiatam primo credere nolentes, legatis frustra missis, celeritate antevertere statuunt. Classis quadraginta navium Lesbum mittitur cujus tamen adventum prænuntiat Mitylenen ignotus quidam homo.

παρασκευάζονται μετὰ ἐπιδείξεως, ὥστε ἀποστῆναι, συλλαμβανόντων αὐτοῖς Λακεδαιμονίων καὶ Βοιωτῶν. τὸ δὲ συγγενῶν ὄντων ἐπὶ μέρους τοὺς Βοιωτοὺς ἐνεκτέον· οὗτοι γὰρ κατὰ τὸ Αἰολικὸν συγγενεῖς τῶν Λεσβίων. 3. Αὐτοὺς] τοὺς Ἀθηναίους. 6. Μέγα μὲν ἔργον] δυσχέρειαν. Προσπολεμώσασθαι] ἀντὶ τοῦ πρὸς τοῖς οἰκείοις πολεμίοις, τοῖς Πελοποννησίοις δηλονότι, καὶ αὐτὴν πολεμίαν ποιῆσαι. 7. Ἀκέραιον] ἀζήμιον. 10. Τήν τε ξυνοίκησιν] τῆς Λέσβου εἰς τὴν Μιτυλήνην. 18. Καὶ ἦν μὲν] τὸ σχῆμα καλεῖται ἀναντα-

2. τις om. K.
3. στέρεσθαι L.P.
4. πρατεταλαιπωρημένοι L.O.P.
τε om. O.
8. πρῶτον A.B.E.F. H.g.h. ceteri τὸ πρῶτον.
τῆς B.
νομίζοντες e. μένοντες i.
9. βουλεύσασθαι i.
11. ξυνοίκισιν E.c.e.
τὴν om. e.
14. κλειππίδης Diodoro p. 314. c. Vix alibi memoratur. Wass.
15. ἐσηγγέλθη K.
αὐτοῖς om. f.
16. ᾖ] τῇ K.
17. ἐλπίδας K.
εἶναι om. E.
18. ἦν] εἰ K.Q. cum Schol. Aristophan. qui mox συμβῇ.
Καὶ ἦν μὲν ξυμβ.] Ut plena

ληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι καὶ τείχη καθελεῖν, μὴ πειθομένων δὲ πολεμεῖν. καὶ αἱ μὲν νῆες ᾤχοντο· τὰς δὲ τῶν Μυτιληναίων δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ Ἀθηναῖοι, καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο. τοῖς δὲ Μυτιληναίοις ἀνὴρ ἐκ τῶν Ἀθηνῶν διαβὰς ἐς Εὔβοιαν καὶ πεζῇ ἐπὶ Γεραιστὸν ἐλθὼν, ὁλκάδος ἀναγομένης ἐπιτυχὼν, πλῷ χρησάμενος καὶ τριταῖος ἐκ τῶν Ἀθηνῶν ἐς Μυτιλήνην ἀφικόμενος ἀγγέλλει τὸν ἐπίπλουν. οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον.

εἶδοτον. Ὅμηρος· Ἀλλ' εἰ μὲν δώσουσι γέρας (Il. I, 135.) Ὁ νοῦς οὗτος, καὶ εἰ μὲν κατορθωθῇ τὸ ἐλπιζόμενον, καὶ τῇ πείρᾳ αὐτῇ καταλάβωσιν αὐτοὺς ἄξιοι, καλῶς ἂν ἔσται τοῖς Ἀθηναίοις τὰ πράγματα. 1. Ναῦς τε παραδοῦναι] τοῖς Ἀθηναίοις. 2. Καὶ αἱ μὲν νῆες] τῶν Ἀθηναίων δηλονότι. 3. Παρὰ σφᾶς] τοὺς Ἀθηναίους. 4. Κατὰ τὸ ξυμμαχικὸν] διὰ τὴν ξυμμαχίαν. 7. Ἐπὶ Γεραιστὸν] Γεραιστὸς ἀκρωτήριον Εὐβοίας, ἔχον λιμένα. 8. Πλῷ] ἀντὶ τοῦ εὐπλοίᾳ. Καὶ τριταῖος] δι' ἡμερῶν τριῶν. 9. Τὸν

sit oratio, post ἡ πεῖρα suppleri debet καλῶς ἂν εἴη, ut monet Corinthus de Dialectis. Vide Schol. in Aristophanis Πλοῦτον, V. 468. et Steph. Animadv. in lib. de Dial. p. 23. Huds. Καὶ ἦν—πολεμεῖν] Corinthus in Hort. Adonidis Ald. 1496. Wass. Συμβῇ, non ξυμβῇ, ut Huds. in Var. Lectionib. habet Schol. Aristoph. Ἐλπίδα et ἐλπίδας in MSS. commutari supra plus semel adnotatum est. Duk.

1. τεῖχος Q.
3 τῶν om. i.
περὶ g.
4. οἱ om. L,O.P.
ἀθηναίων K.
7. γεραστὸν b.

Γεραιστὸν] Γεραστὸς quidem Etymologus, et Libanius Orat. p. 243. Neuter satis emendate. Schol. et Geographi, Suidas, Aristides, I. 39. Homer. Herodot. Plutarch. Camill. 138. alii, Γεραιστὸν scribunt. Procopius B. G. IV. 629. ἐν Γερεστῷ corrupte. Martianus VI. 213. Gerasto et Caphareo. At Solinus, quem ibi exscribit, Gerœsto, post Melam et Plinium, exhibet. In Martiano non variant tres MSS. neque in Solino Petrensis. Confer Schol. Aristoph. Ἱππ. 558. Wass. Γεραιτὸς etiam Lucian. In Trag. p. 141. Liv. 31. 45. Gerœstum nobilem Eubœæ portum. Duk.

8. ἐπιτυχὼν] ἐπὶ τειχῶν P.
ἀθηναίων g.
10. μαλόεντα] μέλλοντα P. μαλέοντα c.
11. καὶ τῶν λιμένων B.g.h.
ἡμιτελέστατα d.
ἐφύλαττον H.N.

καὶ οἱ Ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ ἐσακουόντων δὲ τῶν Μυτιληναίων ἐς πόλεμον καθίσταντο. ἀπαράσκευοι δὲ οἱ Μυτιληναῖοι καὶ ἐξαίφνης ἀναγκασθέντες πολεμεῖν, ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ ὀλίγον πρὸ τοῦ λιμένος, ἔπειτα καταδιωχθέντες ὑπὸ τῶν Ἀττικῶν νεῶν λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τὸ παραυτίκα, εἰ δύναιντο, ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι. καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπεδέξαντο, καὶ αὐτοὶ φοβούμενοι μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ πάσῃ πολεμεῖν. καὶ ἀνακωχὴν ποιησάμενοι πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ Μυτιληναῖοι τῶν τε διαβαλλόντων ἕνα, ᾧ μετέμελεν ἤδη, καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελθεῖν ὡς σφῶν οὐδὲν νεωτεριούντων. ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικὸν, οἳ ὥρμουν ἐν τῇ Μαλέᾳ πρὸς βορέαν τῆς

4. Itaque Lesbum delati Athenienses, cum nihil a Lesbiis impetrarent, navale præsidium committunt; quo facto Lesbii ex pacto in fidem Atheniensium redeunt, et per inducias legati de pace Athenas mittuntur, sed clanculum etiam ad Lacedæmonios alii, qui auxilium petant.

ἐπίπλουν] τῶν Ἀθηναίων. 1. Καὶ οἱ Ἀθηναῖοι] ἀντίκτωσις, ἀντὶ τοῦ τῶν Ἀθηναίων. Ὅμηρος· Οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν ἀμφὶς ἱκάνει. Ὡς ἑώρων] ὡς ἔγνωσαν ὅτι ἔμαθον τὸν ἐπίπλουν καὶ προεφυλάξαντο οἱ Μιτυληναῖοι. 2. Ἀπήγγειλαν μὲν] τοῖς Μιτυληναίοις. Τὰ ἐπεσταλμένα] τὰ προσταχθέντα. 9. Ὁμολογίᾳ τινὶ] συνθήκῃ τινὶ φιλανθρώπῳ. ἔνιοι δὲ, ἐπιεικεῖ εὐπρεπεῖ. 14. Ἀπελθεῖν] τῆς Μιτυλήνης δηλονότι. 17. Ἐν τῇ Μαλέᾳ]

1. πολὺ A.E.F.H.K.c.f.g.h. ceteri πολλῷ.
3. ἐς τὸν πόλεμον g.
4. δὲ ὄντες οἱ e.
καὶ om. L.O.P.
6. ναυμαχίαν I.G. ναυμαχίας e.
7. καὶ διωχθέντες H.
ὑπὸ τῶν ἀπὸ τῶν P.
9. ὁμιλίᾳ Q.
11. μὴ—ποιησάμενοι] om. P.
πάσῃ λέσβῳ e.
13. διαβαλλόντων σφᾶς ἕνα L. O.P.e.i.
Μετέμελεν] Huc fortassis respexit Auct. Lexici in Montfauc. Biblioth. Coislin. p. 483. (Lex. Seg. 107, 12.) Μεταμελεῖν, ἀντὶ τοῦ μετανοεῖν. Θουκ. γ'. Duk.
14. ἄλλως H.
17. μαλέῳ I.
Ἐν τῇ Μαλέᾳ] Sic etiam Xenophon I. Græc. pag. 446. τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μιτυλήνης. Strabo XIII. p. 616. Malæam vocat: ἀπὸ Μηθύμνης εἰς Μαλίαν τὸ νοτιώτατον ἄκρον ἐν δεξιᾷ ἔχοντι τὴν νῆσον—ubi Casaub. quoque adnotat in Ptole-

πόλεως· οὐ γὰρ ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. καὶ οἱ μὲν ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κομισθέντες αὐτοῖς ἔπρασσον ὅπως τις βοήθεια ἥξει. οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ Μυτιληναῖοι καὶ ἡ ἄλλη Λέσβος, πλὴν Μηθύμνης· οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν, καὶ Ἴμβριοι καὶ Λήμνιοι καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων. καὶ ἔξοδον μέν τινα παν-
δημεὶ ἐποιήσαντο οἱ Μυτιληναῖοι ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον, καὶ μάχη ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μυτιληναῖοι οὔτε ἐπηυλίσαντο οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου καὶ μετ' ἄλλης παρασκευῆς βουλόμενοι, εἰ προσγένοιτό τι, κινδυνεύειν (καὶ γὰρ αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται καὶ Ἐρμαιώνδας Θηβαῖος, οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν κρύφα μετὰ τὴν μάχην ὕστερον ἐσπλέουσι τριήρει, καὶ παρήνουν πέμπειν

5. Re non impetrata, legati Athenis redeunt, et Lesbii omnes, praeter Methymnenses, Atheniensium castra, eruptione facta, aggrediuntur. Pugna commissa, aequo Marte dimicant Lesbii, sed victos se esse rati, nec sibi confisi, cedunt. et auxilia Lacedæmoniorum, ipsis promissa, exspectare statuunt.

Μαλέα ἀκρωτήριον Λέσβου. 6. Καὶ ἡ ἄλλη Λέσβος] καθίσταται εἰς μάχην δηλονότι. 9. Ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον] τὸ ὁρμοῦν ἐν τῇ Μαλέᾳ. 11. Ἐπηυλίσαντο] ἐπαυλίσασθαί ἐστι τὸ πλησίον τῶν πολεμίων νυκτὸς αὐλίσασθαι, καθυπερτερούντων αὐτῶν. 12. Ἀνεχώρησαν] εἰς τὴν πόλιν δηλονότι. 13. Βουλόμενοι, εἰ προσγένοιτό τι, κινδυνεύειν] τὸ ἑξῆς, βουλόμενοι, εἰ προσγένοιτό τι καὶ ἐκ Πελοποννήσου, μετ' ἄλλης παρασκεῆς κινδυνεύειν. 14. Αὐτοῖς] τοῖς Μιτυληναίοις.

mæo non recte legi Μανίαν. Idem error est in Schol. Aristoph. Ran. v. 33. ἡ δὲ Ἀργίνουσα πόλις τῆς Αἰολίδος, ἄντικρυς δὲ Λέσβου κειμένη καὶ Μανίας καλουμένης ἄκρας. Ubi pro Ἀργίνουσα, quamquam ita etiam habet Suid., fortassis rectius legatur Ἀργινοῦσα, ut apud alios. Duk.

1. προσχωρήσειν K.e.
2. τὴν om. c.
3. ἔπραττον f.
4. ἀθηναίων e.
10. στρατεύματι d.
11. ἐπηυλήσαντο E.f. ἐπιβλύσαντο K.
σφίσιν om. e.
12. ἡσυχάζοντες l.
14. προσγίγνοιτο K.c.d.e.f. μαλέας f.g.
15. ἑρμεώνδας e.
18. ἐκπέμπειν N

τριήρη ἄλλην καὶ πρέσβεις μεθ' ἑαυτῶν· καὶ ἐκπέμπουσιν), * οἱ δὲ Ἀθηναῖοι πολὺ ἐπιῤῥωσθέντες διὰ τὴν τῶν Μυτιληναίων ἡσυχίαν ξυμμάχους τε προσεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων, καὶ περιορμισάμενοι τὸ πρὸς νότου τῆς πόλεως ἐτείχισαν στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μυτιληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μυτιληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι προσβεβοηθηκότες ἤδη, τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν

6. Athenienses, duobus utrimque castris munitis, utrumque portum navibus circumcludunt, et a mari Lesbios arcent.

3. Πολὺ] πολὺ ἢ πρότερον. 4. Οὐδὲν ἰσχυρὸν] οὐδεμίαν ἰσχυρὰν βοήθειαν. 6. Τοὺς ἐφόρμους] τὰς ναυτικὰς ἐφόδους. 7. Καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι] ἀντὶ τοῦ ὥστε μὴ χρῆσθαι. ἔνιοι δὲ τὴν μὴ ἀπόφασιν περιττὴν φασι. τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστι, καὶ τῆς μὲν θαλάσσης εἶργον χρῆσθαι τοὺς Μιτυληναίους. ὥρμουν δὲ οἱ Ἀθηναῖοι ἐπ' ἀμφοτέροις τοῖς λιμέσι τῶν Μιτυληναίων, ὥστε μὴ δύνασθαι αὐτοὺς ἐκπλεῖν. τοῦτο γάρ ἐστι τὸ μὴ χρῆσθαι τῇ θαλάττῃ. 10. Πρόσβεβοηθηκότες] πρὸς βοήθειαν δραμόντες. 11. Οὐ πολὺ]

1. ἄλλην τριήρη f. αὐτῶν B.E.h.
2. δὲ om. P.
3. συμμάχους B.E.Q.c.
5. περιορμησάμενοι A.B.E.H. c.g.h. περιορισάμενοι K.
Ἐτείχισαν στρατόπεδα δύο] Lib. I. cap. 116. ἐπολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν. Vid. Casaubon. ad Polyb. I. 24. Duk.
6. Τοὺς ἐφόρμους — ἐποιοῦντο] Suidas h. v. et τὰς ἐφορμίσεις interpretatur. Ἐφόρμῳ, νεώλκῳ Hesych. Strabo III. νησίδια ΕΦΟΡΜΟΥΣ ἔχοντα μετρίους. Noster ἔφορμοι νῆες in statione: ad formam vocis Homericæ πάνορμος, quam proxime accedit noster. Vid. T. Magistrum. Wass.
9. καὶ οἱ — ἀθηναῖοι] om. P.
10. περὶ] ἐπεὶ b.
11. Ναύσταθμον — Μαλέα] T. Magister, ubi legendum πλοίων, non πλείων. Idem. Thomas et ὁ ναύσταθμος et τὸ ναύσταθμον Attica esse dicit: sed Stephanus Append. ad Script. de Dial. pag. 157. putat, Atticos potius dixisse τὸ ναύσταθμον. Et adfert e Plutarcho ναύσταθμα πειρατικά: quod est in vita Pompeii. Eustath. quoque in Homer. Il. έ. p. 582. ἀπὸ τοῦ (σταθμὸς scil.) ἁπλῶς δηλοῦντος τόπον στάσεως, τὸ ναύσταθμον εἴρηται. Et Strabo XIII. 598. aliquoties τὸ ναύσταθμον Iliensium dicit. Sed ex his non pro certo adfirmari potest, Atticos quoque non dixisse ναύσταθμος. Nam hæc etiam apud alios permutantur. Ita Strabo in descriptione Cyrenaicæ XVII. p. 838.

αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα. καὶ τὰ μὲν περὶ Μυτιλήνην οὕτως ἐπολεμεῖτο.

7. Breviter narratur Atheniensium in Peloponnesum et Acarnaniam expeditio, qua nihil proficiebant.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα, καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγὸν, κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα. καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ' οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ' ἔχων δώδεκα ἀφικνεῖται ἐς Ναύπακτον, καὶ ὕστερον Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ στρατεύει ἐπ' Οἰνιάδας, καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῷον ἔπλευσε, καὶ ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν χώραν. ὡς δ' οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφίησιν, αὐτὸς δὲ πλεύσας ἐς Λευκάδα καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος, ἀναχωρῶν διαφθείρεται αὐτός τε καὶ τῆς στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων καὶ φρουρῶν τινῶν

μέρος γῆς δηλονότι. 1. Αὐτοῖς] τοῖς Ἀθηναίοις. 3. Τοῦ θέρους] ἐπὶ τοῦ θέρους. 4. καὶ ἐς Πελοπόννησον] ἡ ἐς ἀντὶ τῆς περί. 8. τὰ ἐπιθαλάσσια] ἡ ἐπὶ ἀντὶ τῆς παρά. 9. ἐπ' οἴκου] ἐπ' Ἀθήνας. 11. ἀναστήσας] μετοικίσας, ἐγείρας καὶ κινήσας, οὐκ ἐκβαλών. 14. προσεχώρουν] προσήρχοντο οἱ Οἰνιάδαι. 15. ἀναχωρῶν] ὑποστρέφων.

memorat, τὸ Ναύσταθμον, qui Scylaci p. 109. Ed. Gron. et Ptolemæo p. 101. est Ναύσταθμος λιμὴν, Melæ I. 8. *Naustathmus*, non *Naustathmum*. Sic apud Plin. III. 8. portus Naustathmus in Sicilia: et in Strabone d. l. XIII. libri scripti uno loco habent αὐτὸν τὸν ναύσταθμον. Duk.

1. μὲν om. d.
4. ἐς] περὶ I.K.N.c.d.e.f.g. τριάκοντα om. g.
6. τῶν] τὸν Q.
7. περιπλέουσαι g.
12. τε om. N.
13. δ' οὐ om. Q.
14. δ' ἐστελεύσας d.
15. νηρικὸν E.g. νήρικον P. Νήρικον] Qui Cod. Græv. tractavit, potuerat continere manus ab emendatione. Strabo X. 454. ὁ μέντοι ἀντὶ Νηρίτου (quod est in Ithaca) γράφων Νήρικον, ἢ ἀνάπαλιν, παραπαίει τελέως. Unde tamen intelligi potest, non novum esse hunc errorem. Duk.
16. τε om. f. τι om. K.
17. αὐτόθι I.K.L.N.O.P.c.d. e.i.

ἐλίγων. καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ τῶν Λευκαδίων ἐκομίσαντο.

Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μυτιληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν· ἦν δὲ Ὀλυμπιὰς ἡ Δωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα. καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον τοιάδε. 8. Mitylenensium legati, a Lacedæmoniis Olympiam citati, peractis ludis, in templo Jovis Olympii coram sociis Peloponnesiacis causam dicunt, 9—14. Primum se purgant a perfidiæ in Athienses suspici-

"ΤΟ μὲν καθεστὸς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἴσμεν· τοὺς γὰρ ἀφι-

4. Αὐτοῖς] τοῖς πρέσβεσι. 8. Μετὰ τὴν ἑορτὴν] μετὰ τὸ παρελθεῖν τὰ Ὀλύμπια. 10. Τὸ μὲν καθεστὸς] διαιρεῖται ἡ δημηγορία αὕτη κεφαλαίοις· τῷ δικαίῳ, οἷον ὅτι δικαίως ἀπέστημεν· τῷ δυατῷ, ὅτι δυνατὰ παρακαλοῦμεν (ἐφθαρμένοι γάρ εἰσι τῇ νόσῳ, καὶ ἡ δύναμις αὐτῶν εἰς πολλὰ διῄρηται)· τῷ συμφέροντι, ὅτι λυσιτελεῖ δύναμιν καταδέξασθαι πόρρωθεν ἰσχύουσαν, καὶ τὰς ἀπὸ τῶν συμμάχων Ἀθηναίοις παρατεινομένας προσόδους δυναμένην κωλῦσαι. ἐπὶ δὲ τελευτῆς ἀπὸ τοῦ ἐναντίου παροξυσμὸς, καὶ παράκλησις ποικίλως δυσωποῦσα. Καθεστὼς δὲ νόμιμον τὸ ἔθος λέγει. 11. Τοὺς γὰρ ἀφιστ.] πρὸς τὸ τοὺς γὰρ ἀφισταμένους λεί-

4. πρέσβεις μιτυληναίων f.
5. ὅπου e.
6. τὴν om. g.h.
7. δωριεὺς B.

Δωριεὺς Ῥόδ.] Diagoræ filius, cujus meminit Xenoph. Ἕλλην. I. Vide Aristot. Rhet. l. 1. et Petr. Victorium in eandem, p. 60. Huds. In ἀναγραφῇ Olympiadum Dorieus Rhodius primum pancratio vicisse dicitur Olymp. LXXXVII. secundum Olymp. LXXXVIII. tertium Olymp. LXXXIX. Duk.

ὁ ῥόδιος B.

10. καθεστὸς E.K.

Ὦ ἄνδρες] Ἄνδρες omittunt quidam Codices. Eadem varietas est II. 72. et 89. ubi Stephanus putat, adjectione illius magis Græcum effici sermonem. Et tamen sæpissime abest. Vid. I. 32. 68. 80. et 140. Duk.

ἄνδρες om. K.L.O.P.c.e.

11. Τοὺς γὰρ—ἡγοῦνται] Corinthus, qui habet ἐν πολεμίοις, et ἀπολωλότας, χείρους ille κακοὺς interpretatur. Wass. Non probante Stephano Animadvers. in Lib. de Dialect. p. 37. cui adsentior, etsi alioqui non novum est, comparativos pro positivis poni, quod Idem l. d. multis exemplis ostendit. Add. Gataker. de Stilo Nov. Instrum. cap. XV. Phrasis οὐ χεῖρον, pro καλὸν, vel οὐ κακὸν ubivis obvia est. Vid. de ea Leopard. X. Emendat. 21. Et sic recte accipi potest apud Aristophan. Equit. v. 37. quan-

one, quod desciverint, cum ab illis magis quam ceteri socii culti fuerint; deinde quod illo ipso tempore desciverint; denique communem Græciæ utilitatem, quæ ex societate cum ipsis facta percipi possit, ostendunt.

" σταμένους ἐν τοῖς πολέμοις καὶ ξυμμαχίαν τὴν πρὶν
" ἀπολείποντας οἱ δεξάμενοι, καθ' ὅσον μὲν ὠφελοῦνται,
" ἐν ἡδονῇ ἔχουσι, νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ
" τοῦ φίλων χείρους ἡγοῦνται. καὶ οὐκ ἄδικος αὕτη ἡ
" ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφιστά-
" μενοι καὶ ἀφ' ὧν διακρίνοιντο ἴσοι μὲν τῇ γνώμῃ ὄντες
" καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει,
" πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀποστά-
" σεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν. μηδέ τῳ χείρους
" δόξωμεν εἶναι, εἰ ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν ἐν
10. " τοῖς δεινοῖς ἀφιστάμεθα. * περὶ γὰρ τοῦ δικαίου καὶ
" ἀρετῆς πρῶτον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι,

πει τὸ ἑτέρων. 3. Ἐν ἡδονῇ ἔχουσι] ἥγουν ἡδύνονται. 4. Χείρους ἡγοῦνται] τὸ χείρους οὐκ ἔστι συγκριτικὸν, ἀλλ' ἀντὶ τοῦ κακούς. θεραπεύουσι δὲ διὰ τούτων οἱ Μιτυληναῖοι τὴν ὑπόνοιαν τῶν Λακεδαιμονίων, ὅπως εὐμενεῖς αὐτοὺς παρασκευάσωσιν ἀκροατάς. Αὕτη ἡ ἀξίωσις] ἡ δίκη, ἡ κρίσις, ὁ λογισμός. 6. Διακρίνοιντο] ἀφίσταιντο. Ἴσοι μὲν τῇ γνώμῃ ὄντες] ὁμοιότροποι μὲν ὄντες ταῖς γνώμαις, ἰσοσθενεῖς δὲ ταῖς δυνάμεσιν. οἷον ἰσοπαλεῖς καὶ ἰσοδύναμοι τῇ γνώμῃ καὶ φιλίᾳ, ἴσους εἶναι καὶ ἀντιπάλους τῇ δυνάμει. 8. Ἐπιεικὴς] εὔλογος, εὐπρεπής. 9. Μηδέ τῳ χείρους] μηδεὶς ἡμῶν προκαταγνῷ, πρὶν ἀκοῦσαι ὑπὲρ τῆς ζητήσεως ταύτης ἀπολογουμένων ἡμῶν. 10. Τῶν αὐτῶν] τῶν Ἀθηναίων δηλονότι. 11. Περὶ γὰρ τοῦ δικαίου] ἡ διάνοια· περὶ γὰρ τοῦ δικαίως αὐτῶν ἀφίστασθαι, καὶ μὴ διὰ κακίαν τε καὶ πανουργίαν, ἀλλὰ δι' ἁπλότητα (ἀρετὴν γὰρ τὴν ἁπλότητα λέγει), πρῶτον ποιησόμεθα τοὺς λόγους· καὶ μάλιστα ἐπειδὴ δεόμεθα τυχεῖν τῆς παρ' ὑμῶν συμμαχίας.

quam Suidas exponit βέλτιον. Cetera in Corintho e Thucydide emendanda censet Stephanus. Duk.

1. πολεμίοις A.F.H.h.

4. Αὕτη ἡ ἀξίωσις] Nescio, cur Thomas Magist. ἀξίωσιν hoc loco interpretetur παράκλησιν. Debuerat potius ad aliam significationem referre, qua ἀξίωσιν etiam pro eo, ὅπερ ἀξιοῖ τις, poni dicit. Recte hic Scholiastes, cujus expositionem veriorem esse indicat præcedens ἡγοῦνται. Duk.

6. Ἴσοι μὲν—δυνάμει] Thom. Mag. in ἀντίπαλον, ubi est καὶ τῇ εὐνοίᾳ. Wass. Ἀντίπαλοι hic Thomæ sunt ἐναντίοι. Præfero cum Interprete expositionem Scholiastæ, quam etiam confirmant ea, quæ leguntur in fine cap. XII. Duk.

8. δὲ i.

ὑπάρχει K.e.g.

9. ἡμῖν καὶ A.B.E.F.H.K.L. M.O.P.d.e.f.g. vulgo ἡμῖν τε καὶ.

10. δόξομεν K.

τιμωρούμενοι Q.

11. γὰρ om. L.

" τοὺς λόγους ποιησόμεθα, εἰδότες οὔτε φιλίαν ἰδιώταις
" βέβαιον γιγνομένην οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδέν, εἰ
" μὴ μετ' ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο καὶ
" τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς
" γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. ἡμῖν
" δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον ἀπολι-
" πόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμει-
" νάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. ξύμ-
" μαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν
" Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ
" Μήδου τοῖς Ἕλλησι. καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου
" ἠγοῦντο, προθύμως εἱπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐ-
" τοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν
" ξυμμάχων δούλωσιν ἐπαγομένους, οὐκ ἀδεεῖς ἔτι ἦμεν.
" ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι, διὰ πολυψηφίαν,
" ἀμύνασθαι οἱ ξύμμαχοι ἐδουλώθησαν, πλὴν ἡμῶν καὶ

3. Μετ' ἀρετῆς δοκούσης] ἀντὶ τοῦ τῆς δοκουμένης καὶ νομιζομένης ὄντως ἀρετῆς· οὐ γὰρ δὴ τὴν προσποιητὴν λέγει. κἀνταῦθα δὲ ἡ ἀρετὴ ἀντὶ τῆς ἁπλότητος κεῖται. 4. Ἐν γὰρ τῷ διαλλάσσοντι] ἐν γὰρ τῷ μὴ ταυτὰ ἀμφοτέροις δοκεῖν αἱ διαφοραὶ γίνονται. 5. Ἡμῖν δὲ καὶ Ἀθηναίοις] ἀρχὴ τῶν ἀγώνων· κεφάλαιον τὸ δίκαιον. 7. Ἐκ τοῦ Μηδικοῦ πολέμου] μετὰ τὸν Μηδικὸν πόλεμον. Παραμεινάντων] τῷ πολέμῳ δηλονότι. 8. Πρὸς τὰ ὑπόλοιπα] πρὸς τὰ ἑξῆς. 11. Ἀπὸ τοῦ ἴσου] κατ' ἰσονομίαν, ἰσοτίμως. 13. Ἀνιέντας] ἐνδιδόντας, παρορῶντας. Τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους] τοῖς συμμάχοις δουλείαν ἐπάγοντας. τὸ ἐπαγομένους ἀντίκειται μὲν τῷ ἀνιέντας, μετενήνεκται δὲ ἀμφότερα ἀπὸ τῶν τοὺς δεσμοὺς ἀνιέντων τε καὶ ἐπαγόντων, ὅπερ ἐστὶ σφιγγόντων. ἄρχονται δὲ διὰ τούτων τῆς δικαιολογίας, παριστάντες ὅτι οὐκ ἀδίκως ἀφίστανται. 15. Ἀδύνατοι δὲ ὄντες] ὁμογνωμονῆσαι δηλονότι. Διὰ πολυψηφίαν ἀμύνασθαι] ἐγενόμεθα, φησὶ, διὰ πολυγνωμοσύνην καὶ τὸ μὴ τὰ αὐτὰ πᾶσι δοκεῖν, χωρὶς ἕκαστοι. ἰδίᾳ

3. μὴ μετ'] μήτ' A.B.
5. καὶ διαφοραὶ L.O.P. καὶ αἱ διαφθοραὶ b.
9. Ξύμμαχοι—Ἑλλήνων] Corinthus p. 151. Wass. Vid. ad I. 137. Duk.
9. δουλώσει h.
10. τοῖς ἀθηναίοις K.c.
11. μηδικοῦ d.i.
14. ἀδεῶς c.
16. ἀμύνεσθαι B.E.H.g.h.

" Χίων· ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ
" ὀνόματι ξυνεστρατεύσαμεν. καὶ πιστοὺς οὐκέτι εἴχομεν
" ἡγεμόνας Ἀθηναίους, παραδείγμασι τοῖς προγιγνο-
" μένοις χρώμενοι· οὐ γὰρ εἰκὸς ἦν αὐτοὺς, οὓς μὲν μεθ'
" ἡμῶν ἐνσπόνδους ἐποιήσαντο, καταστρέψασθαι, τοὺς δὲ 5
" ὑπολοίπους, εἴ ποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο.
11. " * καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι
" ἂν ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες
" τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλε-
" πώτερον εἰκότως ἔμελλον οἴσειν, καὶ πρὸς τὸ πλεῖον 10
" ἤδη εἶκον, τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου, ἄλλως
" τε καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο καὶ
" ἡμεῖς ἐρημότεροι. τὸ δὲ ἀντίπαλον· δέος μόνον πιστὸν

δὲ ἕκαστοι γενόμενοι ἀδύνατοι ἦμεν Ἀθηναίοις ἀντέχειν. 1. Αὐτόνομοι δὴ ὄντες] ἐμφατικῶς τὸ δὴ εἶπεν, ἀντὶ τοῦ δῆθεν, καὶ μόνου ὀνόματος μέχρι ἐλεύθεροι, καὶ οὐκ αὐταῖς ταῖς ἀληθείαις. 4. Αὐτοὺς] Ἀθηναίους δηλονότι. 7. Εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν] τοῖς οἰκείοις νόμοις χρώμενοι ἕως τοῦ νῦν. Βεβαιότεροι] ἤτοι ἐπιστεύομεν ἂν αὐτοῖς βεβαίως μηδὲν καινοτομήσειν εἰς ἡμᾶς. 8. Ὑποχειρίους δ' ἔχοντες] ἡ διάνοια, τοὺς πλείους τῶν συμμάχων ἔχοντες ὑπηκόους, ἡμῖν δὲ ἰσοτίμως προσφερόμενοι, εἰκότως ἤχθοντο τῶν μὲν πλειόνων συμμάχων εἰκότων καὶ ὑποτεταγμένων, ἡμῶν δὲ μόνων ἰσοτίμων ὄντων πρὸς αὐτούς. 9. Τοὺς πλείους] τῶν Ἑλλήνων δηλονότι. ἦγουν Βυζαντίους, Ναξίους, Σαμίους καὶ τοὺς λοιπούς. Ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες] τὴν ἴσην ἡμῖν δίαιταν διδόντες. 10. Καὶ πρὸς τὸ πλεῖον] τὸ πλεῖον τοῦ συμμαχικοῦ πλήθους κυριεύθεν, ἡμῶν δὲ μόνων ἔτι ἀδουλώτων ὄντων, χαλεπῶς ἔφερον Ἀθηναῖοι. 12. Καὶ ὅσῳ δυνατώτεροι] καὶ μάλιστα κατὰ τοῦτο ἔμελλον ἡμῖν προσφέρεσθαι χαλεπῶς, καθὸ αὐτοὶ μὲν μείζους ἐγίγνοντο διὰ τὸ πολλοὺς καταστρέφεσθαι, ἡμᾶς δὲ ὁρῶντες ἀεὶ ἀσθενεστέρους καταλειπομένους, εἶα δὴ μανυμένους τῶν συμμάχων. Αὐτοὶ αὑτῶν] οἱ Ἀθηναῖοι, διὰ τὸ κυριεύειν. 13. Τὸ δὲ ἀντίπαλον δέος μόνον] τοῦ μένειν τὴν συμμαχίαν μία πίστις ἐχυρὰ, τὸ ἀλλήλους ἐπίσης δεδιέναι. ἐξ οὗ δηλοῦται τὸ προκείμενον ἀνωτέρω τί ποτέ

3. παραδείγματι g.
προγεγενημένοις L. προγενομένοις O.P. προσγιγνομένοις c.
4. μεθ'] καθ' I.
6. ἠδυνήθησαν L.
8. δὲ om. Q.
10. εἰκότος Q.
ἔμελλον] ἔμμελον Q.
ἐξοίσειν H. ἔξειν Q.
11. ἦκον d.
ἔτι om. d.i.
13. μόνον δέος c.

" ἐς ξυμμαχίαν· ὁ γὰρ παραβαίνειν τι βουλόμενος τῷ
" μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται. αὐτόνομοί τε
" ἐλείφθημεν οὐ δι' ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν
" εὐπρεπείᾳ τε λόγου καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ
" ἰσχύος τὰ πράγματα ἐφαίνετο καταληπτά. ἅμα μὲν
" γὰρ μαρτυρίῳ ἐχρῶντο, μὴ ἂν τούς γε ἰσοψήφους ἄκον-
" τας, εἰ μή τι ἠδίκουν οἷς ἐπῆσαν, ξυστρατεύειν· ἐν τῷ
" αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους
" πρώτους ξυνεπῆγον, καὶ τὰ τελευταῖα λιπόντες τοῦ
" ἄλλου περιῳρημένου ἀσθενέστερα ἔμελλον ἕξειν. εἰ δὲ
" ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων αὐτῶν τε
" ἰσχὺν καὶ πρὸς ὅ τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχει-

ἐστι τὸ ἀντιπάλους εἶναι τῇ παρασκευῇ. 1. Ὁ γὰρ παραβαίνειν] τῆς συμμαχίας, φησὶν, ὁ τολμῶν τι παραβῆναι ἀποτρέπεται, λογιζόμενος ὅτι ἰσοδύναμος ὢν οὐκ ἂν νικήσειε. τὸ ἑξῆς, ὁ γὰρ βουλόμενος λύειν τὴν συμμαχίαν, ἂν ἴδῃ ὅτι οὐ πλέον ἕξει διὰ τὸ ἀντίπαλον εἶναι τὴν δι' ἐναντίας παρασκευὴν, ἀποτρέπεται τοῦ παραβαίνειν τὰς συνθήκας. 2. Ἀποτρέπεται] ἀπείργεται. 3. Ἐς τὴν ἀρχὴν] τὴν δούλωσιν τῶν Ἑλλήνων. καὶ γὰρ αὐτονόμους, φησὶ, κατέλιπον ἡμᾶς οἱ Ἀθηναῖοι οὐ κατ' εὔνοιαν, οὐδὲ δι' ἄλλο τι, ἢ ἵνα τὰ πράγματα αὐτῶν γένωνται δι' ἡμῶν καταληπτὰ, καὶ τοὺς ἄλλους χειρώσωνται Ἕλληνας, χρώμενοι λόγῳ εὐπρεπεῖ, ἡμᾶς ὡς παράδειγμα, καὶ ἵνα ἔχωσιν ἡμᾶς ἐφόδιον τῆς τε γνώμης καὶ τῆς δυνάμεως αὐτῶν, τουτέστι, συνεργοὺς, ἀλλὰ μᾶλλον τῆς γνώμης, ὡς δέλεαρ καὶ ἀπάτην. 4. Ἐφόδῳ] μεθόδῳ. 6. Μαρτυρίῳ] τεκμηρίῳ ἐχρῶντο οἱ Ἀθηναῖοι καταστρεφόμενοι τὰς πόλεις εὐπροσώπῳ, τῇ ἡμετέρᾳ αὐτονομίᾳ, λέγοντες, οὐκ ἂν Μιτυληναῖοι μεθ' ἡμῶν ἰσόψηφοί γε ὄντες καὶ ἐλεύθεροι, ἐπῆσαν ἑκόντες, εἰ μὴ δικαίως ἐπεστρατεύομεν καὶ ἠδικηκόσι τοῖς συμμάχοις. Ἐχρῶντο] οἱ λοιποὶ σύμμαχοι, (φησὶ) τεκμηρίῳ σαφεῖ ἔμελλον χρήσεσθαι τῇ ἀκουσίῳ ἡμῶν μετ' Ἀθηναίων ξυστρατεύσει, ὅτι ἄδικοί εἰσιν οἷς ἐπέρχονται Ἀθηναῖοι. εἰ μὴ γὰρ ἦσαν τοιοῦτοι, οὐκ ἂν ἄκοντας ἦγον συστρατεύειν αὐτοῖς τοὺς ἰσοψήφους Μιτυληναίους. 7. Ἐν τῷ αὐτῷ δὲ] τῷ λιπεῖν ἐλευθέρους ἡμᾶς. 8. Καὶ τὰ κράτιστα] καὶ τοὺς κρατίστους ἡμᾶς ἐπὶ τοὺς ἀσθενεστέρους τῶν Ἑλλήνων πρώτους παρελάμβανον, ἵνα, τῶν ἄλλων Ἑλλήνων περιῳρημένων (ὅ ἐστι δεδουλωμένων) μόνους ἡμᾶς τελευταίους καταλιπόντες, ἀσθενεστέρους ἔχωσι πρὸς τὸ ἀντιπολεμεῖν αὐτοῖς δύνασθαι. 10. Περιῳρημένου] κεκρατημένου. ἡ δὲ σύνταξις, καὶ ἀσθενέστερα ἔμελλον ἕξειν τὰ τελευταῖα τοῦ ἄλλου περιῳρημένου. 12. Καὶ πρὸς ὅ, τι χρὴ στῆναι] καὶ ἡμᾶς τοὺς δυναμένους ἡγήσα-

1. τῷ A.B.E.H.K.g. vulgo τὸ.
2. τε] δὲ L.P.
3. ἐλήφθημεν E.e.
7. ξυστρατεύειν H.E.c.i.
11. ἁπάντων e.

" ρώσαντο. τό τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον, μή
" ποτε καθ' ἓν γενόμενον ἢ ὑμῖν ἢ ἄλλῳ τῳ προσθέμενον
" κίνδυνον σφίσι παράσχῃ· τὰ δὲ καὶ ἀπὸ θεραπείας
" τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν ἀεὶ προεστώτων περιεγε-
" γνόμεθα. οὐ μέντοι ἐπὶ πολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆ- 5
" ναι, εἰ μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώ-
12. " μενοι τοῖς ἐς τοὺς ἄλλους. * τίς οὖν αὕτη ἡ φιλία ἐγί-
" γνετο ἢ ἐλευθερία πιστὴ, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους
" ὑπεδεχόμεθα, καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες
" ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ 10
" ἐποιοῦμεν· ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν

σθαι αὐτῶν. 2. Προσθέμενον] εἰς ταυτὸ συνελθόν. 3. Καὶ ἀπὸ θεραπείας] τέτταρα τεκμήρια τέθεικε, δι' ἃν συνίστησιν ὅτι οὐχὶ διὰ δικαιοσύνην μέχρι δεῦρο ἀπέσχοντο ἡμῶν οἱ Ἀθηναῖοι, ἀλλὰ διὰ πανουργίαν· ἓν μὲν τὸ κατὰ τὴν εὐπρέπειαν τοῦ λόγου, δεύτερον δὲ τὸ γνώμης μᾶλλον ἐφίδῳ ἢ ἰσχύι τὰ πράγματα φαίνεσθαι καταληπτὰ, τρίτον τὸ φοβεῖσθαι τὸ ναυτικὸν τῶν Μιτυληναίων, τέταρτον τὸ θεραπεύεσθαι πρὸς τῶν Μιτυληναίων, κολακείᾳ μὲν κοινῇ τοὺς Ἀθηναίους, δώροις δὲ τῶν προεστώτων ἕκαστον. 5. Ἐπιπολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι] ἠδυνήθημεν διαφυγεῖν τὴν δουλείαν, εἰ μὴ ἔφθασεν ὁ πόλεμος τῶν Πελοποννησίων. τεκμήρια γὰρ ἦν ἡμῖν τὰ πρὸς τοὺς ἄλλους ὑπ' Ἀθηναίων γινόμενα. 11. Ὅ, τε τοῖς ἄλλοις] ὅπερ δὲ τοῖς ἄλλοις ἐξ εὐνοίας (φησί) τὸ πιστεύειν ἀλλήλοις βεβαίως, τοῦτο ἡμῖν ὁ φόβος παρεῖχε βέβαιον, φυλάττειν ἡμᾶς τὰς πρὸς ἀλλήλους πίστεις διὰ τὸν φόβον. Οἱ μὲν Ἀθηναῖοι ἐφοβοῦντο τοὺς Μιτυληναίους ἐν πολέμῳ, μὴ ἀποστῶσι, καὶ ἐθεράπευον αὐτούς· οἱ δὲ Μιτυληναῖοι ἐφοβοῦντο τοὺς Ἀθηναίους ἐν ἡσυχίᾳ, μὴ δουλώσωσιν αὐτοὺς, καὶ διὰ τοῦτο ὑπεῖκον αὐτοῖς· ὥστε ἑκάτεροι διὰ φόβον προσεῖχον ἀλλήλοις, καὶ διὰ τοῦτο ἄπιστος ἦν ἡ φιλία ἀμφοτέρων.

2. προθέμενον Q.
3. παράσχοι Q.f.
ἀπὸ τῆς θεραπείας B.g.h.
6. ὅδε margo L.
8. πιστὴ ἡ ἐλευθερία f.
ἀλλήλοις A.B.
9. ὑποδεχόμεθα K.
11. ὁ δέ τε C.

Ὅ, τε τοῖς ἄλλοις μάλιστα ἡ εὔνοια πίστιν βεβαιοῖ] Recte dicitur πίστιν βεβαιοῦν. Sed est admodum implicita structura, quam Interpres ita explicare conatus est, quasi scriptum esset, ὅ, τε τοῖς ἄλλοις μάλιστα πίστιν βεβαιοῖ, εὔνοια δηλονότι. Veniebat in mentem, εὔνοια πιστὸν βεβαιοῖ, id est, βεβαίως πιστὸν παρέχει, ut ὅ, τε πιστὸν, et τοῦτο ἐχυρὸν inter se respondeant. Sed quia Thucydidis oratio ubique aspera et confragosa est, et omnes scripti editam lectionem tuentur, fortassis præstat nihil tentare. Duk.

πιστὸν d.

" βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε· δέει τε
" τὸ πλέον ἢ φιλίᾳ κατεχόμενοι ξύμμαχοι ἦμεν· καὶ
" ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θάρσος, οὗτοι

2. Καὶ ὁποτέροις θᾶσσον] ὁπότεροι δ' ἂν ἡμῶν ἔφθασαν ἀπαλλαγῆναι τοῦ φόβου καὶ θαρσῆσαι, ὡς ἐν ἀκινδύνῳ ὄντες, οὗτοι καὶ λύσειν ἔμελλον τὰς σπω-

1. τε] δὲ g.
2. τὸ πλεῖον K.
ἦμεν] εἶναι L.P.e.
3. θάρσος A.B.F.H.Q.g.h. vulgo θράσος. Legendum θάρσος, quod ex mente legatorum, et istius sæculi moribus ἐπ' ἐπαίνου accipi posse videtur. Favet Schol. τὸ θαρσῆσαι, et ipse auctor, qui alicubi ἐλπὶς θαρσεῖα. Θράσος ἐπὶ ψόγου sæpe Hippocratis exemplaria, sed, ut suspicor, perperam. Voces hasce fere primus distinxit Aristoteles fine III. Eudem. Ὅτι, inquit, τὸ ὁμοιότερον, ἧττον ἐναντιώτερον φαίνεται· οἷον πέπονθε τὸ ΘΑΡΣΟΣ, καὶ ἀσωτία πρὸς ἐλευθεριότητα. Idem factitat in θρασεῖς et θαρραλέοις diserte Hyperides apud Suidam. Inde Scholiastæ Homeri, Apollonii, et Grammatici, quia non advertunt, aliud esse philosophice, aliud cum vulgo loqui, hanc Scholarum distinctiunculam fere passim inculcant. Haud ita veteres, et in primis Homerus, qui Il. φ'. 394. — κυνόμυια ΘΑΡΣΟΣ ἄητον ἔχουσα. Odyss. ρ'. 449. Ὡς τις ΘΑΡΣΑΛΕΟΣ καὶ ἀναιδὴς ἐσσι προῖκτης. Euripides Phœniss. 753. ΘΑΡΣΕΙ προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ, quomodo et voce εὐψυχία alibi utitur: ΕΤΨΥΧΙΑΝ ἔσπευσας ἀντ' εὐβουλίας. Plato Protag. Οὐ ταυτὸν εἶναι ΘΑΡΣΟΣ καὶ ἀνδρεία· θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίνεται ἀνθρώποις, καὶ ἀπὸ θυμοῦ τε, καὶ ἀπὸ μανίας—ἀνδρεία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται. Confer Aristotelem Eudem. III. 1. qui verba supra scripta ob oculos habuisse videtur. Idem nihilominus legis oblitus suæ lib. de Moribus III. 9. ita scripsit: Οὐκ, εἰ ΘΑΡΡΕΙ μέλλων μαστιγοῦσθαι, ἀνδρεῖος. Sed et θάρσος in furto clandestino adhibet Oppianus Hal. γ'. 516. ubi frustra θράσος reponere avet Rittershusius. Verba autem Apollonii de Lemniarum scelere ex persona Hypsipylæ, facinus atrox honestæ vocis involucro tegentis, huc non plane quadrant. Εἰσόκε τὶς θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε ΘΑΡΣΟΣ. Nam ὑπέρβιον θάρσος omnino in vitium cadit, idemque ac θράσος valet, quo hoc ipso in scelere utitur Æschylus Prom. 860. quod sæpius in *malam partem* usurparunt plerique omnes; non tamen *semper*. Audiamus Homerum patrem Il. ξ'. 416. — τόνδ' οὔτερ ἔχει ΘΡΑΣΟΣ ὅσκων ἴδηται. Æschylum etiam Suppl. 507. — φύλαξαι μὴ ΘΡΑΣΟΣ τέκῃ φόβου. Ubi Schol. θαρσήσας ad sententiam recte, ad metrum perperam. Et 514. — τοῦ ΘΡΑΣΟΣ νέμοις ἐμοί; In versu 962. ratio metrica non impedit, quo minus legatur θάρσος. Pers. 394. vis verbi ab epitheto pendet, ut supra. Ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει. Vid. et Sophoclem Electra 482. Clare Orpheus de Coral. v. 64. et Perseo: Ἀμφασίῃ δ' Ἥρωα λάβε ΘΡΑΣΥΝ ὡς ἐνόησε. Ita Lycophron 537. Iso-

" πρότερόί τι καὶ παραβήσεσθαι ἔμελλον; ὥστε εἴ τῳ
" δοκοῦμεν ἀδικεῖν προαποστάντες διὰ τὴν ἐκείνων μέλ-
" λησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀναναμείναντες
" σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ.
" εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι
" καὶ ἀντεπιμελλῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ'
" ἐκείνοις εἶναι; ἐπ' ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν,
" καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι.

δάς. 1. Ὥστε εἴ τῳ δοκοῦμεν ἀδικεῖν] εἴ τινι δοκοῦμεν ἄτοποί τινες εἶναι, ἀποστάντες ἀπ' αὐτῶν καὶ μὴ ἀναμείναντες μαθεῖν, εἰ ἄρα τι γενήσεται παρ' αὐτῶν πρῶτον, διὰ τὸ ἐμβραδῦναι τοῦτο ποιῆσαι, οὐκ ὀρθῶς ὁ τοιοῦτος λογίζεται. εἶτα καὶ τὴν αἰτίαν ἐπάγει. εἰ γὰρ ἴσοι (φησίν) αὐτοῖς ὑπάρχομεν κατὰ δύναμιν, ὥστε καὶ ἐπιβουλεύουσιν αὐτοῖς ἀντεπιβουλεῦσαι καὶ βραδυνόντων αὐτῶν καὶ μελλόντων ἀντιμελλῆσαι καὶ ἀντιβραδῦναι, τί ἔδει ἡμᾶς ἀπ' ἐκείνοις ταχθῆναι ἢ ὑπακούειν αὐτοῖς; ὑπότε δὲ οὐκ ἦμεν ἴσοι, ἀλλ' ἐπ' ἐκείνοις ἦν τὸ ἐπιχειρεῖν καθ' ἡμῶν ὅτε θέλουσιν, ἔδει καὶ ἐφ' ἡμῖν εἶναι τὸ ἀποστῆναι αὐτῶν πρίν τι παρ' αὐτῶν παθεῖν. 2. Ἐκείνων] τῶν Ἀθηναίων. 3. Αὐτοὶ] ἡμεῖς οἱ Μιτυληναῖοι. 6. Ἀντεπιμελῆσαι] τὴν αὐτὴν ἐπιμέλειαν δέξασθαι. Ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνοις εἶναι] ἤγουν, κατὰ τὸ ἴσον ἐκείνοις.

crates, Demosthenes, Polybius XV. 979. Idemque suadent composita apud Hesiodum et Homerum θρασυκάρδιος, θρασυμέμνων, et in Æschyli Prom. v. 729. θρασυστόλαγχνος. Recentiores, ut supra dixi, in θάρσος et θράσος Aristotelis auctoritatem sequi videntur, unde apud Josephum Antiq. V. 1, 15. et XIII. 12, 5. θάρσους et θαρσοῖς ex MSS. reponendum. Et posteriore loco pro ἐτοίησεν, cum MSS. Voss. Henric. Vatic. ἐνετοίησεν. Interpres vetus *immittebat*. Polybius V. 589. θάρσος ἐμποιῆσαι. Wass.

1. τι om N.

καὶ ante πρότεροί ponit i.

2. μέλησιν Q.

3. δεινῶν] κινδύνων I.L.P.e.

ἀναμείναντες L.O.P. ἂν ἀναμείναντες F.H. οὐ καταναμείναντες K.

5. ἦμεν καὶ ἐκ c.

6. ἀντεπιμελλῆσαι B.E.H.I.d. e.g.h.i. vulgo ἀντεπιμελῆσαι. Præstat, opinor, ἀντιμελλῆσαι.

Ἀντεπιμελῆσαι] Henr. Stephanus verbum ἀντεπιμέλλω in Indicem Thesauri sui contulit: unde adparet, eum probasse ἀντεπιμελλῆσαι, quod et melius cum iis, quæ præcedunt et sequuntur, convenit, quam ἀντεπιμελῆσαι. Scholiastes hic quidem agnoscit ἀντεπιμελῆσαι, sed in expositione v. antep. habet ἀντεπιμελλῆσαι, et convenienter sententiæ interpretatur. Nec in Cass. legitur scholion, quod hic in Scholiaste edito est. Duk.

8. προαμύνεσθαι K. παραμύνασθαι L.P. παραμύνεσθαι O.

" Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακε- 13.
" δαιμόνιοι καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς
" ἀκούουσι γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς
" ἐκφοβῆσαι καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλο-
" μένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν
" ὡς ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ οὐ προσδεξαμένων
" κωλυθέντας· νῦν δὲ, ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο,
" εὐθὺς ὑπηκούσαμεν, καὶ ἐνομίζομεν ἀποστήσεσθαι δι-
" πλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλήνων, μὴ ξὺν κακῶς
" ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν, ἀπό
" τε Ἀθηναίων, μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν
" ὑστέρῳ, ἀλλὰ προποιῆσαι. ἡ μέντοι ἀπόστασις ἡμῶν
" θᾶσσον γεγένηται καὶ ἀπαράσκευος· ᾗ καὶ μᾶλλον
" χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς διὰ ταχέων βοήθειαν
" ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ, καὶ
" ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. καιρὸς δὲ ὡς
" οὔπω πρότερον. νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι καὶ

μένων ἐκείνων κινηθῆναι καὶ ἡμᾶς. 2. Σαφεῖς μὲν] σαφῶς τοὺς ἀκούοντας διδάξαι δυναμένας. 3. Εἰκότως] ἐνδεχομένως. Ἱκανὰς] τὰς αἰτίας δηλονότι. 8. Ἀποστήσεσθαι] κατὰ δύο τρόπους (φησὶν) ἀφιστάμεθα τῶν Ἀθηναίων, τοῦτο μὲν ὑπὲρ τοῦ μὴ παθεῖν αὐτοὶ κακῶς ὑπ' αὐτῶν ὕστερον, τοῦτο δὲ ὑπὲρ τοῦ μὴ κακῶς μετ' Ἀθηναίων ποιῆσαι τοὺς Ἕλληνας, ἀλλὰ μεθ' ἡμῶν ἐλευθερῶσαι αὐτούς. τὸ δὲ προποιῆσαι οὐκ ἐπὶ τῷ διαφθεῖραι τοὺς Ἀθηναίους, ἀλλ' ἐπὶ τῷ πρότερόν τι ποιῆσαι, τουτέστιν ἀποστῆναι. 11. Ἐν ὑστέρῳ] χρόνῳ δηλονότι. 12. Ἡ μέντοι ἀπόστ.] σφόδρα τεχνικῶς ἐπὶ τὴν συμμαχίαν προτρέπουσι τοὺς Λακεδαιμονίους· ὅτι ἀπαράσκευοί ἐσμεν, ὡς ταχέως ἀποστάντες. Ἀπόστασις] ἀπὸ τῶν Ἀθηναίων δηλονότι. 13. Ἧ καὶ μᾶλλον χρὴ] τὸ ἐξῆς, ξυμμάχους ἡμᾶς δεξαμένους ὑμᾶς τοὺς Λακεδαιμονίους. τὸ γὰρ δεξαμένους ἀντὶ τοῦ δέξασθαι. 17. Ἐφθάραται] ἐφθάρη-

1. ἔχοντα P.
ὦ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι καὶ αἰτίας f.
4. τινα om K.
6. ὡς] πρὸς f. ὡς πρὸς c.
7. κωλυθέντες E.I.K.L.O.P.c.e. f.g.
10. μετὰ θηβαίων correctus L. συνελευθεροῦν e.
15. φαίνοισθε c.e.
16. ὡς] οἷος L.O.P.Q. καὶ I.
17. τε om. L.P.
γὰρ om. O.
ἐφθάρηται L.O. ἐφθάρφται K.

" χρημάτων δαπάνη, νῆές τε αὐτοῖς αἱ μὲν περὶ τὴν ὑμε-
" τέραν εἰσὶν, αἱ δ' ἐφ' ἡμῖν τεταγμέναι, ὥστε οὐκ εἰκὸς
" αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἣν ὑμεῖς ἐν τῷ θέρει τῷδε
" ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον, ἀλλ'
" ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας, ἢ ἀπ' ἀμφοτέ-
" ρων ἀποχωρήσονται. νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς
" πέρι οἰκεῖον κίνδυνον ἕξειν. ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖ-
" ναι ἡ Λέσβος, τὴν ὠφελίαν αὐτῷ ἐγγύθεν παρέξει. οὐ
" γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται,
" ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. ἔστι δὲ τῶν χρημά-
" των ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων
" ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσε-
" ται ἄλλος, τά τε ἡμέτερα προσγενήσεται, πάθοιμέν τ'
" ἂν δεινότερα ἢ οἱ πρὶν δουλεύοντες. βοηθησάντων δὲ
" ὑμῶν προθύμως πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχου-
" σαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ, καὶ Ἀθη-

σαν. 2. Ἐφ' ἡμῖν] καθ' ἡμῶν. Τετάχαται] τεταγμέναι εἰσίν. 5. Ἀπ' ἀμφοτέρων] ἀπό τε ὑμῶν τῶν Λακεδαιμονίων καὶ τῶν Μιτυληναίων. 8. Οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται] οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ἐν δὲ τῇ ἡμετέρᾳ χώρᾳ, δι' ἣν ὠφελοῦνται οἱ Ἀθηναῖοι, χρήματα λαμβάνοντες ἀπὸ τῶν συμμάχων. καὶ πλείονά γε ἔσται αὐτοῖς, ἂν ἡμᾶς καταστρέψωνται. τά τε γὰρ ἡμέτερα προσλήψονται, πρότερον οὐ φορολογοῦντες ἡμᾶς, καὶ τὰ ἀπὸ τῶν ἄλλων βεβαίως ἕξουσιν. καὶ γὰρ οὐδεὶς ἀποστήσεται, γνοὺς Μιτυληναίους δεδουλωμένους. 11. Ἡ πρόσοδος] τῶν χρημάτων τοῖς Ἀθηναίοις. ὅρα τὴν σύνταξιν. 12. Καταστρέψονται] δουλώσουσιν. 14. Ἢ οἱ πρὶν δουλεύοντες] τὸ ἢ οἱ πρὶν δουλεύοντες, οὐκ ἐπὶ τοῦ πρότεροι ἡμῶν δουλεύοντες νοητέον, ἀλλ' ἐπὶ τοῦ πρὶν ἀποστῆναι δηλονότι, δουλεύοντες, καὶ οὐ μετὰ τὸ ἀποστῆναι. 15. Ὑμῶν] τῶν Λακεδαιμονίων. Προσλήψεσθε] κτήσεσθε.

1. αἱ om. L.
2. ὑφ' f.
4. ἅμα om. d.i.
ἐσβάλητε L.O.P.
5. ὑμᾶς A.B.E.H.K.L.M.N.O.P.b.c.d.e.f.g.
ἐπ' g.
6. τε] δὲ E.
9. ὅς] ὃς E.
10. ἡ om. e.
ἔτι K.
δὲ om. f.
11. συμμάχων g.
μείζων L.O.
13. τά τε] καὶ τὰ L.
προσγενήσονται P.

" ναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐτῶν τοὺς ξυμ-
" μάχους (θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται), τήν
" τε αἰτίαν ἀποφεύξεσθε, ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφι-
" σταμένοις. ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ
" πολέμου βεβαιότερον ἕξετε. * αἰσχυνθέντες οὖν τάς τε 14.
" τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας καὶ Δία τὸν Ὀλύμ-
" πιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμὲν, ἐπαμύνατε
" Μυτιληναίοις ξύμμαχοι γενόμενοι, καὶ μὴ πρόησθε
" ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλ-
" λομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφελίαν
" ἅπασι δώσοντας, ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ μὴ
" πεισθέντων ὑμῶν σφαλησόμεθα. γίγνεσθε δὲ ἄνδρες

1. Καθαιρήσετε] καταβαλεῖτε. Ὑφαιροῦντες] κατ' ὀλίγον ἀποσπῶντες. 2. Θρασύτερον] θαῤῥαλεώτερον. Προσχωρήσεται] προσχωρήσει, ὑμῖν δηλονότι. 4. Τὸ κράτος τοῦ πολέμου] τὸ δύνασθαι δηλονότι περιγενέσθαι ἐν τῷ πολέμῳ. 7. Ἴσα καὶ ἱκέται ἐσμὲν] ὅμοιοι καὶ ἴσοι ἱκέταις ἐσμέν. τὸ ἴσα καὶ ἱκέται ἐσμὲν εἶπεν, ἐπειδὴ καὶ συμμαχίαν αὐτοῖς προσάγουσιν, ὥστε, καθ' ὃ μὲν κινδυνεύουσιν, ἱκέται εἰσὶ, καθ' ὃ δὲ συμμαχίαν διδόασιν, οὐ πανταπασιν ἱκέται, ἀλλ' ὥσπερ ἱκέται. 8. Πρόησθε] ἀπολύσητε. 9. Τὸν κίνδυνον] τοῦτο ἐπὶ τῆς δαπάνης ἀκουστέον, καὶ τῶν ἀναλωμάτων. ἡμέτερος, φησὶν, ὁ κίνδυνός ἐστιν· ἡμεῖς γὰρ δαπανῶμεν. 11. Διδόντας] δώσοντας. 12. Ἀν-

1. ῥᾷον] μᾶλλον e.
Καθαιρήσετε] Suidas καθαιρήσεται interpretatur καθελεῖται. apud Hesych. καθαιρεθήσονται, καταστραφήσονται. Wass.
2. γὰρ] δὲ L.
πᾶς om g.
προσχωρήσεται c.
5. ἔχετε B.K.L.O.
6. τῶν ἑλλήνων om. e.
7. ἴσοι d.
ἀμύνατε c.
9. περιβαλλομένους g.
Παραβαλλομένους] Homer. Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν. Aristides. π. μέσην τοῖς τοῦ πολέμου κινδύνοις τὴν πόλιν. Joseph. III. 7. 7. B. Jud. πιστεύων τῷ Θεῷ τὴν σωτηρίαν παραβάλλεται: Salutis discrimen adit. D. Halic. Ant. XI. 31. παραβάλλεσθαι πράγμασι καλοῖς χαλεποῖς. Sed hoc loco subaudiendum εἰς, vel κατά. Frustra enallagen, Grammaticorum θεὸν ἀπὸ μηχανῆς, inducit Portus. Vid. Diodor. 118. c. Wass. Xenophon II. Cyrip. p. 53. Wech. παραβαλλόμενοι δὲ οὐκ ἴσα εἰς τὸν κίνδυνον ἴσμεν. ubi tamen vet. lib. ἴμεν habebat, probante Camerario. Duk.
10. ὠφελίαν om. P.
11. δώσοντας A.B.E.F.H.I.K. L.M.N.O.P. b.c.e.f.g.h.i. vulgo διδόντας.
12. ἀσφαλησόμεθα K.
δὲ] οὖν N.

" εἴουσπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι καὶ τὸ ἡμέτερον
" δέος βούλεται."

15. Finita oratione, Lacedæmonii Lesbios in societatem recipiunt, neque sociis solum mandant, ut in isthmum pergant, sed ipsi quoque eo se conferunt citius, quam socii, et navigia administrant.

Τοιαῦτα μὲν οἱ Μυτιληναῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, ἐπειδὴ ἤκουσαν, προσδεξάμενοι τοὺς λόγους, ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο, καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς τε ξυμμάχοις παρεῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ ἰσθμῷ, ὡς ὑπεροίσοντες ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπίοντες. καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον· οἱ δὲ ἄλλοι ξύμμαχοι βραδέως τε ξυνελέγοντο, καὶ ἐν καρπῷ ξυγκομιδῆ ἦσαν καὶ ἀῤῥωστίᾳ τοῦ στρατεύειν.

ἀρες] ἀνδρεῖοι, πρόθυμοι. 4. Τοὺς λόγους] τῶν Μιτυληναίων. 7. Τοῖς δύο μέρεσιν] ὅτε τὸ μὲν τριτημόριον μείνῃ, φυλάττων τὴν πόλιν ἑκάστην, τὸ δὲ δίμοιρον ἐπὶ τὴν πόλεμον ἔλθῃ. 8. Ποιησόμενοι] τὴν ἐσβολὴν δηλονότι. Ὁλκοὺς] οἱ ἑλκοὶ ὄργανά εἰσιν, οἷς αἱ νῆες ἕλκονται. 11. Ἐπίοντες] κατὰ τῶν Ἀθηναίων δηλονότι. Προθύμως ταῦτα ἔπρασσον] ἀντιφορικῶς εἶπεν, ἀντὶ τοῦ οὐ προθύμως ἐστράτευον. 13. Ξυγκομιδῇ] συλλογῇ.

1. περ] περὶ e.
6. παρεῦσι om. L.O.P.
7. ἐς om. g.h.
8. ποιησόμενοι τὴν ἐσβολήν. καὶ f.
9. παρεσκευάζοντο L.O.P.
10. ἀθηναίους Q.
11. τοιαῦτα N.
13. ἐγ καρπῷ K.
ξυνκομιδῇ g. κομιδῇ e.
Ξυγκομιδῇ] Etymologus ἐν συγκ. κ. η. Glossæ. *collectus*. D. Halicarn. Ant. IV. 56. ΣΥΓΚΟΜΙΔΗΣ ὥραν ἔχουσαι. ubi pro πάλιν ex Vat. repone, μήκωνος τῷ σκήπωνι ΠΑΙΩΝ τὴν κεφαλὴν, διήρατε. Isocrat. Areop. Εὐκαίρως πρὸς τὴν ΣΥΓΚΟΜΙΔΗΝ τῶν καρπῶν. Diodor. p. 10. συγκ. οἴνου. Usus est etiam de cadavere componendo Sophocl. Aj. 1070. eleganter, quomodo sacri Scriptores 2 Sam. xxi. 13. Reg. ii. 22. 20. Job. v. 26. ἐλεύσῃ ἐν τάφῳ ὥσπερ ΣΙΤΟΣ ὥριμος κατὰ καιρὸν θεριζόμενος. Confer Schol. Æsch. in Sept. ad v. 1032. Wass.

Ἀῤῥωστίᾳ] Isocrates Panathen. Τὴν δὲ φύσιν εἰδὼς πρὸς μὲν τὰς πράξεις ἈΡΡΩΣΤΟΤΕΡΑΝ, καὶ μαλακωτέραν οὖσαν τοῦ δέοντος. Glossæ vertunt *ægrimoniam*, languitatem. Th. Magister: οὐ μόνον ἡ νόσος, ἀλλὰ καὶ ἡ ἁπλῶς ἀδυναμία· ἐπειδὴ καὶ ὁ νόσῳ ἀδυνάτως ἔχει χρῆσθαι ἑαυτῷ. ἀτονίαν τῆς ψυχῆς vocat Chrysippus. Thomas legit, ἐν ΚΑΡΠΩΝ ξυγκομιδῇ. Sed Suidas in συγκομιδή· συγκομ. καρ-

Αἰσθόμενοι δὲ αὐτοὺς οἱ Ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ' οἷοί τέ εἰσι μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικὸν καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατὸν ἐσβάντες αὐτοί τε πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων καὶ οἱ μέτοικοι, καὶ παρὰ τὸν ἰσθμὸν ἀναγαγόντες ἐπίδειξίν τε ἐποιοῦντο καὶ ἀποβάσεις τῆς Πελοποννήσου ἢ δοκοῖ αὐτοῖς. οἱ δὲ Λακεδαιμόνιοι, ὁρῶντες πολὺν τὸν παράλογον, τά τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἠγοῦντο οὐκ ἀληθῆ, καὶ ἄπορα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν περθοῦσαι, ἀνεχώρησαν ἐπ' οἴκου. ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον ὅ τι πέμψουσιν ἐς τὴν Λέσβον, καὶ κατὰ

16. Athenienses autem, instructis centum navibus, circa Peloponnesum navigabant; cumque Lacedæmonii, ab illis pressi et a sociis suis relicti, domum abirent, Athenienses et ipsi redeunt.

3. Ἐγνώκασιν] οἱ Πελοποννήσιοι. Εἰσι] οἱ Ἀθηναῖοι. 6. Πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων] ἔστιν Ἀθήνησι πολιτικὰ συντάγματα τέσσαρα, ὧν τὸ εὐπορώτατον πεντακοσιομέδιμνοι, τὸ δὲ δεύτερον ἱππεῖς, τὸ δὲ τρίτον, ζυγῖται, τὸ δὲ τέταρτον θῆτες. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι οὐκ ἠναγκάσθησαν εἰσελθεῖν εἰς τὰς ναῦς, ὡς μεγίστην τιμὴν ἔχοντες ἐν τῇ πόλει διὰ τὸ πολλὰ τελεῖν· οἱ δὲ ἱππεῖς, ὅτι οὐκ ἦν τούτων χρεία. 7. Ἐπίδειξιν] δεῖξιν φανεράν. 8. Δοκοῖ] ἔδοξε. 11. Ἄπορα νομίζοντες] ἀντὶ τοῦ τί δεῖ ποιεῖν ἀπέγνωσαν.

τοῦ. Wass. Suidas h. v. ἀβρωστία τοῦ στρατεύειν, ἀντὶ τοῦ ἀπροθυμία. Θουκυδ. Dux.

3. ἔγνωσαν c.

4. ἐπὶ τῇ λέσβῳ O. ἐπὶ λέσβου Q.d.g.

5. ἀμύνασθαι K.

6. τε om. K.e.

Ἱππέων καὶ Πεντακ.] Vide Plutarchi Solonem. Sigonium de Rep. Athenien. Meursii Attic. Lect. l. 5. c. 20. Ejusdem Solonem, cap. 14. Rutgersii Var. Lect. p. 316. et Marshami Chronic. p. 603. Huds. Vid. Pollucem, Æschylum Agam. 1626. Wass.

πεντακοσίων μεδίμνων e.

7. καὶ οἱ παρὰ c.d.e. παρὰ etiam A.B.E.F.H.K.L.N.P.Q.c.d.e.f.g. vulgo enim περὶ.

8. ᾗ] εἰ L.P.

δοκοῖ H.K.P.d.i.

9. κατάλογον c.

10. τοῦ λεσβίου K. λεσβίων, omisso articulo, g.h.

11. νομίσαντες καὶ αὐτοὶ καὶ οἱ K.

13. τὴν om. L.O.P.

15. ὅτι] ὅπως L.O.P.

πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος· καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσὶν, ἐπειδὴ καὶ ἐκείνους εἶδον. * καὶ κατὰ τὸν χρόνον τοῦτον, ὃν αἱ νῆες ἔπλεον, ἐν τοῖς πλείσταις δὴ νηῒ ἅμ' αὐτοῖς ἐνέργοι κάλλει ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν ἐφύλασσον, καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν, χωρὶς δὲ αἱ περὶ Ποτίδαιαν· καὶ ἐν τοῖς ἄλλοις χωρίοις, ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἐνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν (αὐτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας)....

17. De navium Atticarum tum temporis magno numero, deque sumptu in illas impenso.

1. Ἐπήγγελλον] ἐζήτουν. 4. Ἐκείνους εἶδον] ἀναχωρήσαντας δηλονότι. 5. Ἐν τοῖς] ἐν τούτοις τοῖς χρόνοις, ἢ τοῖς Ἀθηναίοις. Ἐνεργοὶ] αἱ τὸ ἔρ-

4. καὶ ante ἐκείνους om. d.

5. ἐν τοῖς] αὐτοῖς O. ἐν αὐτοῖς K.e. ἐν αὐταῖς c. E post τοῖς lacunam habet quattuor litterarum.

Ἐν τοῖς] Vide Reiz. de accentus inclin. p. 17. ed. Wolf.

6. ἐγίγνοντο e.

7. ἀρχομένου ἅμα τοῦ e.

καὶ ἐς εὔβοιαν K.

10. ἐγίγνοντο ἅμα g.

11. ἐν om. K.P.

καὶ ante πεντήκοντα om. E.

12. ἐπανάλωσε e.

13. Δίδραχμοι ὁπλῖται] Ita ex h. l. Viri docti recte restituerunt apud Pollucem IV. 165. accedentibus etiam Libris scriptis Pollucis. De stipendiis eorum, qui terra militabant, et classiariorum apud Athenienses, vid. Meurs. II. Atticar. Lection. 8. quem locum designat in Var. Lect. Hudsonus, Lips. V. de Milit. Rom. 16. et Petit. ad Leg. Attic. p. 554. qui hoc extraordinarium fuisse existimant. Nam alioqui illos quaternos, hos ternos in diem obolos accepisse. Cur Portus τήν τε γὰρ Ποτίδαιαν ἐφρούρουν, verterit, *qui Potidæam obsidebant*, ipse viderit. De his, qui in præsidio Potidææ erant post deditionem urbis, de qua est II. 70. accipiunt Valla, Budæus V. de Asse, p. 175. Ed. Vasc. Lipsius, et Petitus. Hoc tamen ex verbis Thucydidis, quamquam satis obscuris, videtur colligi, eos, qui urbem obsederant, idem stipendium accepisse. Duk. Conf. Boeckhium (Staatshaushaltung der Athener. tom. I. p. 131.)

14. ὑπηρέτῃ μισθὸν δραχμὴν Ulpian. ad Demosth. adv. Leptin.

....ὄντος καὶ νεωτέρου ἔτι, πατρὸς δὲ ἀδελφὸς ὤν. ἐδήωσαν δὲ τῆς Ἀττικῆς τά τε πρότερον τετμημένα, καὶ εἴ τι ἐβεβλαστήκει, καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβολαῖς παρελέλειπτο· καὶ ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο τοῖς Ἀθηναίοις μετὰ τὴν δευτέραν. ἐπιμένοντες γὰρ ἀεὶ ἀπὸ τῆς Λέσβου τι πεύσεσθαι τῶν νεῶν ἔργον ὡς ἤδη πεπεραιωμένων, ἐπεξῆλθον τὰ πολλὰ τέμνοντες. ὡς δ' οὐδὲν ἀπέβαινεν αὐτοῖς ὧν προσεδέχοντο, καὶ ἐπελελοίπει ὁ σῖτος, ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις.

27. Interea Mitylenenses, seditione plebis coacti, cum Pachete conveniunt de deditione,

Οἱ δὲ Μυτιληναῖοι ἐν τούτῳ, ὡς αἵ τε νῆες αὐτοῖς οὐχ ἥκον ἀπὸ τῆς Πελοποννήσου ἀλλὰ ἐνεχρόνιζον, καὶ ὁ σῖτος ἐπελελοίπει, ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς Ἀθηναίους διὰ τάδε. ὁ Σάλαιθος καὶ αὐτὸς οὐ προσδεχόμενος ἔτι τὰς ναῦς, ὁπλίζει τὸν δῆμον πρότερον ψιλὸν ὄντα, ὡς ἐπεξιὼν τοῖς Ἀθηναίοις· οἱ δὲ ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο ἔτι τῶν ἀρχόντων, κατὰ ξυλλόγους τε γιγνόμενοι ἢ τὸν σῖτον ἐκέλευον τοὺς δυνατοὺς φέρειν ἐς τὸ φανερὸν καὶ διανέμειν ἅπασιν, ἢ αὐτοὶ ξυγχωρήσαντες

παῖδές εἰσι Παυσανίου τοῦ ἐν Πλαταιᾶσιν ἀριστεύσαντος ἐπὶ τῶν Μήδων. 5. Ἐπιμένοντες] οἱ Λακεδαιμόνιοι (φησὶν) ἐπιμένοντες ἀκοῦσαι τὸ ἀποβησόμενον ἀπὸ τῆς Λέσβου ὑπὸ τοῦ Ἀλκίδα, ἕτεμον τὰ πολλὰ τῆς Ἀττικῆς. 7. Ἐπεξῆλθον] ἐπέδραμον, τὰ πολλὰ μέρη δηλονότι. 11. Ἐνεχρόνιζον] ἔν τινι τόπῳ πολὺν χρόνον μένουσαι διεβίβαζον. 15. Ὡς ἐπεξιὼν τοῖς Ἀθηναίοις] ὡς κινηθησόμενος κατὰ τῶν Ἀθηναίων. 16. Ἠκροῶντο] ὑπήκουον τοῖς ἄρχουσι. 18. Διανέμειν] μεμερισμένως διδόναι. Ξυγχωρήσαντες] ὑπείξαν-

1. Νεώτερου] Hunc locum videtur ante oculos habuisse Auctor Lexici Biblioth. Coislin. ap. Montfauc. pag. 483. (Lex. Seg. p. 109, 8.) Νεώτερος, ἀντὶ τοῦ νέος. Θουκυδ. γ'. Add. Suid. et Steph. Animadv. ad Lib. de Dial. p. 38. Duk.

πατρὸς δὲ ἀδελφὸς A.B.E.H.K. L.N.O.P.Q.c.d.e.f.g.h.i. ceteri πατρὸς ἀδελφός.

2. ἐπιβεβλαστήκει L.O. ἐβλαστήκει i.

3. προσβολαῖς g.

παραλέλειπτο P.f.

4. χαλεπωτάτη τῶν ἄλλων ἐγένετο g.

6. περαιωμένων g.

7. ὑπεξῆλθον L.P.

τεμόντες K.

11. τῆς om. N.

14. ψιλὸν] φίλον A.B.E.g.

15. ὄντα om. F.H.

28. πρὸς Ἀθηναίους ἔφασαν παραδώσειν τὴν πόλιν. * γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν αὖτ' ἀποκωλύσειν δυνατοὶ ὄντες, εἴ τ' ἀπεμουσθήσονται τῆς ξυμβάσεως κινδυνεύσαντες, ποιοῦνται καινὴν ὁμολογίαν πρός τε Πάχητα καὶ τὸ στρατόπεδον, ὥστε Ἀθηναίοις μὲν ἐξεῖναι βουλεῦσαι περὶ Μυτιληναίων ὅτιοῦν ἄν τι βούλωνται, καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτούς, πρεσβείαν δὲ ἀποστέλλειν ἐς τὰς Ἀθήνας Μυτιληναίους περὶ ἑαυτῶν· ἐν ὅσῳ δ' ἂν πάλιν ἔλθωσι, Πάχητα μήτε δῆσαι Μυτιληναίων μηδένα μήτε ἀνδραποδίσαι μήτε ἀποκτεῖναι. ἡ μὲν ξύμβασις αὕτη ἐγένετο. οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μυτιληναίων, περιδεεῖς ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσι· Πάχης δ' ἀναστήσας αὐτοὺς ὥστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς Τένεδον μέχρι οὗ τοῖς Ἀθηναίοις τι δόξῃ. πέμψας δὲ καὶ ἐς τὴν Ἄντισσαν τριήρεις προσεκτήσατο, καὶ τἆλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο ᾗ αὐτῷ ἐδόκει.

28. certis conditionibus, quibus tamen illi, qui Lacedæmoniorum amici fuerant, fidem non habent. Hi ad aras deorum fugientes, a Pachete incolumes Tenedum mittuntur.

29. Οἱ δ' ἐν ταῖς τεσσαράκοντα ναυσὶ Πελοποννήσιοι, οὓς

29. Sero appro-

τες. 2. Οἱ ἐν τοῖς πράγμασιν] οἱ τὰ τῆς πόλεως πράττοντες. 5. Βουλεῦσαι] βουλεύσασθαι. 9. Πάλιν ἔλθωσι] ἐκανέλθωσιν. 11. Οἱ δὲ πράξαντες] οἱ πρυτάνεις τῆς ἀποστάσεως τῶν Λακεδαιμονίων. 12. Περιδεεῖς ὄντες] περίφοβοι γεγονότες. 13. Οὐκ ἠνέσχοντο] μεῖναι δηλονότι. 14. Ἀναστήσας] ἐγείρας ἀπὸ τῶν βωμῶν. 16. Προσεκτήσατο] προσεκτήσατο. 17. Καθίστατο] εὐτάκτει.

3. ξυμβιβάσεως i.
κινδυνεύοντες A.E.b.g.h.
4. ἀπολογίαν d.i.
τε om. d.
6. τι om. c.
8. μιτυληναίους ἐς τὰς ἀθήνας L. O.P. ἐς τὰς ἀθήνας, omisso μιτ. d.
αὐτῶν O. αὑτῶν L.e.
9. ἔλθωσι πάλιν c.
μὴ πεδῆσαι K.
10. μήτε] μηδὲ A.B.E.d.e.g. h.i.
11. τοὺς om. g.h.
13. ὅμως om. L.O.
15. ἐς om. K.
δόξει H. δόξει Q.
16. καὶ om. d.
πρὸς e.
19. ταῖς om. g.h.
τέσσαρσι g.

ἔδει ἐν τάχει παραγενέσθαι, πλέοντες περί τε αὐτὴν τὴν Πελοπόννησον ἐνδιέτριψαν, καὶ κατὰ τὸν ἄλλον πλοῦν σχολαῖοι κομισθέντες τοὺς μὲν ἐκ τῆς πόλεως Ἀθηναίους λανθάνουσι, πρὶν δὴ τῇ Δήλῳ ἔσχον, προσμίξαντες δ' ἀπ' αὐτῆς τῇ Ἰκάρῳ καὶ Μυκόνῳ πυνθάνονται πρῶτον ὅτι ἡ Μυτιλήνη ἐάλωκε. βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι κατέπλευσαν ἐς Ἔμβατον τῆς Ἐρυθραίας· ἡμέραι δὲ μάλιστα ἦσαν τῇ Μυτιλήνῃ ἁλωκυίᾳ ἑπτὰ, ὅτ' ἐς τὸ Ἔμβατον κατέπλευσαν. πυθόμενοι δὲ τὸ σαφὲς ἐβουλεύοντο ἐκ τῶν παρόντων· καὶ ἔλεξεν αὐτοῖς Τευτίαπλος ἀνὴρ Ἠλεῖος τάδε. "Ἀλκίδα, καὶ Πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μυτιλήνην, πρὶν ἐκπύστους γενέσθαι, ὥσπερ ἔχομεν. κατὰ

pinquat classis Peloponnesiorum, duce Alcida, cumque, comperta Mitylenes deditione, de ratione belli gerendi deliberatur, Teutiaplus Eleus suadet

30. repentinum in Athenienses impetum

2. Τὸν ἄλλον πλοῦν] τὸν ἀπὸ Πελοποννήσου εἰς Μιτυλήνην. 4. Πρὶν δὴ] ἕως οὗ. Προσέσχον] προσωρμίσαντο. 7. Ἔμβατον] τὸ στενὸν τὸ μεταξὺ Χίου καὶ Ἐρυθρᾶς. 13. Ἐκπύστους] φανερούς. Ὥσπερ ἔχομεν] ἀντὶ τοῦ ὡς νῦν ἐσμέν.

1. γενέσθαι g.

2. πελοποννησίων d.i.

4. ἔσχον A.B.E.K.N.c.g.h. vulgo προσέσχον.

ἐπ' L.O.

5. Ἰκάρῳ] Ἱλάρῳ I. κλάρῳ O.P. μυκόνῳ I.e. μηκόνῳ N.d.g.h.i. μυκήνῳ L.O.P.

Μυκόνῳ] Receptam lectionem tuentur, Stephanus huc respiciens, Herodotus VI. 118. Strabo X. 487. Eustath. ad Dionys. p. 99. Dicæarchus p. 26. Μύκονος. μετὰ ταύτην Τῆνός ἐστι καὶ λιμήν. Agathemeres p. 3. alii Μύκωνος. male. Petron. Constanti Myconæ dedit ferendam. De qua scriptura ampliandum. vid. Æschylum Pers. 887. et Tournefort. I. 217. Wass. Burmannus in Petronio pag. 688. nihil hæsitans edidit Constanti *Mycono*, ut voluerat Heins. ad Ovid. Epist. Cydipp. v. 81. Recte, sine dubio. Μύκονος scribendum, non Μύκωνος, constat e Poëtis Græcis ac Latinis. Duk.

6. ἁλωκυῖα εἴη I.L.O.P.d.e.i.

τὸ] τι g.

σαφῶς d.i.

7. ἐμβατὸν E. qui sic et infra.

Ἔμβατον] Stephano τόπος τῆς Ἐρυθραίας. MS. Vatic. Geogr. ἄκρον τῆς νήσου vocat. Plurative extulit Polyænus III. 9. 29. περὶ Ἔμβατα. Wass.

8. ἦσαν ante μάλιστα ponunt c.e. om. d.

ὅτι L.O.

τὸν c.d.

10. τευτιάπλος B. τευτίατλος Schol. Hermogen.

ἀνὴρ ἠλεῖος] om. d.i.

11. τοιάδε i.

πάρεστε d.

13. ἐκπύστοις E.

Ὥσπερ ἔχομεν] Græv. Bas. et Vascos. recte distinctionem ha-

" γὰρ τὸ εἰκὸς ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων πολὺ τὸ
" ἀφύλακτον εὑρήσομεν, κατὰ μὲν θάλασσαν καὶ πάνυ,
" ἢ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πο-
" λέμιον, καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα·
" εἰκὸς δὲ καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον, 5
" ὡς κεκρατηκότων, διεσπάρθαι. εἰ οὖν προσπέσοιμεν
" ἄφνω τε καὶ νυκτὸς, ἐλπίζω μετὰ τῶν ἔνδον, εἴ τις
" ἄρα ἡμῖν ἐστὶν ὑπόλοιπος εὔνους, καταληφθῆναι ἂν τὰ
" πράγματα. καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομί-

2. Καὶ πάνυ] εὑρήσομεν τὸ ἀφύλακτον δηλονότι. 5. Καὶ τὸ πεζὸν αὐτῶν] τὸ διὰ ξηρᾶς στράτευμα.

bent ante ὥσπερ, quam etiam in Cass. manus recens fecerat. Nam hæc conjungenda sunt, πλεῖν ἡμᾶς, ὥσπερ ἔχομεν. Est usitatissima formula apud Græcos. Xenophon Ἀναβ. IV. non longe a principio. εὐθὺς, ὥσπερ εἶχεν, ὁ Ξενοφῶν ἐλθὼν πρὸς τὸν Χειρίσοφον, ἠτιᾶτο αὐτόν. Lucian. Fugitiv. princ. εἰ γοῦν μὴ εἰς τὴν Ἀραβίαν, ὡς εἶχον, εὐθὺς ἀπιὼν ᾠχόμην, ἀπολώλειν ἄν. Idem Encom. Demosth. p. 697. ὡς οὖν ἤκουσεν ἀπὸ τῆς Καλαυρίας ἥκοντα τὸν Ἀρχίαν, εὐθὺς, ὡς εἶχεν, ἐκέλευσεν εἴσω καλεῖν. Sic quoque mihi accipiendus videtur locus Æliani XII. Var. Histor. 1. ubi Cyrus Aspasiæ monile donans dicit, καί μοι, ὡς ἔχεις, περιθεμένη δεῖξον τὸν τράχηλον. Interpretes verba ὡς ἔχεις vel prætereunt in versione Latina, vel in iis interpretandis æstuant, ut adparet ex his, quæ in Ind. v. ἔχω scribunt. Putem ea recte verti posse, *ut es*, vel, *sicut es*. Nempe Cyrus Aspasiæ meridianti, et ob id inornatæ ac negligentius vestitæ, supervenerat. Itaque jubet eam, *sicut erat*, monile collo circumdare, existimans, ei etiam incultæ id non minori ornamento futurum, quam splendidissimos cultus indutæ. Sic rursus Idem XIII. 2. de Macareo: καὶ ἀπολιπὼν τὴν τελετὴν, ὡς εἶχε, σὺν ὀργῇ καὶ θυμῷ εἰσεπήδησεν εἰς τὴν οἰκίαν, καὶ τῷ θυρσῷ, ᾧ κατεῖχε, τὴν ἑαυτοῦ γυναῖκα ἔκτεινεν. ὡς εἶχεν, *sicut erat*, nempe in habitu bacchantium atque etiam thyrsum manu gestans. Plane formularum harum apud Græcos eadem vis est, quæ Latinarum, *ut*, *sicut*, *qualis erat*. Add. Casaub. ad Aristoph. Equit. V. 486. In versione Vallæ, quæ sit sententia, non intelligo. Melius, meo judicio, Portus. Nam hortatur eos, ut sine ulla mora ac deliberatione, atque ulteriore adparatu, Mitylenen navigent, et Athenienses, antequam fama adventus Peloponnesiæ classis ad eos perferatur, incautos opprimant. Duk.

1. τῶν ἀνδρῶν Q.
3. τε om. F.H.d.
ἄν om. E.
5. αὐτοῖς L.O.P.
8. καὶ εὔνους N.

" σαντες οὐκ ἄλλο τι εἶναι τὸ καινὸν τοῦ πολέμου ἢ τὸ
" τοιοῦτον, ὃ εἴ τις στρατηγὸς ἔν τε αὐτῷ φυλάσσοιτο
" καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρ-
" θοῖτο." *Ὁ μὲν τοσαῦτα εἰπὼν οὐκ ἔπειθε τὸν Ἀλκί- 31.
δαν. ἄλλοι δέ τινες τῶν ἀπ' Ἰωνίας φυγάδων καὶ οἱ adstipulantibus ei Ionibus exsulibus; sed
Λέσβιοι ξυμπλέοντες παρήνουν, ἐπειδὴ τοῦτον τὸν κίνδυνον Alcidæ sententia de reditu vincit.
φοβεῖται, τῶν ἐν Ἰωνίᾳ πόλεων καταλαβεῖν τινὰ ἢ Κύ-
μην τὴν Αἰολίδα, ὅπως ἐκ πόλεως ὁρμώμενοι τὴν Ἰωνίαν
ἀποστήσωσιν. ἐλπίδα δ' εἶναι· οὐδενὶ γὰρ ἀκουσίως
ἀφῖχθαι· καὶ τὴν πρόσοδον ταύτην μεγίστην οὖσαν Ἀθη-
ναίων ἣν ὠφέλωσι, καὶ ἅμα, ἣν ἐφορμῶσιν αὐτοὺς δαπάνη

1. Τὸ καινὸν τοῦ πολέμου] τὸ καινὸν οἱ μὲν διὰ διφθόγγου γράψαντες οὕτως ἐνόησαν, τὸ παρ' ἐλπίδα καὶ παρὰ δόξαν ποιοῦν ἐν τοῖς πολέμοις νικᾶν, τουτέστι τὸ ἐπιπεσεῖν ἀφυλάκτως τοῖς ἐχθροῖς· οἱ δὲ διὰ τοῦ ψιλοῦ γράψαντες οὕτως ἐξηγοῦνται, τὸ διάκενον καὶ ἀργὸν τοῦ πολέμου. 2. Ὅ εἴ τις στρατηγὸς] τὸ ἀφύλακτον δηλονότι καὶ ῥᾴθυμον· ὃ εἴ τις στρατηγὸς αὐτός τε ἐκκλίνοι, καὶ τοῖς πολεμίοις τηνικαῦτα ἐπιχειροίη, ἡνίκ' ἂν ἀφυλάκτους αὐτοὺς ὁρᾴη, μάλιστ' ἂν ὀρθοῖτο. 3. Ἐνορῶν] προσέχων. Πλεῖστ' ἂν ὀρθοῖτο] ἐπὶ πλεῖστον νικήσαι ἄν. 7. Τῶν ἐν Ἰωνίᾳ] λείπει ἡ ἀπό. 8. Ὁρμώμενοι] ὁρμητήριον ἔχοντες. 9. Ἐλπίδα δ' εἶναι] ἔφασκε δηλονότι. 10. Καὶ τὴν πρόσοδον ταύτην] ταύτην τὴν πρόσοδον τὴν ἀπὸ τῶν Ἰώνων ὑπάρχουσαν τοῖς Ἀθηναίοις ἐὰν ἀφέλωνται καὶ χειρώσωνται αὐτοὶ τὴν Ἰωνίαν, μέλλουσιν ἕξειν καὶ τὰ ἀπὸ τῶν Ἰώνων ἀεὶ χρήματα, καὶ τὴν ἐκεῖθεν Ἀθηναίων παρασκευήν. 11. Καὶ ἅμα, ἣν ἐφορμῶσιν] οἱ μὲν εἰς τὸ ἐφορμῶσι τὸν λόγον ἀναπαύουσι, καὶ τὴν πτῶσιν ἐναλλάττουσιν, ἐπὶ τῶν Λακεδαιμονίων τὸ ἐφορμῶσι λαμβάνοντες· οἱ δὲ τὸ ὅλον ἐπὶ τῶν Ἀθηναίων ἐκδέχονται, καὶ νοοῦσιν οὕτω, καὶ ἐὰν ἐφορμῶσιν οἱ Ἀθηναῖοι, δαπάνη αὐτοῖς γίνεται, ὅταν τι χωρίον ἡμεῖς ἐν τῇ Ἰωνίᾳ κατάσχωμεν. Ἄλλως. καὶ ἐὰν ἐφορμούντων σφῶν (τουτέστι τῶν Πελοποννησίων) δαπάνη αὐτοῖς γενήσεται, δηλονότι τοῖς Ἀθηναίοις. διόπερ τὸ σφίσιν αὐτοῖς οὐχ ἅμα ἀναγνωστέον, ἀλλὰ διαιρετέον καὶ κατὰ τὸ σφίσιν

1. κενὸν K.c.f.
τὸ τοιοῦτον] τοῦτο e.
2. ἐν τῷ αὐτῷ H.K.N.d.i.
3. καὶ ἐν τοῖς Q.
ἐπιχειροίη om. Q.
5. φυγάδες N.
7. τῶν μὲν ἐν e.
9. δ' om. K.
οὐδενὶ A. B. E. I. K. N. Q. c. f. g. h. cum Valla : vulgo οὐδέν.
ἑκουσίως h.
10. οὖσαν μεγίστην B.g.h.
ἀθηνῶν H.
11. ἀφέλωσι A.B.g.
αὐτοῖς A. B. G. K. L. N. c. f. g. h. et, qui anteponunt σφίσιν, d.i.
δαπάνη σφίσι A.B.E.G.H.K.O. P.c.e.h. δαπάνη καὶ σφίσι L. vulgo σφίσι δαπάνη.

σφίσι γίγνηται, πείσειν τε οἴεσθαι καὶ Πισσούθνην ὥστε ξυμπολεμεῖν. ὁ δὲ οὐδὲ ταῦτα ἐνεδέχετο, ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης εἶχεν, ἐπειδὴ τῆς Μυτιλήνης ὑστερήκει, ὅτι τάχιστα τῇ Πελοποννήσῳ πάλιν προσμίξαι. 32. ἄρας δὲ ἐκ τοῦ Ἐμβάτου παρέπλει· καὶ προσσχὼν Μυοννήσῳ τῇ Τηΐων τοὺς αἰχμαλώτους, οὓς κατὰ πλοῦν εἰλήφει, ἀπέσφαξε τοὺς πολλούς. καὶ ἐς τὴν Ἔφεσον καθορμισαμένου αὐτοῦ Σαμίων τῶν ἐξ Ἀναίων ἀφικόμενοι πρέσβεις ἔλεγον οὐ καλῶς τὴν Ἑλλάδα ἐλευθεροῦν αὐτὸν, εἰ ἄνδρας

Is prætor Ioniæ littus usque Ephesum navigans, ad Myonnesum appellit et captos quosdam Iones

ὑποστικτέον. 1. Πισσούθνην] στρατηγὸς τοῦ βασιλέως περὶ τῶν Ἰώνων διατρίβων. 2. Ἐνεδέχετο] ἐν ἑαυτῷ ἐδέχετο. Ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης]

1. γίγνεσθαι d.i. qui antea δαπάνην.

4. προσμῖξαι E.

5. τοῦ] τῆς L.O.P.

ἐμβατοῦ A.E.

προσσχὼν A.B. vulgo προσχών.

μυοννήσῳ B.g. μυονήσσῳ E.I.O. μηονήσῳ b.

Μυονήσῳ] Vid. Livium XXXVII. 27. Wass. Apud Stephanum est Μυόνησος. Straboni semper Μυόννησος, qui IX. 618. scribit in hujusmodi compositis ν consuetudine quadam abundare, ut in Ἑκατόννησοι, Πελοπόννησος, Προκόννησος et Ἀλόννησος. Berkel. ad Steph. v. Μυόνησος dicit, demonstrari posse, hanc rationem sæpenumero falsam esse. Ex hoc non efficitur, Μυόνησος potius scribendum esse, quam Μυόννησος. Nam licet Steph. huic, item vocibus Ἀλόννησος et Προκόννησος, alterum ν detrahat, tamen non potuit Strabo ignorare, quomodo ea et sua ætate scriberentur, et ante scripta fuerint: qua in re, si quis eum erroris convincere velit, ei vel testimonia idoneorum Scriptorum, qui id negent, vel aliorum monumentorum æqualium, aut vetustiorum, Nummi puta, et Inscriptiones, producenda sunt. Ea si non adsint, auctoritas librorum manu exaratorum, qui Μυόνησος, Προκόνησος, et Ἀλόνησος habent, contra diserta verba Strabonis valere non debet: utpote qui omnes longe post illius ætatem scripti sint. Adde, quod nemo pro certo affirmare potest, hæc ab ipsis auctoribus ita profecta esse. Myonnesus quidem etiam in Livio est l. d. et in Plinio V. 31. et Προκόνησος gemino n scribi, ut Πελοπόνησος, dicit Auctor Etymologici M. in Πελοπόνησος, eamque scripturam plerique tam Græci, quam Latini servant Duk.

τῇ] τῶν Q.

6. τηΐων I.

7. καθορμησαμένου E.

8. τῶν om. b.

Ἐξ Ἀναίων] Stephanus et Eustathius ἡ Ἀναία dicunt, Thucydides τὰ Ἄναια. vid. ad cap. 19. hujus libri. Duk.

9. αὐτὸν om. d.e.

διέφθειρεν αὖτε χεῖρας ἀνταιρομένους αὖτε πολεμίους, Ἀθηναίων δὲ ὑπ' ἀνάγκης ξυμμάχους· εἴ τε μὴ παύσεται, ὀλίγους μὲν αὐτὸν τῶν ἐχθρῶν ἐς φιλίαν προσάξεσθαι, πολὺ δὲ πλείους τῶν φίλων πολεμίους ἕξειν. καὶ ὁ μὲν ἐπείσθη τε, καὶ Χίων ἄνδρας, ὅσους εἶχεν ἔτι, ἀφῆκε, καὶ τῶν ἄλλων τινάς· ὁρῶντες γὰρ τὰς ναῦς οἱ ἄνθρωποι οὐκ ἔφευγον, ἀλλὰ προσεχώρουν μᾶλλον ὡς Ἀττικαῖς, καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον μή ποτε Ἀθηναίων τῆς θαλάσσης κρατούντων ναῦς Πελοποννησίων ἐς Ἰωνίαν παραβαλεῖν. * ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος καὶ φυγὴν ἐποιεῖτο· ὤφθη γὰρ ὑπὸ τῆς Σαλαμινίας καὶ Παράλου, ἔτι περὶ Ἴκαρον ὁρμῶν (αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον πλέουσαι,) καὶ δεδιὼς τὴν δίωξιν ἔπλει διὰ τοῦ πελάγους, ὡς γῆ ἐκούσιος οὐ σχήσων ἄλλη ἢ Πελοποννήσῳ. Τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις ἦλθε

inhumane trucidat, taxatus eo nomine a Samiis Anæitia.

33. Reliquum iter summa celeritate et quasi fugiens fecit, quia Atheniensium duæ naves eum conspexerant.

ὁ περισσότερος σκοπὸς ἦν αὐτῷ. 14. Οὐ σχήσων] οὐ προσορμισόμενος.

1. ἀνταιρουμένους K.

Græci de hac re semper dicunt ἀνταίρειν, ἀνταίρεσθαι, et ἀνταιρόμενος. Herodotus complurибus locis, quæ in Lexico Ionico congessit Portus, Lucian. Hermotim. p. 519. et Sympos. 642. et alii apud Budæum in Commentar. Ling. Gr. p. 729. Schol. Sophocl. Ajac. v. 1085. τὸ ἀνταίρειν κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἰρομέναις, ἢ βάβδοις, ἢ τοιούτοις τισί. Duk.

2. τε B.H.K.L.N.O.Q.c.d.e. τι P. vulgo δέ.

3. προσάξασθαι I.

4. πλείους ἕξειν ἐχθρούς N. πλείους ἕξειν H.e.

6. γὰρ] δὲ L.O.P.Q.

7. ἔφυγον P.d.

9. παραλαβεῖν b.

10. ὁ om. O.

11. τῆς om. K.

Σαλαμινίας καὶ Παρ.] Scholiastes Aristoph. in Avibus, ad illa, κληστῆρ' ἄγουσ' ἔσωθεν ἡ Σαλαμινία, notat, δύο εἰσὶ νῆες ὑπηρετίδες παρ' Ἀθηναίοις, ἡ Πάραλος καὶ ἡ Σαλαμινία. ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν. ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγεν, τουτέστι τὰ ἐς θυσίας πεμπόμενα. Sed et τῇ Παράλῳ ad abducendos reos utebantur, eamque misere, ut Alcibiadem arcesserent ad causam Athenis dicendam, ut constat ex Thucyd. et Suida in voce Πάραλος. Vide Sigonium, l. 4. de Rep. Athen. et Meursii Attic. Lect. l. 2. c. 8. Huds.

12. κλάρου P. κλάρον ceteri. Correxit Poppo.

14. ἑκουσίως H.

μὲν καὶ ἀπὸ τῆς Ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν· ἀτειχίστου γὰρ οὔσης τῆς Ἰωνίας μέγα τὸ δέος ἐγένετο μὴ παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὡς μὴ διενοοῦντο μένειν, πορθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις. αὐτάγγελοι δ' αὐτὸν ἰδοῦσαι ἐν τῇ Ἰκάρῳ ἥ τε Πάραλος καὶ ἡ Σαλαμινία ἔφρασαν. ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν Πάτμου τῆς νήσου ἐπεδίωξεν, ὡς δ' οὐκέτι ἐν καταλήψει ἐφαίνετο, ἐπανεχώρει. κέρδος δὲ ἐνόμισεν, ἐπειδὴ οὐ μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι ἠναγκάσθησαν στρατόπεδον ποιεῖσθαι καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρασχεῖν. 34. Paches eum aliquatenus

*παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κολοφωνίων, οὗ κατῴκηντο Κολοφώνιοι, τῆς ἄνω πόλεως

5. Αὐτάγγελοι] οὐκ ἐπ' ἀγγελίαν πεμφθεῖσαι, ἀλλ' ἐπ' ἄλλην χρείαν. 6. Ἔφρασαν] τοῖς Ἀθηναίοις. Ὁ δὲ] ἦγουν ὁ Πάχης. 7. Πάτμου] μή ποτε Πάτμων λέγει. 8. Ἐφαίνετο] ὁ Ἀλκίδας. Ἐπανεχώρει] ὁ Πάχης. 9. Κέρδος δὲ ἐνόμισε] κέρδος (φησὶν) ἐνόμισεν ὁ Πάχης, ὅτι οὐ κατέλαβε

3. παραπλεύσοντες e.
4. ὡς μὴ] οὐ d.
τὰς om. Q.
5. αὐταγγελτὶ e.
αὐτὰ L.O.P. αὐτοὺς E. αὐτῶ d.
τῇ] τῷ e.
Ικάρῳ] libri omnes κλάρῳ.
7. πάτμου L.I. λάγμου K. ceteri λάτμου.
8. ἐπεδίωξεν P.
10. ἐγκαταληφθῆναι I. ἐν ἐγκαταλεῖφθαι K.
στρατόπεδον ποιεῖσθαι A. B. g.h. ceteri στρατόπεδόν τε ποιεῖσθαι.
11. ἐφόρμισιν e.
12. περιπλέων g.
13. Κολοφωνίων] Id oppidum Colophonium mari imminens, abest a *vetere* Colophone duo ferme millia passuum, inquit Livius XXXVII. 26. Vel portum habuit, vel certe litus navibus opportunum. alterum innuere videtur Lucanus: "Et *placidi* "Colophona *maris*." Cl. Whelerus in Itin. numum exhibet Diadumeniani cum hac inscriptione: ΚΩΛΟΦΩΝΙΩΝ, operarum opinor incuria. Nam de modulo certiores faciunt Theognis, Nicander, Ovidius, et Virgilius in Ciri. Tabulæ Peutinger. *Colofon:* Notit. Episcop. Κολοφὲν, et Ptolemæus Κολοφῶν, scribunt pinguntque pro Κολοφών, quomodo Coislin. et Herodotus. Urbs autem hæc, quam cum *Notio* passim confundunt antiqui, veterrima erat. Conditor ejus Mopsus juxta Melam, Pausan. et Apollonii Schol. 1. 308. post Rachium Cretensem. Atque ita fere Conon. Unde no-

ἐαλωκυίας ὑπὸ Ἰταμάνους καὶ τῶν βαρβάρων κατὰ στάσιν ἰδίαν ἐπαχθέντων· ἑάλω δὲ μάλιστα αὕτη, ὅτε ἡ δευτέρα Πελοποννησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο. ἐν οὖν τῷ Νοτίῳ οἱ καταφυγόντες καὶ κατοικήσαντες αὐτόθι αὖθις στασιάσαντες, οἱ μὲν παρὰ Πισσούθνου ἐπικούρους Ἀρκάδων τε καὶ τῶν βαρβάρων ἐπαγόμενοι ἐν διατειχίσματι εἶχον, καὶ τῶν ἐκ τῆς ἄνω πόλεως Κολοφωνίων οἱ μηδίσαντες ξυνεσελθόντες ἐπολίτευον, οἱ δὲ ὑπεξελθόντες τούτους καὶ ὄντες φυγάδες τὸν Πάχητα

secutus, cum nusquam deprehenderet, reversus ad Notium appellit, quæ inferior est Colophonis pars (superiorem tum temporis Persæ tenebant). Ibi seditione facta Persarum amici

τὰς Ἀλκίδου ναῦς, ἵνα μὴ ἀναγκάσωσιν αὐτὸν στρατόπεδον κατ' αὐτῶν ποιήσασθαι, ἢ φυλακὰς καὶ ἐφόρμησιν, μὴ ἄρα τι τυχηρὸν γένηται ἐν τῇ ναυμαχίᾳ καὶ ἡττηθῇ. 1. Καὶ τῶν βαρβάρων] καὶ τῶν βαρβάρων ἐπαχθέντων ὑπὸ μιᾶς τῶν στάσεων. 2. Ἐπαχθέντων] ἐπελθόντων. 6. Ἀρκάδων] λείπει ἡ ἀπὸ, ἵν' ᾖ, ἀπὸ τῶν Ἀρκάδων. 8. Ἐπολίτευον] τὴν πολιτείαν εἶχον. 9. Ὑπεξελθόντες] λαθραίως φυγόντες.

men traxerit, incertum est. Est enim apud Herodot. Colophon, qui et Smyrnam fundasse dicitur: est et piscis ejusdem nominis apud Hesychium. Capta est a Gyge, et diu bellum cum Halyatte gessit ante Christum 619. Is autem stratagemate usus equitatum omnem, quo plurimum valuere Colophonii, ad internecionem usque delevit. Vide Polyæn. VII. 2. Theognidem 1099. Aristot. Polit. IV. 4. Olymp. CXIX. ante Christum 302. a Lysimacho eversa est civitas, et postea commodiore loco rursus instaurata. Consule Diodorum, et Livium loco supra laudato. Nec perfunctorie tunc munita esse videtur, quia Antiochum repulit anno ante Christum CXC. Paulo antea, Attalo, et Romanis in clientelam concesserat, a quibus tributi immunitatem obtinuit pace cum Rege conventa. De qua re adeatur Polybius. Post paulo in libertatem, Tyranno amoto, vindicabat Lucullus, anno ante Christum LXXIV. A Scythis vel Tartaris ruinam huic aliisque Asiæ urbibus canunt Auctores Sibyllinorum, ignemque et faces alibi minantur. Colophoniorum denique Episcopus in Concilio Ephesino memoratur. Oraculi Apollinis meminere Nicander, Alex. Strabo, Tacitus, Eusebius, Tertullianus, et Themistius Orat. XXVII. De reliqua ejus Historia, nonnihil addunt Pausan. 535. Numismata et Parœmiographi. Wass.

1. *Ἰταμάγους* d.i. *Ἰταβάνους* h. *Ἰταμένους* I.

2. *αὕτη μάλιστα* K.

4. *κατοικίσαντες* N.

5. *περὶ* b.

πισσούθνην A. *πισούθνου* Q.

6. *καὶ τῶν βαρβάρων* A.B.E.F. H.K.L.N.O.P.f.g. ceteri omittunt articulum.

8. *ξυνεπελθόντες* e. *ξυνελθόντες* F.G.N.O.d.i.

9. *ἐπεξελθόντες* d.

rerum potiti erant. Sed ab altera factione adductus Paches, Hippia, Arcadum duce ad colloquium vocato et decepto, Notium capit, Colophonieque tradit.

ἐπάγονται. ὁ δὲ προκαλεσάμενος ἐς λόγους Ἱππίαν τὸν ἐν τῷ διατειχίσματι Ἀρκάδων ἄρχοντα, ὥστε, ἢν μηδὲν ἀρέσκων λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν καὶ ὑγιᾶ, ὁ μὲν ἐξῆλθε παρ' αὐτὸν, ὁ δ' ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι ἐξαπιναίως καὶ οὐ προσδεχομένων αἱρεῖ, τούς τε Ἀρκάδας καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει· καὶ τὸν Ἱππίαν ὕστερον ἐσαγαγὼν, ὥσπερ ἐσπείσατο, ἐπειδὴ ἔνδον ἦν, ξυλλαμβάνει καὶ κατατοξεύει. Κολοφωνίοις δὲ Νότιον παραδίδωσι, πλὴν τῶν μηδισάντων. καὶ ὕστερον Ἀθηναῖοι οἰκιστὰς πέμψαντες κατὰ τοὺς ἑαυτῶν νόμους κατῴκισαν τὸ Νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων, εἴ πού τις ἦν Κολοφωνίων.

35. Quo facto Mitylenen reversus, Salæthum

Ὁ δὲ Πάχης ἀφικόμενος ἐς τὴν Μυτιλήνην τήν τε Πύῤῥαν καὶ Ἔρεσσον παρεστήσατο, καὶ Σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν Λακεδαιμόνιον κεκρυμμένον ἀποπέμπει

3. Σῶν καὶ ὑγιᾶ] ἀνακρωτηρίαστον. 6. Καὶ οὐ προσδεχομένων] τῶν ἐντός. Αἱρεῖ] πορθεῖ, χειροῦται· ὅθεν καὶ περισπᾶται. ἐπὶ γὰρ τοῦ ὑψῶσαι βαρύνεται. 7. Ὅσοι ἐνῆσαν] τοῦ Πισσούθνου.

1. προκαλεσάμενος B.E.H.c.f. g.h.i. vulgo προσκαλεσάμενος.
2. τῷ om. g.
3. ἀρέσκων I.K.e.i.
4. μὲν ἐξῆλθε] δ' ἐξῆλθε A.B. E.f.g.

Ἐν φυλακῇ ἀδέσμῳ.] Ἀδέσμῳ φρουρᾷ perperam Pollux VIII. 72. at Hesych. recte ut in contextu. De σῶν confer Suidam et Etymol. ubi fortasse pro σῶ, μονοσύλλαβον, legendum σῶν. Vide Sallust. Fr. IV. Epist. Mithridatis, quia pacto vitam dederant insomniis occidere. Plutarch. Æmil. Polyænus III. 2. συνθέμενος ἀβλαβῆ καὶ ζῶντα ἀποπέμψειν —καὶ μετὰ τοῦτο κατηκόντισεν. Ita Adelbertum Comitem Hatto lusit apud Luitprand. II. 3. Wass. De σῶς add. Eustath. ad Homer. Iliad. ν'. p. 959. et Thom. Mag. Ἄδεσμον φυλακὴν sæpe dicunt Græci, quæ Latinis est *custodia libera*. Vid. Brisson. V. Formul. p. 474. et Lips. ad Tacit. VI. Annal. 2. Duk.

11. Κατὰ τοὺς ἑαυτῶν νόμους] Ex more, quo Metropoles Coloniis jura ac leges dabant. Spanhem. Dissertat. IX. de Usu et Præstant. Numism. pag. 580. Duk.

12. κατῴκησαν B.E.F.g.h.
13. εἴ τίς που K.
16. τῶν λακεδαιμονίων κεκρυμμένων K.

ἐς τὰς Ἀθήνας, καὶ τοὺς ἐκ τῆς Τενέδου Μυτιληναίων ἄνδρας ἅμα, οὓς κατέθετο, καὶ εἴ τις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως· ἀποπέμπει δὲ καὶ τῆς στρατίας τὸ πλέον. τοῖς δὲ λοιποῖς ὑπομένων καθίστατο τὰ περὶ τὴν Μυτιλήνην καὶ τὴν ἄλλην Λέσβον, ἢ αὐτῷ ἐδόκει. * ἀφικομένων δὲ τῶν ἀνδρῶν καὶ τοῦ Σαλαίθου, οἱ Ἀθηναῖοι τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ παρεχόμενον, τά τ' ἄλλα καὶ ἀπὸ Πλαταιῶν (ἔτι γὰρ ἐπολιορκοῦντο) ἀπάξειν Πελοποννησίους· περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο, καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι ἀλλὰ καὶ τοὺς ἅπαντας Μυτιληναίους, ὅσοι ἡβῶσι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι, ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν, ὅτι οὐκ

Laconem ceterosque proditionis reos Athenas mittit, ipse cum parte copiarum ad Mitylenen remanet.

36. Salaethum Athenienses statim necant, ac de omnibus Mitylenensibus, suadente Cleone, atrocissimum decretum faciunt. Sed jam profecta nave,

2. Οὓς κατέθετο] ἀποκτεῖναι. 4. Καθίστατο] εὐτάκτει. 6. Ἀφικομένων] εἰς τὰς Ἀθήνας. 7. Ἔστιν ἃ παρεχόμενον] ἔστιν ἃ πρᾶξαι ὑπισχνούμενον. 9. Περὶ δὲ τῶν ἀνδρῶν] τῶν πρυτανίων. 10. Αὐτοῖς] τοῖς Ἀθηναίοις. 11. Παρόντας] ἐν Ἀθήναις. Καὶ τοὺς ἅπαντας Μιτυληναίους] ὅτι ἄλλως ἀπέστησαν. 13. Ἐπικαλοῦντες] ἀντὶ τοῦ ἐγκαλοῦντες.

1. μιτυληναίων vel μυτιληναίων A.B.C.F.H.K.L.N.O.P.d.e.f.g. vulgo μυτιληναίους.
3. δὲ ante καὶ om. b.
5. τὴν post περὶ om. P.e.
7. ἔστιν ἃ] om. K. ἐστιν E.
8. ἅπερ σχόμενον P.
ἀπὸ τῶν πλαταιῶν H.L.P.Q.i.
13. Ἐπικαλοῦντες] Hoc non ad proxime præcedentia ἔδοξεν αὐτοῖς, sed ad superiora, οἱ Ἀθηναῖοι—ἀπέκτειναν, et γνώμας ἐποιοῦντο referendum est. Sed valde implicita est hæc periodus. In priore membro paullo apertior erit sententia, si post ἄλλοι ponatur distinctio, quam et Interpretes, ut ex illorum versionibus intelligitur, agnoverunt, et Cass. manu recenti adscriptam habet; qua posita hæc conjungentur, ἐπικαλοῦντες ὅτι τήν τε ἄλλην ἀπόστασιν ἐποιήσαντο, *et ceteram defectionem crimini dantes.* Illa, οὐκ ἀρχόμενοι, ὥσπερ οἱ ἄλλοι, rectius mihi videntur Valla et Portus accepisse, quam Hudsonus in Var. Lect. Non dubium enim est, quin Thucyd. ad ea respiciat, quæ Mitylenæi supra cap. X. et seqq. dicunt, sibi ab Atheniensibus libertatem relictam, sed plerisque ceteris sociis servitutem impositam esse. In his deinde, καὶ προσξυνελάβοντο οὐκ ἐλάχιστον τῆς ὁρμῆς, aqua Interpretibus hæsit. Valla ea in versione Latina præteriit. Porti versio intelligi non potest. Nam classis Peloponnesiorum, quæ non modo diu post defectionem Mitylenæorum, verum etiam

quæ decretum illud ad Pachetem transferret, mutatio fit consilii, ac, denuo convocata ecclesia, lenior sententia proponitur. Tum *Cleon*, homo vehementissimus,

ἀρχόμενοι ὥσπερ οἱ ἄλλοι ἐποιήσαντο, καὶ προσξυνεβάλετο οὐκ ἐλάχιστον τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες ἐς Ἰωνίαν ἐκείνοις βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι· οὐ γὰρ ἀπὸ βραχείας διανοίας ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι. πέμπουσιν οὖν τριήρη ὡς Πάχητα ἄγγελον τῶν δεδογμένων, κατὰ τάχος κελεύοντες διαχρήσασθαι Μυτιληναίους. καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς καὶ ἀναλογισμὸς, ὠμὸν τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι, πόλιν ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ τοὺς αἰτίους.

1. Οἱ ἄλλοι] σύμμαχοι. 3. Ἐκείνοις] τοῖς Μιτυληναίοις. Βοηθοὶ] οὖσαι δηλονότι. Παρακινδυνεῦσαι] μετὰ κινδύνου ἐλθεῖν εἰς Ἰωνίαν. 4. Ἐδόκουν] ἐνομίζοντο. 9. Ἢ οὐ τοὺς αἰτίους] ἢ οὗ ἀπόφασις περιττή· ὁ γὰρ

post Mitylenas jam captas in Ioniam venerat, non potest dici defectionem illorum adjuvisse. Si vulgata scriptura retinetur, Thucydides hoc videtur dicere, Athenienses Mitylenæis cum ceteram defectionem crimini dedisse, tum quod classis Peloponnesiorum, vel præcipue ab ipsis impulsa, in Ioniam venire ausa fuerat. Sed si quis προσξυνεβάλετο, quod in quibusdam MSS. est, præferat, quo fere inclino, totum hoc ad Athenienses pertinebit, et hic sensus erit, καὶ οὐκ ἐλάχιστον τῆς ὁρμῆς προσξυνεβάλετο (τοῦτο δηλονότι) αἱ Πελοποννησίων νῆες ἐς Ἰωνίαν τολμήσασαι παρακινδυνεῦσαι, id est, ὅτι αἱ Πελοποννησίων νῆες ἐτόλμησαν, *et* (hoc) *non minimum contulit ad impetum* (tam præcipitis decreti faciendi) *Peloponnesiorum naves ausæ*, id est, quod Peloponnesiorum naves ausæ fuerant—Sed oratio neque hoc, neque illo modo bene procedit. Videbunt acutiores. ego me hinc non satis expedio. Duk.

1. προσξυνεβάλετο A.B.E.F.H. K.h. προσξυνεβάλλετο c. προσξυνελάβετο i. προσενεβάλετο vel προσενελάβετο g. προσξυνεβάλοντο Q. προξυνεβάλοντο f. vulgo προσξυνελάβοντο.
2. ἐς om. Q.
3. ἐκείνοις om. O.i.
τολμήσασθαι g.
5. οὖν om. K.
τριήρει f.
6. κελεύοντα d.
διαχρῆσθαι H.
7. εὐθὺς post αὐτοῖς ponit g. om. i.
αὐτοῖς om. B.O.h.
8. Ἀναλογισμὸς] Pollux II. 120. Wass. Μετάνοια, μετάμελος. Θευκυδ. Lexicon Biblioth. Coislin. Montfaucon. p. 483. (Lex. Seg. p. 107, 11). Duk.
9. πόλιν] πλὴν A.
οὐ] om. I.
Μᾶλλον ἢ οὐ τοὺς αἰτίους] Kuhnius ad Ælian. V. H. p. 245. putat Attice abundare οὐ. Adversus eum operose disputat Perizonius ad Ælian. l. d. et pro οὐ τοὺς mavult legere αὐτούς. Deinde in Addend. aliam hujus

ὡς δ' ἤσθοντο ταῦτα τῶν Μυτιληναίων οἱ παρόντες πρέσβεις καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προθεῖναι· καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθίς τινας σφίσιν ἀποδοῦναι βουλεύσασθαι. καταστάσης δ' εὐθὺς ἐκκλησίας ἄλλαι τε γνῶμαι αφ' ἑκάστων ἐλέγοντο, καὶ Κλέων ὁ Κλεαινέτου, ὅσ-

ἢ σύνδεσμος ἀντὶ τοῦ ἤπερ κεῖται. κἂν τῇ συνηθείᾳ δὲ πολλάκις παρελκούσαις ἀποφάσεσι χρώμεθα· οὐ μὰ τὸν Δία, οὐ μὰ γὰρ Ἀπόλλωνα. ὡς καὶ τὸ ἀπαγορεύω σοι μὴ ποιεῖν. 1. Τοῦτο] ὅτι μετενέηκαν. 3. Τοὺς ἐν τέλει] τοὺς στρατηγοὺς λέγει τοὺς ἐν τέλει· αὗτοι γὰρ συνῆγον τὴν ἐκκλησίαν. Γνώμας] διασκέψεις. Προθεῖναι] δηλονότι τοὺς ἐν τέλει. 4. Καὶ ἐκείνοις] καὶ γὰρ τοῖς ἐν τέλει γνώριμων ἦν, ὅτι βούλονται οἱ πλείους τῶν πολιτῶν αὖθις ἀποδοθῆναι αὐτοῖς ἐκκλησίαν. 5. Σφίσιν] τοῖς πολίταις.

loci interpretationem profert, qua admissa manere possit, ut putat, vulgata scriptura, ἢ οὐ τοὺς. Ego Stephano et Kuhnio adsentior: primum, quia Thucydides, ut adnotat Stephanus ad Corinthum, qui itidem, ut Scholiastes, negationem hic abundare dicit, etiam supra II. 62. eodem modo loquitur, οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὔ, κήπιον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντες ὀλιγωρῆσαι: deinde, quia, quod Idem Steph. cap. XVI. Operar. in Dionysium Halicarn. observat, Dionysius, qui ubique studiose Thucyd. imitatur, plus semel hoc loquendi genere utitur. lib. VI. cap. 81. καὶ ὡς τὴν βουλὴν οὐκ ὀρθῶς δι' ὀργῆς ἐχόντων—μᾶλλον, ἢ οὐχὶ τοὺς αἰτίους; quæ sunt ipsa propemodum verba Thucydidis, nisi quod pro οὐ Dionysius οὐχὶ dicit. X. 28. ἀλλὰ τί ταῦτα τῷ δήμῳ ἐπικαλῶ μᾶλλον, ἢ οὐχ ὑμῖν; et XI. 34. οὔτε —δούλης ἀλλοτρίας ἀνελάμβανε παιδίον μᾶλλον, ἢ οὐ γυναικὸς ἐλευθέρας. ubi Xylander nihilo rectius quam Portus in VI. 81. expunctam volebat particulam negantem. Αὐτοὺς, quod Perizonius primo substituebat pro οὐ τοὺς, friget. De interpretatione scripturæ receptæ autem, quam in Addend. adfert, nihil aliud, quod dicam, habeo, quam quod apud Comicum Bacchus ad Euripidem: οὐ μανθάνω. Ἀμαθέστερόν πως εἶπε, καὶ σαφέστερον. Duk.

2. οἱ om. Q.

συμπράσσοντες B.E.Q.g. ξυμπράξοντες O.

παρεσκευάσαντο g.

3. προσθεῖναι A.B.E.H.K.L. N.O.P.b.c.d.e.f.g. Vide Hemsterhus. ad Luciani Necyom.

6. καὶ καταστάσης L.O.P.e.

7. ἐφ' L.O.P.

ὁ κλέων Q.

Κλέων ὁ Κλ.] De hoc Cleone (quem Cicero in Bruto, *turbulentum quidem civem, sed tamen*

περ καὶ τὴν πρότεραν ἐνενικήκει ὥστε ἀποκτεῖναι, ὧν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν τῷ τε δήμῳ παρὰ πολὺ ἐν τῷ τότε πιθανώτατος, παρελθὼν αὖθις ἔλεγε τοιάδε.

37—40. Atheniensibus inconstantiam ac levitatem exprobrat, et publicæ salutis causa eos hortatur, ut in priore sententia persistent.

" ΠΟΛΛΑΚΙΣ μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δη- 5
" μοκρατίαν, ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν, μάλιστα
" δ' ἐν τῇ νῦν ὑμετέρᾳ περὶ Μυτιληναίων μεταμελείᾳ. διὰ
" γὰρ τὸ καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς ἀλ-
" λήλους καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε, καὶ ὅ τι
" ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε ἢ οἴκτῳ ἐνδῶτε, 10
" οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμ-
" μάχων χάριν μαλακίζεσθαι, οὐ σκοποῦντες ὅτι τυραννίδα
" ἔχετε τὴν ἀρχὴν καὶ πρὸς ἐπιβουλεύοντας αὐτοὺς καὶ

1. Καὶ τὴν πρότεραν] βουλὴν δηλονότι. 2. Βιαιότατος] Ἰσχυρός. 5. Πολλάκις μὲν ἤδη] ἡ στάσις πραγματικὴ ἐστι τῆς δημογορίας. διαιρεῖται δὲ τῷ δικαίῳ καὶ τῷ συμφέροντι. τὸ γὰρ εὐπρεπὲς οὐδέτερος ἐξήτασεν. ἦν γὰρ τὸ μὲν παρὰ τὸ ἦθος τῆς πόλεως, τὸ δὲ παρὰ τὴν ἐνέργειαν τῶν ἀδικησάντων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι πολλάκις ἔγνων δημοκρατίαν, ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν. ἐπεὶ γὰρ ἀλλήλους οἱ πολῖται οὔτε φοβοῦνται οὔτε ἐπιβουλεύουσιν, οὕτω καὶ μηδὲ ὑπὸ τῶν ὑπηκόων ἐπιβουλεύεσθαι. 9. Τὸ αὐτὸ ἔχετε] ἀδεὲς δηλονότι. Καὶ ὅ, τι ἂν ἢ λόγῳ] τουτέστι καὶ οὐχ ἡγεῖσθε τοῦτο, ὅτι ἄν τε λόγῳ παραχθέντες ὑπ' αὐτῶν, ἄν τε οἰκτείραντες αὐτούς, μαλακώτερον καὶ πρᾳότερον προσενεχθῆτε, οὐκ ἐκείνοις τι χαρίζεσθε, ἀλλ' αὐτοὶ κινδυνεύετε καταφρονούμενοι· ἐκεῖνοι δὲ οὐκ ἴσασι χάριν ὑμῖν. 11. Οὐκ ἐπικινδύνως ἡγεῖσθε] οὐ σκοπεῖτε ὅτι οὐκ εἰς χάριν ἐκείνων τοῦτο ποιεῖτε, ἀλλ' εἰς ἴδιον κίνδυνον. 12. Μαλακίζεσθαι] χαυνοῦσθαι. 13. Αὐτοὺς] τοὺς συμμάχους δηλονότι.

eloquentem fuisse, ait) lege Aristophanis Equites. HUDS.

1. ὅστε καὶ L.O.P.e.
2. πολιτῶν] πολλῶν A.B.
3. Πιθανώτατος] Aristophan. Ἱπ. 136. βυρσοπώλης Παφλαγών, Ἄρταξ. κεκράκτης, ΚΥΚΛΟΒΟΡΟΥ φωνὴν ἔχων. WASS.
καὶ παρελθὼν Q.
αὖθις] αὐτοῖς K. om. e.
5. ἄλλοι τε Q.
6. ἀδύνατον A.B.E.H.I.K.L.M.N.O.P.b.c.e.f.g.h. vulgo ἀδύνατος.
7. ἡμετέρᾳ A.E. ἡμέρᾳ B.
περὶ om. c.
ἀμελείᾳ A.B.h.
11. ἐς ὑμᾶς] ὡς ὑμᾶς e.
12. μαλακίζεσθε A.B.
οὐ] καὶ O.P.
13. πρὸς ἐπιβουλεύοντας E.H. vulgo προσεπιβουλεύοντας.

" ἄκοντας ἀρχομένους, οἳ οὐκ ἐξ ὧν ἂν χαρίζησθε βλαπ-
" τόμενοι αὐτοὶ ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ ὧν ἂν ἰσχύϊ μᾶλ-
" λον ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε. πάντων δὲ δεινότα-
" τον, εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι,
" μηδὲ γνωσόμεθα ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πό-
" λις κρείσσων ἐστὶν ἢ καλῶς ἔχουσιν ἀκύροις, ἀμαθίᾳ τε
" μετὰ σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολα-
" σίας, οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετω-

1. Οὐκ ἐξ ὧν ἂν χαρίζησθε] τὸ ἐξῆς, οὐκ ἐξ ὧν σφαλλόμενοι ταῖς ἐλπίσιν οἱ ἀφιστάμενοι ὑμῶν, πάλιν δουλεῦνται. τὸ δὲ ἐὰν χαρίζησθε, μεταξύ. ὁ δὲ νοῦς, οὐχ ὑπακούουσιν ὑμῖν, ἐὰν σφαλλόμενοι ἐν τῇ ἀποστάσει συγχωρῶνται. οὐ κατὰ τοῦτο, ἀλλὰ καθὸ βιαίως καὶ ἀκριβῶς εἰσπράττονται δίκας. Βλαπτόμενοι αὐτοὶ] ἀσαφὲς τὸ χωρίον, ὅτι ἀπὸ αἰτιατικῆς εἰς εὐθεῖαν μετέβη ἡ ἀπόδοσις τῆς ἐννοίας· ὅπερ ἐστὶ παρὰ τὴν κοινὴν συνήθειαν. ὤφειλε γὰρ βλαπτομένους καὶ ἀκροωμένους αἰτεῖν ὁ γράφων, ἀλλ' ὡς καινῶν συντάξεων εὑρετὴς καὶ τῆς παλαιᾶς Ἀτθίδος ἐπιστήμων τοῦτο οὐ πεποίηκε. τοιαύτας δὲ εὑρήσεις καὶ παρὰ τῷ θεολόγῳ συντάξεις πολλάς, ἃς οἱ μὴ εἰδότες διαβάλλουσί τε, καὶ σολοικίζειν τὸν μέγαν οἱ ἀμαθεῖς οἴονται. τὸ δὲ βλαπτόμενοι, εἰ ἀντὶ τοῦ ἀφιστάμενοι, καὶ μὴ κατορθοῦντες ἃ προέθεντο ποιῆσαι, δεχθείη, ἔχοι ἂν τὴν προκειμένην διάνοιαν· εἰ δὲ κατὰ τὸ ὀρθὸν δεχθείη, ἔχοι ἂν οὕτως, ὅτι βλαπτόμενοι αὐτοὶ ἐν τῷ ὑπήκοοι εἶναι, οὐκ ἐξ ὧν ἄρτι χαρίσησθε αὐτοῖς ἀκροάσονται ὑμῶν, ἀλλ' ἐξ ὧν τῇ ἰσχύϊ περιγένησθε αὐτῶν. οὐδὲ γὰρ εὐνοίᾳ βούλονται ὑποτάσσεσθαι. 3. Πάντων δὲ δεινότατον] τὸ νόημα τοιοῦτον· πάντων (φησὶ) δεινότατόν ἐστιν, εἰ μὴ γνωσόμεθα ὅτι φαύλοις νόμοις, ἀκινήτοις δὲ, χρωμένη πόλις καλλίων ἐστὶν, ἢ καλοῖς μὲν, ἀβεβαίοις δὲ καὶ ἀκύροις. ἀμαθίαν δὲ καλεῖ οὐχ ἁπλῶς τὴν ἄνοιαν, ἀλλὰ τὸ μὴ θέλειν καὶ τῶν νόμων καὶ τῶν ῥητόρων καὶ πάντων εἶναι δοκεῖν φρονιμώτερον, ἀλλ' εἴκειν τοῖς καλῶς δεδογμένοις, καὶ μὴ ζητεῖν ἀνατρέπειν αὐτά· ὅπερ αἰνίττεται ποιεῖν τὸν Διόδοτον. σωφροσύνην δὲ λέγει τὸ ἀεὶ ἐμμένειν τοῖς κειμένοις νόμοις, καὶ μὴ ζητεῖν μεταβάλλειν αὐτούς. 4. Εἰ βέβαιον ἡμῖν μηδὲν] ἤγουν ἐὰν ὦμεν παλίμβουλοι. Καθεστήξει] ἔσται. 5. Ἀκινήτοις] ἀμεταθέτοις. 6. Ἀμαθία τε μετὰ σωφροσύνης] τὴν μὲν ἀμαθίαν ἐπὶ τῆς ἀσυνεσίας τέθεικε, τὴν δὲ δεξιότητα ἐπὶ τῆς συνέσεώς τε καὶ ἐντρεχείας· τὴν δὲ ἀκολασίαν ἀντέθεικε τῇ σωφροσύνῃ. δεῖ δὲ τὴν μὲν σωφροσύνην ἐνταῦθα ἐπὶ τῆς εὐηθείας δέξασθαι, τὴν δὲ ἀκολασίαν ἐπὶ τῆς εὐμεταβλησίας. ὁ δὲ νοῦς τοιοῦτος· βέλτιόν ἐστι (φησὶν) ἀμαθεστέρους μετὰ σωφροσύνης εἶναι, ἢ συνετωτέρους τυγχάνοντας εὐμεταβλήτους ἔχειν. 8. Φαυλότεροι] ἀμαθεστέροι Πρὸς τοὺς ξυνετωτέρους] συγκρινό-

1. οἳ om. A.B.E.F.K.L.M.N. O.P.c.d.e.f. οἳ—ὑμῶν om. H. χαρίζοισθε Q.
2. ἀκροῶντο B.
3. Πάντων — ἀκολασίας] Stobæus p. 244. ubi male καθίστησιν hodie legitur. Wass.
4. ἂν] δι A.E.
5. χρωμένη ἡ πόλις L.O.P.
8. τῶν ξυνετωτέρων d.

" τέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ
" μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι τῶν
" τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις
" μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην, καὶ ἐκ τοῦ τοι-
" ούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις· οἱ δ' ἀπιστοῦν-
" τες τῇ ἑαυτῶν ξυνέσει ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦ-
" σιν εἶναι, ἀδυνατώτεροι δὲ τοῦ καλῶς εἰπόντος μέμψα-
" σθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον ἢ ἀγω-
" νισταὶ ὀρθοῦνται τὰ πλείω. ὡς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦν-
" τας, μὴ δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐπαιρομένους
38. " παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει παραινεῖν. * ἐγὼ μὲν
" οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ, καὶ θαυμάζω μὲν τῶν προ-
" θέντων αὖθις περὶ Μυτιληναίων λέγειν καὶ χρόνου δια-

μενοι δηλονότι. 1. Οἱ μὲν γὰρ] οἱ φρόνιμοι, οἱ συνετώτεροι. 3. Ὡς ἐν ἄλλοις] ὡς ἐν ἄλλοις μείζοσιν οὐ δυνάμενοι δηλῶσαι καὶ γνώριμον ποιῆσαι πᾶσι τὴν ἰδίαν σύνεσιν, εἰ μὴ ἐν οἷς βούλονται δεῖξαι ὅτι σοφώτεροί εἰσι τῶν νόμων. 4. Τὴν γνώμην] τὴν πολυμαθίαν λέγει γνώμην. 5. Οἱ δ' ἀπιστοῦντες] οἱ ἀμαθεῖς δηλονότι. 6. Ἀμαθέστεροι] ἦγουν ἐλάττονες τῆς γνώσεως τῶν νόμων. 8. Κριταὶ δὲ ὄντες] τουτέστι, κρείσσως καὶ δικαιότεροι ὄντες κριταί, ἤπερ ἀγωνισταί, ὀρθοῦνται τὰ πλείω. 11. Παρὰ δόξαν] παρὰ τὸ δοκοῦν καὶ φαινόμενον. ἐξ οὗ, παρὰ τὴν ἀλήθειαν. 12. Ὁ αὐτός εἰμι τῇ γνώμῃ] ἦγουν τοῖς δεδογμένοις ἐμμένω. Θαυμάζω] σημείωσαι τὸ θαυμάζω μετὰ γενικῆς ἐπὶ καταφορᾶς λαμβανόμενον. 13. Χρόνου διατριβὴν] ἀργίαν τῆς τιμωρίας τῶν Μιτυληναίων. Σημείωσαι ἄλλως. εἰκὼν ὅτι ἡ τοῦ χρόνου διατριβὴ συμφέρει τοῖς προηδικηκόσιν, αἰτίαν ἀποδίδωσι, δι' ἣν συμφέρει. ἐν γὰρ τῷ χρόνῳ (φησὶν) ἀμβλύνεται ἡ τοῦ πάθους ὀργή· καὶ Εὐριπίδης (Alc. 381.) χρόνος μαλάξει σε· εἰ δὲ τὸ ἀμύνεσθαι τῷ παθεῖν ἐγγὺς τεθείη,

1. ἐπὶ τὸ πλεῖον A.E.F.H.I.K. L.N.O.P. ἐπὶ πλεῖον c.f. vulgo ἐπιτοπλεῖστον.
οιουσι i. ιουσι d.
2. Νόμων] Euripides Orest. 487. Καὶ τῶν νόμων γε μὴ ΠΡΟΤΕΡΟΝ εἶναι θέλειν. Zaleuci Procem. apud Stobæum 280. ὑπ' ἀνθρώπων ΗΤΤΑΣΘΑΙ τοὺς κειμένους νόμους, οὐ καλὸν, οὐδὲ συμφέρον. Wass.
3. τε] τότε K.
4. δουλώσαντες L.O. δηλώσαντες Stobæus.
6. τῇ ἑαυτῶν ξυνέσει Q.c.d.f. vulgo τῇ ἐξ αὐτῶν ξυνέσει.
7. δὲ τὸν τοῦ Stobæus, et mox μέμφεσθαι.
8. ἐπὶ L.O.P.
9. διορθοῦνται Stobæus.
ὡς A. ὃδ' O. γρ. ὃ χρὴ F.H.
12. πραχθέντων A.

" τριβὴν ἐμποιησάντων, ὅ ἐστι πρὸς τῶν ἠδικηκότων μᾶλ-
" λον (ὁ γὰρ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ
" ἐπεξέρχεται, ἀμύνασθαι δὲ, τῷ παθεῖν ὅτι ἐγγυτάτω
" κείμενον, ἀντίπαλον ὂν μάλιστα τὴν τιμωρίαν ἀνα-
5 " λαμβάνει), θαυμάζω δὲ καὶ ὅστις ἔσται ὁ ἀντερῶν
" καὶ ἀξιώσων ἀποφαίνειν τὰς μὲν Μυτιληναίων ἀδικίας
" ἡμῖν ὠφελίμους οὔσας, τὰς δ' ἡμετέρας ξυμφορὰς τοῖς
" ξυμμάχοις βλάβας καθισταμένας. καὶ δῆλον ὅτι ἢ
" τῷ λέγειν πιστεύσας τὸ πάνυ δοκοῦν ἀνταποφῆναι ὡς
10 " οὐκ ἔγνωσται ἀγωνίσαιτ' ἂν, ἢ κέρδει ἐπαιρόμενος, τὸ
" εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας, παράγειν πειράσεται.
" ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέ-
" ροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. αἴτιοι
" δ' ὑμεῖς κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ

τουτέστιν εἰ μὴ γένοιτο ἐν μέσῳ χρόνος πολὺς, ἰσόπαλόν τε καὶ ἴσον τυγχάνει τὸ ἀμύνεσθαι διὰ τὸ τὴν μνήμην ἀκραιφνῆ παρεῖναι τοῦ πεπονθέναι. 1. Ὅ ἐστι πρὸς τῶν ἠδικηκότων] ὅπερ συμφέρει τοῖς ἠδικηκόσιν, ὃ κέρδος ἐστί. τὸ χρονοτριβῆσαι δηλονότι καὶ σκέψασθαι. εἶτα καὶ τὴν αἰτίαν λέγει, ὅτι ἀμβλύτερος γίγνεται ὁ ἐκδικῶν διὰ τὸ ὑπὸ τοῦ χρόνου πραΰνεσθαι. καὶ ὁ Εὐριπίδης· Χρόνος μαλάξει σε. 2. Ὁ γὰρ παθὼν] κακῶς δηλονότι. 3. Ἀμύνασθαι δὲ] ὁ γὰρ ἀμυνόμενος δηλονότι παθών τι ἀμύνεται, ᾧ ἕπεται δηλονότι ἡ τιμωρία. 4. Ἀντίπαλον] ἤγουν ἴσον. ὁ δὲ νοῦς οὕτω, τὸ ἀμύνεσθαι ἴσον ἐστὶ τῷ τιμωρεῖν. 5. Θαυμάζω δὲ] ὁ εἰς τὴν κόλασιν (φησὶ) τῶν Μιτυληναίων ἀντιλέγων δυνάμει τοῦτο κατασκευάζει, κἂν ἐξ εὐηθείας τοῦτο μὴ λέγῃ, ὅτι τὰ ὑπὸ Μιτυληναίων εἰς Ἀθηναίους ἀδικήματα ὠφέλιμά εἰσι τοῖς Ἀθηναίοις. ἐπεὶ τι καὶ λέγων οὐκ ἀξιώσει κολασθῆναι αὐτούς. 6. Ἀδικίας ἡμῖν] ἃς ἠδίκησαν ἡμᾶς. 9. Τῷ λέγειν πιστεύσας] τῷ πιθανολογεῖν θαῤῥήσας, θαῤῥήσας τῇ δυνάμει τοῦ ἑαυτοῦ λόγου. Τὸ πάνυ δοκοῦν ἀνταποφῆναι] ἀποφῆναι ἔστι τὸ ἀρίδηλον καὶ φανερώτατον· τὸ δὲ οὐκ ἔγνωσται, ἔστι τὸ ἀφανές. 10. Ἢ κέρδει] ἢ τὴν τοῦ λόγου δύναμιν ἐνδείξασθαι βουλόμενος, ἢ κέρδους χάριν (φησὶ) λαλήσει. ταῦτα γὰρ πάντα παρὰ τὸ ἐναργὲς καὶ τὴν τῶν πραγμάτων φύσιν ἐστὶ, τὸ λέγειν ὡς εἶπε. Τὸ εὐπρεπὲς τοῦ λόγου] τὸν πιθανὸν λόγον. 11. Παράγειν] ἀπατᾷν. 12. Τὰ μὲν ἆθλα] τὰ κέρδη. Ἑτέροις] τοῖς ῥήτορσιν. 13. Ἀναφέρει] ἀναλαμβάνει, ἀναδέχεται. 14. Κακῶς

3. ἀμύνασθαι A.B.E.F.H.K. N.c.d.f.g. vulgo ἀμύνεσθαι.

4. Ἀντίπαλον] Eleganter. Hippocrates de Vict. rat. II. p. 26. αὔξοντες τὸ ΑΝΤΙΠΑΛΟΝ τοῦ σώματος αἷμα. Wass.

6. ἀποφαίνει g.

7. ξυμφορὰς οὐ τοῖς g.h.

9. τῷ] τὸ H.

10. οὐκ om. L.O.P.

13. αὕτη F.H.

14. Θεαταὶ μὲν τῶν λόγων] At

" μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων, τὰ
" μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες
" ὡς δυνατὰ γίγνεσθαι, τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ
" δρασθὲν πιστότερον ὄψει λαβόντες ἢ τὸ ἀκουσθὲν ἀπὸ
" τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· καὶ μετὰ καινότη-
" τος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι, μετὰ δεδοκιμασ-
" μένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν· δοῦλοι ὄντες τῶν ἀεὶ
" ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων· καὶ μάλιστα μὲν
" αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ δὲ μή,
" ἀνταγωνιζόμενοι τοῖς τοιαῦτα λέγουσι μὴ ὕστεροι ἀκο-
" λουθῆσαι δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος προε-
" παινέσαι, καὶ προαισθέσθαι τε πρόθυμοι εἶναι τὰ λε-
" γόμενα, καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβη-
" σόμενα· ζητοῦντές τε ἄλλο τι, ὡς εἰπεῖν, ἢ ἐν οἷς ζῶ-

ἀγωνοθετοῦντες] ἀνήτως τὸν ἀγῶνα διατιθέμενοι. 2. Εὖ] πιθανῶς. 3. Τὰ δὲ πεπραγμένα ἤδη] οὐ σκοποῦντες. 5. Μετὰ καινότητος μὲν λόγου] ποικιλίας καὶ εὐπρεπείας. ταῦτα πρὸς τοὺς Ἀθηναίους αἰνίττεται, οὐδέν τι μελετῶντας πλὴν λέγειν τι καὶ ἀκούειν καινὸν (Act. Apost. 17, 21.) τῆς αὐτῆς δὲ διανοίας ἐστὶ καὶ ἡ τοῦ Ἀρχιδάμου δημηγορία, ἐν οἷς φησὶ, " καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες" καὶ τὰ ἑξῆς. 6. Ἀπατᾶσθαι ἄριστοι] ἀντὶ τοῦ ἐπιτήδειοι καὶ ἕτοιμοι μὴ δοκεῖν ὕστεροι ἀκολουθῆσαι τῇ γνώμῃ. Δεδοκιμασμένου] ἀληθοῦς· ὁ γὰρ ψευδὴς ἀδόκιμος. 7. Δοῦλοι ὄντες] δοῦλοι ὄντες ἀεὶ τῶν ἀτόπων καὶ παραδόξων, ὑπερόπται δὲ τῶν πρεπόντων καὶ εἰωθότων, τουτέστι καταφρονοῦντες τῶν συνήθων. Ἄλλως. τοῖς πράγμασι (φησὶ) καὶ τοῖς λόγοις τοῖς παραδόξοις καὶ μὴ εἰθισμένοις ἀεὶ χαίροντες καὶ πιστεύοντες, καταφρονοῦντες δὲ τῶν δεδοκιμασμένων καὶ εἰωθότων. 8. Τῶν εἰωθότων] τῶν πρεπόντων. Καὶ μάλιστα μὲν] βούλεταί τι εἰπεῖν, εἰ δὲ μή, πάντως ἀντειπεῖν τῷ λέγοντι, ὅπως μὴ βραδύτερον ἐκείνου δόξῃ νενοηκέναι τὸ συμφέρον. τὸ ἑξῆς, μὴ δοκεῖν ὕστεροι ἀκολουθῆσαι τῇ γνώμῃ. 11. Τῇ γνώμῃ] κατὰ τὴν γνώμην. 14. Ζητοῦντές τε ἄλλο τι] καὶ-

Dii Cœlites, inquit Æs. Agam. 822. δίκας οὐκ ΑΠΟ' ΓΛΩΣΣΗΣ κλύοντες, ἀνδροβῆτας Ἰλίου φθορὰς Ἔς αἱματηρὸν τεῦχος οὐ διχορρόπως Ψήφους ἔθεντο. Wass.

2. σκοποῦντες ante ἀπὸ ponunt F.H.

3. τῶν δὲ πεπραγμένων Q.

4. δρασθὲν A.B.E.F.H.K.N.c. d.f.g. vulgo θεαθέν.

5. λόγῳ B.E.F.H.K.L.N.Q.c. f.g.h.i. vulgo λόγων.
καλοῖς C.

7. Δεῦλοι—ἀτόπων] T. Mag. Wass.

8. μὲν om. L.O.g.

10. ἀνταγωνιζόμενος f.
τοιαῦτα A.B.E.F.H.K.N.Q.g. ceteri τὰ τοιαῦτα.

14. ὡς om. K.

" μεν, φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς·
" ἁπλῶς τε ἀκοῆς ἡδονῇ ἡσσώμενοι, καὶ σοφιστῶν θεα-
" ταῖς ἐοικότες καθημένοις μᾶλλον ἢ περὶ πόλεως βου- 39.
" λευομένοις. * ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς,
" ἀποφαίνω Μυτιληναίους μάλιστα δὴ μίαν πόλιν ἠδι-
" κηκότας ὑμᾶς. ἐγὼ γὰρ, οἵτινες μὲν μὴ δυνατοὶ φέ-
" ρειν τὴν ὑμετέραν ἀρχὴν ἢ οἵτινες ὑπὸ τῶν πολεμίων
" ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον δὲ
" οἵτινες ἔχοντες μετὰ τειχῶν, καὶ κατὰ θάλασσαν μό-
" νον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ καὶ αὐ-
" τοὶ τριήρων παρασκευὴ οὐκ ἄφρακτοι ἦσαν πρὸς αὐτούς,
" αὐτόνομοί τε οἰκοῦντες καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑφ'
" ἡμῶν, τοιαῦτα εἰργάσαντο, τί ἄλλο οὗτοι ἢ ἐπεβούλευ-
" σάν τε καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν (ἀπό-

νώτερα (φησὶ) ζητοῦντες παρὰ τὰ εἰωθότα καὶ ἐν οἷς πολιτευόμεθα. 2. Ἀκοῆς ἡδονῇ] ἀκοῆς ῥητορικῶν λόγων καινότερα καὶ παράδοξα ὑμῖν εἰσηγουμένων. σοφιστὰς δὲ λέγει οὐ τοὺς σοφιζομένους τὴν ἀλήθειαν, ἀλλὰ τοὺς ἐν τῇ συνηθείᾳ λεγομένους, τοὺς διδασκάλους τῶν ῥητορικῶν προβλημάτων. θεατὰς δὲ αὐτοὺς τοὺς μαθητὰς καὶ ἀκροατάς. ὥσπερ γὰρ ἀκροαταὶ (φησὶ) τῶν σοφιστικῶν λόγων ἡδονῆς γίγνονται κριταὶ, οὐ πραγμάτων, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς τοὺς λόγους σκοπεῖτε, οὐ τὰ πράγματα. ἡδονῇ δὲ ἀντὶ τοῦ κολακείᾳ. 4. Ὧν ἐγὼ πειρώμενος] ὧν ἐπιτηδευμάτων, ὧν εἶχεν ἄρτι ὅτι οὐδὲν ἄλλο ἢ ἀδολέσχαι εἰσίν. Ἀποτρέπειν] ἀπείργειν. 5. Ἀποφαίνω] λέγω (φησὶν) ὅτι ἡ μία πόλις, οἱ Μιτυληναῖοι, σφόδρα ἠδίκησαν ὑμᾶς τοὺς Ἀθηναίους. καὶ τὴν αἰτίαν ἐπάγει εὐθύς. 10. Τοὺς ἡμετέρους πολεμίους] ἤγουν τοὺς Λακεδαιμονίους. 14. Ἀπόστασις μέν γε] ἀποστασίς ἐστιν, ὅταν τινὲς

2. Σοφιστῶν] Sic Athenis proprie dictos, qui rhetoriten docebant, adnotat Scaliger IV. Animadv. in loc. controv. Titii. 5. Vid. hic Schol. et Cresoll. I. Theatr. Rhetor. 1. Duk.

6. εἴ τινες μὲν K.d.

7. οἵ τινες ὧν ὑπὸ K.

9. μετὰ τῶν τειχῶν B.g.h.

11. τριήρων A.B. vulgo τριηρῶν.

12. ὑφ' d.i. ὑπὸ L.O.P.v. ὑπὲρ Q.

13. οὗτοι] οἱ τοιοῦτοι v.

14. Ἐπανέστησαν μᾶλλον] Huc respexit Alex. Aphrodisiensis in Aristotelis Top. II. p. 85. Βουληθεὶς παροξύναι τοὺς Ἀθηναίους πρὸς τοὺς Μιτυληναίους, τὴν ἀπόστασιν αὐτῶν εἰς τὴν ΜΕΤΑΝΑ'ΣΤΑΣΙΝ μετέλαβε. Ἐζήτησεν — διαφθεῖραι T. Mag. in βοῦλημα. Wass. Suidas in ἐγκράτεια huc descripsit ex Aphrodis. ut ibi adnotavit Kusterus: sed pro μετανάστασιν recte habet ἀποστασιν. Duk.

" στασις μέν γε τῶν βιαίόν τι πασχόντων ἐστὶν), ἐζή-
" τησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφ-
" θεῖραι; καίτοι δεινότερόν ἐστιν ἢ εἰ καθ' αὐτοὺς δύνα-
" μιν κτώμενοι ἀντεπολέμησαν. παράδειγμα δὲ αὐτοῖς
" οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀποστάντες
" ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία πα-
" ρέσχεν ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς
" τὸ μέλλον θρασεῖς, καὶ ἐλπίσαντες μακρότερα μὲν τῆς
" δυνάμεως ἐλάσσω δὲ τῆς βουλήσεως, πόλεμον ἤραντο,
" ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠή-
" θησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. εἴωθε

κακῶς πάσχοντες ἀποστῶσιν· ἐπανάστασις δὲ, ὅταν τινὲς τιμώμενοι καὶ μηδὲν ἀδικούμενοι στασιάσωσι καὶ ἐχθρεύσωσι τοῖς μηδὲν ἀδικήσασιν. 1. Ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι;] ἦτοι συνεμάχησαν τοῖς πολεμίοις ἡμῶν; 3. Καίτοι δεινότερόν ἐστιν] εἰ ἕνεκα (φησὶν) βίας δυνάμεως καὶ κέρδους ἀντεπολέμησαν ἡμῖν, οὐκ ἦν δεινὸν τοσοῦτον νῦν δὲ ἄνευ ἐλπίδων τινῶν, ἐξ οἰκείας κακονοίας ὁρμώμενοι· ὅπερ δεινότερον. 5. Ἀποστάντες ἤδη ἡμῶν] Αἰγινήτας λέγει καὶ Ποτιδαιάτας καὶ Ναξίους καὶ τοὺς ἄλλους δεδουλωμένους. 6. Ἡ παροῦσα] αὐτοῖς δηλονότι. 7. Ἐς τὰ δεινά] εἰς τὴν ἀπόστασιν. 8. Καὶ ἐλπίσαντες] ἤλπισαν (φησὶν) ἀποστῆναι ἡμῶν, ὅπερ μεῖζον μέν ἐστι τῆς δυνάμεως αὐτῶν, ἔλαττον δὲ τῆς βουλήσεως αὐτῶν. ἐβούλοντο γὰρ οὐ μόνον ἀποστῆναι ἡμῶν, ἀλλὰ δὴ καὶ καθελεῖν τὴν δύναμιν τῆς πόλεως, διὰ τὸ τὰ λοιπὰ ἀδεῶς βιοτεύειν. 10. Ἰσχὺν ἀξιώσαντες] προτιμῆσαι (φησὶν) ἀξιώσαντες τὴν δύναμιν τοῦ δικαίου. δίκαιον δὲ λέγει τὸ ἐμμεῖναι τῇ ἀρχῇ, καὶ μὴ ἀποστῆναι. Ἐν ᾧ γὰρ ᾠήθησαν] ἀντὶ τοῦ, πρὸς καιρόν τινα δυνηθέντες, κατεφρόνησαν καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας καὶ τῆς παρ' ἡμῶν τιμῆς. 11. Εἴωθε δὲ] εἴωθε δὲ πρὸς ὕβριν τρέπειν ἡ

1. γε om. K. τοι c.f.
2. στάντες om. Q.
3. εἰ om. P.
ἑαυτοὺς g.
5. οὐδὲ K.
6. ἤδη] δ' E. δὴ c.e.
7. ὄκνον τοῦ μὴ e.
8. μακρότερον Q.
9. τὸν πόλεμον Q.
10. προσθεῖναι K.
11. Εἴωθε δὲ τῶν πόλ.] Locum hunc imitati sunt Demosthenes in Olynth. 2. Sallustius in Histor. Fragm. Clemens Alexandr. Strom. l. 4. Philistus Historicus, aliique. Vide Putschii notas ad Sallustii Fragm. Huds. In Clem. Alex. VI. Strom. 2. p. 620. haec ita leguntur; Εἰώθασιν δὲ οἱ πολλοὶ τῶν ἀνθρώπων οἷς ἂν μ. κ. δ. ἐ. ἀ. εὐπραγία ἐ. εἰς ὑ. τρέπεσθαι. Sylburgius ibi pro οἱ πολλοὶ conjicit οἱ πονηροί. Nihil tentasset, si ei in mentem venisset hujus loci Thucydidis, cujus verba de industria videtur mutasse Clemens, ut ea aliquanto aptius ad argumentum suum adcommodaret. Addit ibi-

" δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου
" ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν· τὰ δὲ
" πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα ἀσφα-
" λέστερα ἢ παρὰ δόξαν· καὶ κακοπραγίαν, ὡς εἰπεῖν,
" ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν διασώζονται. χρῆν δὲ
" Μυτιληναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλ-
" λων ὑφ' ἡμῶν τετιμῆσθαι, καὶ οὐκ ἂν ἐς τόδε ἐξύβρι-
" σαν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θερα-
" πεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. κο-
" λασθήτωσαν δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας, καὶ μὴ
" τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπο-

εὐπραξία τῶν πόλεων ἐκείνας, αἷς ἂν αὐτὴ ἐξαίφνης ἐγγένηται καὶ ἀπροσδόκητος. 2. Τρέπειν] τρέπεσθαι. Τὰ δὲ πολλὰ] ὡς ἐπιτοπολύ. 7. Τφ' ἡμῶν τετιμῆσθαι] μηδὲν τετιμῆσθαι ὑφ' ἡμῶν· ἀπὸ κοινοῦ γὰρ τὸ μηδέν. ἢ μᾶλλον τὸ λεγόμενον οὕτως· ἔδει τοὺς Μιτυληναίους οὕτω τιμᾶσθαι ὑφ' ἡμῶν, ὡς οὐδὲν διαφέροντας τῶν ἄλλων. τουτέστιν ἔδει αὐτοὺς δούλους εἶναι. 8. Τὸ μὲν θεραπεῦον] τὸ κολακεῦον.

dem : Καὶ Φίλιστος ὁμοίως τὰ αὐτὰ μιμεῖται, ὧδε λέγων· Τὰ δὲ π. κ. λ. τ. ἀ. ἐ. ἀσφαλέστερα παρὰ δόξαν καὶ κακοπραγίαν. Hæc sunt ipsa, sed non nihil corrupta verba Thucydidis, quæ si ita in scripta sua Philistus transtulit, impudentissimus, non imitator, sed fur fuerit oportet. Sed suspicor, vel verba Clementis, καὶ Φίλιστος ὁμοίως τὰ αὐτὰ μιμεῖται, ὧδε λέγων, post κακοπραγίαν ponenda esse, ante hæc εἰώθασι γὰρ μάλιστα οἱ παρὰ δόξαν ἀπροσδοκήτως εὖ πράσσοντες εἰς ὕβριν τρέπεσθαι ; vel totum hoc τὰ δὲ πολλὰ—κακοπραγίαν insiticium esse. Nam sententiæ Solonis, Τίκτει γὰρ κόρος ὕβριν, ὅτ' ἂν πολὺς ὄλβος ἕπηται, imitatio Thucydidea, quam ibi Clemens ostendit, his verbis εἰώθασιν τρέπεσθαι absolvitur. Philistus autem Thucydidem imitatus est illis, εἰώθασι γὰρ μάλιστα τρέπεσθαι· cum qua sententia nihil commune habent hæc, τὰ δὲ πολλὰ—κακοπραγίαν. Quod si quis ea omnino retinenda putabit, tamen e verbis παρὰ δόξαν καὶ κακοπραγίαν nullum sensum elicere poterit, nisi e Thucydide emendatis et suppletis. Sed inspiciendus est locus apud Clementem. WASS.

1. καὶ om. K.L.O.P.e.
ἐλάχιστον d.
2. ἔλθοι e.
4. παρὰ] περὶ I.
Καὶ κακοπραγίαν—διασώζονται] T. Magist. in διασώζομαι, et εὖ λέγει. DUK.
5. ἐχρῆν L.d.i. χρὴ A.B.F.H. I.K.M.f.
6. διαφερόντως E.L.M.O.P.
7. ὑμῶν M.

" λύσητε. πάντες γὰρ ἡμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ'
" ἐξῆν ὡς ἡμᾶς τρεπομένοις νῦν πάλιν ἐν τῇ πόλει εἶναι.
" ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βε-
" βαιότερον ξυναπέστησαν. τῶν τε ξυμμάχων, σκέψα-
" σθε, εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ
" τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε,
" τίνα οἴεσθε ὄντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι,
" ὅταν ἢ κατορθώσαντι ἐλευθέρωσις ἢ ἡ σφαλέντι μηδὲν
" παθεῖν ἀνήκεστον; ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀπο-
" κεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. καὶ
" τυχόντες μὲν, πόλιν ἐφθαρμένην παραλαβόντες, τῆς
" ἔπειτα προσόδου, δι' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερή-
" σεσθε, σφαλέντες δὲ πολεμίους πρὸς τοῖς ὑπάρχουσιν
" ἕξομεν· καὶ οὐ χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς
" ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν.
40. " * οὔκουν δεῖ προθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν οὔτε

1. ὍΙς γ' ἐξῆν] τοῖς δημόταις καὶ πολλοῖς. 4. Τῶν τε ξυμμάχων σκέψασθε] σκέψασθε δὲ, εἰ τοῖς ἀποστᾶσι τῶν ξυμμάχων ἑκουσίως καὶ τοῖς ἀναγκασθεῖσι τὰς ἡμέρας τιμωρίας προσθήσετε, καὶ μὴ μείζονας τοῖς ἑκουσίως ἀποστᾶσι, τίνα λοιπὸν οὐ νομίζετε εὐχερῶς τῶν συμμάχων ἀφίστασθαι, ὅταν μέλλωσιν ἢ κατορθώσαντες τελείως τὴν ἀπόστασιν ἐλεύθεροι εἶναι, ἢ ἀποτυχόντες τῆς βουλήσεως συγγνώμης ἀξιωθήσεσθαι. 5. Εἰ τοῖς τε ἀναγκασθεῖσι] τοῖς ἀκουσίως ἀποστᾶσιν. 8. Ἢ κατορθώσαντι] τὴν ἀπόστασιν δηλονότι. 11. Πόλιν] συμμαχίδα. Τῆς ἔπειτα προσόδου] τοῦ μετὰ ταῦτα κέρδους. 13. Πρὸς τοῖς ὑπάρχουσι] ἡμῖν πολεμίους δηλονότι. 14. Τοῖς νῦν καθεστηκόσι] τοῖς Πελοποννησίοις. 16. Οὔκουν δεῖ προθεῖναι] δοῦναι ἐλπίδα τοῖς συμμάχοις. ὁ νοῦς οὗτος· οὐκ ἔστιν ἐλπὶς ὡς συγγνώμην λήψονται, πταίσαντες ἀνθρωπίνως. οὐ γὰρ ἀκούσιον τὸ ἁμάρτημα αὐτῶν, ἡ δὲ συγγνώμη τῶν ἀκουσίων.

1. ὑμῖν A.E.H.K.L.M.O.P.b. c.f.
2. τραπομένοις H.L.O.d. τραπεμένους P.
3. τὸν om. L.
5. τοῖς τε] τοῖς γε c.
ὑπὸ τῶν H.K.L.N.O.P.Q.d. vulgo ὑπό τε τῶν.
6. τὰς αὐτὰς] τοσαύτας M.b. c.f.
11. διεφθαρμένην Q.
13. πολεμίους post ὑπάρχουσιν ponit K.
15. συμμάχοις d.
16. προθεῖναι E.H.

" χρήμασιν ἀνητὴν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπίνως
" λήψονται. ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ
" ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. ἐγὼ
" μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν διαμάχομαι μὴ με-
5 " ταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς
" ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ
" ἐπιεικείᾳ, ἁμαρτάνειν. ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους
" δίκαιος ἀντιδίδοσθαι, καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικ-
" τιοῦντας ἐξ ἀνάγκης τε καθεστῶτας ἀεὶ πολεμίους·
10 " οἵ τε τέρποντες λόγῳ ῥήτορες ἔξουσι καὶ ἐν ἄλλοις
" ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ ἡ μὲν πόλις βραχέα
" ἡσθεῖσα μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν
" τὸ παθεῖν εὖ ἀντιλήψονται· καὶ ἡ ἐπιείκεια πρὸς τοὺς
" μέλλοντας ἐπιτηδείους καὶ τὸ λοιπὸν ἔσεσθαι μᾶλλον

1. Ὠνητὴν] ἔστι γάρ τις καὶ χρήμασιν ὠνητὴ τοῖς ἁμαρτάνουσι συγγνώμη. Ὅμηρος· καὶ μέν τις τε κασιγνήτοιο φόνοιο Ποινὴν, ἢ ὅ παιδὸς ἐδέξατο τεθνειῶτος· καί β' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ, πολλὰ ἀποτίσας (Il. 9, 630.) 3. Ξύγγνωμον δ' ἐστὶ] συγγνώμης ἄξιον. 4. Καὶ τότε πρῶτον] διεμαχεσάμην δηλονότι. Μὴ μεταγνῶναι] μὴ μεταμελεῖσθαι θεῖναι. 5. Τὰ προδεδογμένα] τὰ προκεκυρωμένα. 7. Ἐπιεικείᾳ] συγγνώμῃ. 11. Βραχέα] οἷδ' ὅλως. 13. Τὸ εὖ παθεῖν] τὸ χρηματίσασθαι ὑπὸ τῶν Μιτυληναίων, τὸ εὐεργετηθῆναι.

1. ἀνθρωπίνως A.B.E.F.H.I.L. N.O.P.d.g.h. vulgo ἀνθρωπείως.

Ἀνθρωπείως] Alii ἀνθρωπίνως. Sed illud, teste Thom. Magistro, Atticum. Exempla alibi damus. Wass. Thomas præcipit, ἀνθρωπεία φύσις dicendum esse, non ἀνθρωπίνη. Et sic Thucyd. II. 50. ad quem locum fortassis respexit tam Thomas, quam Suidas, qui sine auctore laudat. Nam alioqui ἀνθρώπινος et ἀνθρωπίνως sunt in Scriptoribus Ἀττικωτάτοις. Sed sæpe permutantur in MSS. vid. ad lib. I. cap. 22. Et sic Suidas ex Aristoph. Ranis adfert ἀνθρωπίνως, quod ibi v. 1090. est ἀνθρωπείως. Duk.

3. ξυγγνῶμον E. συγγνωστὸν d.

Ξύγγνωμον] Thom. Magist. in εὔγνωμον. Plura in eamdem sententiam ex allis Scriptoribus habet Muretus ad Aristotel. III. Ethicor. 1. Duk.

4. πρῶτον] πρέπον d.

5. πρὸς τὰ δεδογμένα Q.

Μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις] Existimat P. Victorius, lib. 31. Var. Lect. c. 10. ad hunc locum Thucyd. respexisse Sallust. de Bello Catilin. in principio orationis Cæsaris. Huds.

τοῖς τρισὶν ἀξυμφ. K.

6. καὶ ante ἡδονῇ om. g.h.

8. οὔτ'] μὴ K.

9. ἀεὶ καθεστῶτας c.f.

12. ζημιωθήσεται L.O.P.Q.d.g.

εἰπεῖν] πιεῖν O.d.

13. ἡ om. e.

" δίδοται, ἢ πρὸς τοὺς ὁμοίους τε καὶ οὐδὲν ἧσσον πολε-
" μίους ὑπολειπομένους. ἐν δὲ ξυνελὼν λέγω, πεισθόμενοι
" μὲν ἐμοὶ τά τε δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμ-
" φορα ἅμα ποιήσετε, ἄλλως δὲ γνόντες τοῖς μὲν οὐ
" χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε. εἰ
" γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε.
" εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὅμως ἀξιοῦτε τοῦτο θρᾷν,
" παρὰ τὸ εἰκός τοι καὶ τούσδε ξυμφόρως δεῖ κολάζε-
" σθαι, ἢ παύεσθαι τῆς ἀρχῆς καὶ ἐκ τοῦ ἀκινδύνου ἀν-
" δραγαθίζεσθαι. τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνα-
" σθαι, καὶ μὴ ἀναλγητότεροι οἱ διαφεύγοντες τῶν ἐπι-

1. Τοὺς ὁμοίους] τοὺς ἐν τῇ αὐτῇ διαθέσει ὄντας, οἷοί περ ἦσαν πρότερον, ἢ καλούς. 3. Τὰ ξύμφορα] ἡμῖν δηλονότι. 4. Τοῖς μὲν] τοῖς Μιτυληναίοις ἀχαρίστοις οὖσι χαριζόμενοι. καὶ ἡ παροιμία. Ὅμηρος· οὐδὲ τίς ἐστι χάρις μετόπισθ' εὐεργέων. (Od. 4, 695.) 5. Δικαιώσεσθε] δικαίως καθ' ὑμῶν ἀποδείξετε, ὅτι τυραννικῶς ἄρχετε. Εἰ γὰρ οὗτοι ὀρθῶς] ὁ τοῦς οὗτος· εἰ μὲν ἀδίκως ἀπέστησαν οἱ Μιτυληναῖοι, κολασθήτωσαν· εἰ δὲ δικαίως, δῆλον ὅτι ὑμεῖς ἀδίκως ἄρχετε. ᾧ ἔοικεν ὅτι τυραννεῖτε. καὶ κατὰ τοῦτο οὖν πάλιν κολασθήσονται, ὅτι τυράννους ὑμᾶς ἐλογίσαντο, ὁ δὲ τύραννος ἀνοτίμως αὐτὰ ἅπερ ποιεῖ εἴωθε ποιεῖν. κατ' ἄμφω οὖν ὀφείλουσι κολασθῆναι, εἴτε ἐννόμως ἄρχομεν εἴτε τυραννοῦμεν. 7. Εἰ δὲ δὴ καὶ οὐ προσῆκον] εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὑμῖν ἄρχειν, ὅμως ἄρχετε, οὐκοῦν καὶ παρὰ τὸ προσῆκον οὕτω κολαζέσθωσαν, καὶ γενέσθω παράνομος ἐκ παρανόμου τυραννίδος παρανομία, τοῦ συμφέροντος ἕνεκα τῇ ἀρχῇ. ἐὰν δὲ μὴ θέλητε κολάζειν, χρὴ παύεσθαι ὑμᾶς τῆς ἀρχῆς καὶ ἀσκεῖν ἀνδραγαθίαν ἀκίνδυνον. Τοῦτο] τὸ ἄρχειν βιαίως. 9. Ἢ παύεσθαι τῆς ἀρχῆς] ἀπὸ κοινοῦ τὸ δεῖ. 10. Τῇ τε αὐτῇ ζημίᾳ] τῇ αὐτῇ ζημίᾳ (φησὶ) σπουδάσατε ἀμύνασθαι τοὺς Μιτυληναίους, ᾗ ἂν ἐτιμωρήσαντο καὶ αὐτοὶ ὑμᾶς, περιγενόμενοι ὑμῶν. 11. Καὶ μὴ ἀναλγητότεροι] τοῦτό φησιν, ὅτι, ἐπεὶ ἤλγουν οἱ Μιτυληναῖοι ὑφ' ὑμῶν τῶν Ἀθηναίων κρατούμενοι, δεῖ καὶ ὑμᾶς ἀλγῆσαι ἐπὶ τῇ αὐτῶν ἀποστάσει. καὶ μὴ ἀναλγητότεροι ἐκείνων ἀξιοῦτε εἶναι, ἵνα μὴ καὶ ἀναίσθητοι δόξητε, οὐκ ἀλγοῦντες ἐφ' οἷς ἀδικεῖσθε. τὸ δὲ ἐξῆς οὕτως· ἐκεῖνοι ἐπέρχονται καὶ διαφθείρουσί τινα ἀδίκως, οἱ μὴ σὺν αἰτίᾳ ποιοῦντες κακῶς, ὑφορώμενοι τὴν ἔχθραν τοῦ καταλειφθέντος ἐχθροῦ. ὑμεῖς δέ, ὦ Ἀθηναῖοι, μὴ φοβεῖσθε τοῦτο· οὐ γὰρ ἄνευ αἰτίας αὐτοὺς κολάσετε. Οἱ διαφεύγοντες] Ἀθηναῖοι. Ἐπιβουλευσάντων]

1. οὐδὲ f.
2. ἔν τε K.c.e.f.
3. ἐς τοὺς μιτ. g.
5. Ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε] Recte interpretatur hunc locum doctissimus Gatakerus de Stilo Nov. Instrum. cap. VIII. Duk.
7. δὴ] δεῖ d.e.i.
ὅμως] ἅμα c.f.
8. τοι A.B.F.H.I.K.P.f. om. i. vulgo τοίνυν.
9. παύσασθε Q.
κινδύνου B.
11. τῶν ἐπιβουλευόντων οἱ διαφεύγοντες b.f.

" βουλευσάντων φανῆναι, ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς
" ποιῆσαι κρατήσαντας ἡμῶν, ἄλλως τε καὶ προϋπάρ-
" ξαντας ἀδικίας. μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ
" κακῶς ποιοῦντες ἐπεξέρχονται καὶ διόλλυνται, τὸν κίν-
" δυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ. ὁ γὰρ μὴ
" ξὺν ἀνάγκῃ τι παθὼν χαλεπώτερος διαφυγὼν τοῦ ἀπὸ
" τῆς ἴσης ἐχθροῦ. μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν,
" γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν, καὶ

τῶν Μιτυληναίων. 1. Ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι] ἡ ἀπόδειξις ὅτι, εἰ ἐκράτησαν Λέσβιοι τῶν Ἀθηναίων, κακῶς ἂν αὐτοὺς εἰργάσαντο. 3. Μάλιστα δὲ] οἱ ἀδικοῦντες (φησὶ) τινὰ χωρὶς αἰτίας, τουτέστιν ἄνευ τοῦ προηδικῆσθαι, σπουδάζουσιν ἀπολέσθαι τοὺς δι' ἐναντίας, εἰδότες ὅτι ὁ διαφυγὼν χαλεπώτερος ἐχθρὸς θέλει εἶναι τοῦ προπαθόντος καὶ διὰ τοῦτο βουλομένου ἀμύνεσθαι. Μὴ ξὺν προφάσει τινὰ] οἱ μὴ πρότερον ἀδικηθέντες, ἐπιχειρήσαντες δὲ ἀδικῆσαι πρότερόν τινας, ἐπιμένουσιν ἕως ἀπολέσωσιν ἂν αὐτούς, εἰδότες ὅτι, ἐὰν σωθῶσιν οἱ ἀδικηθέντες, πικροὶ τοῖς ἠδικηκόσιν ἔσονται πολέμιοι, καὶ πάθωσιν ἂν κακῶς παρ' αὐτῶν, ἀμυνομένων αὐτούς. 4. Καὶ διόλλυνται] ἀντὶ τοῦ διαφθείρουσιν. 5. Ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ] ὁ γὰρ ἀδίκως τι καὶ πρῶτος παθών, ἐὰν διαφύγῃ, πικρότερος καὶ δεινότερός ἐστι τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ. τὸν δὲ ἀπὸ τῆς ἴσης ἐχθρὸν ὁρίζεται τὸν μὴ προπαθόντα, ἀλλὰ προκαταρχόμενον ἀδικίας. ὡς ἂν εἰ ἔλεγεν, ὁ προπαθὼν καὶ ὁ ἀμυνόμενος χαλεπώτερός ἐστι τοῦ προκαταρχομένου ἀδικίας, μήπω τι παθόντος. 6. Ἀπὸ τῆς ἴσης] μοίρας δηλωτέον. 8. Γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ] εἰς ἔννοιαν ἐλθόντες

1. ἦν om. e.
2. ὑμῶν A.B.E.H.I.K.b.c.f.g. h.i.
τε om. g.
3. οἱ] εἰ Q.
σὺν g.
5. Ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τὶ παθών] Si hanc lectionem, et Vallæ ac Porti interpretationem sequimur, sententia erit, *qui ab alio, nulla necessitate ad vim vel injuriam faciendam coacto, læsus est.* Fortassis ita scripserit Thucydides. Sed tamen altera scriptura ξὺν δίκῃ non male respondet præcedenti sententiæ. Nam qui aliquem μὴ σὺν προφάσει malo adficit, is eum utique μὴ σὺν δίκῃ lædit. Paullo post probo ὅτι ἐγγύτατα τῇ γνώμῃ. Ἐγγυτάτῃ, quod est in Reg. et Cass. librariis tribuendum videtur, qui neglexerunt geminare syllabam τα. Τῇ γνώμῃ cum Stephano quoque malim vertere *cogitatione*, quam *animo*. Lib. I. cap. 143. καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας. Duk.
μὴ γὰρ i.
6. ἀνάγκῃ] δίκῃ H.I.L.N.O.P.
7. ἴσης] ἥσσης g.h.
ὑμῶν B.E.H.K.L.O.d.e.f.g. h.i.
8. γινόμενοι c.
ἐγγυτάτω N.Q.c.f. ἐγγυτάτῃ, omisso τῇ, A.B.E.F.H.g.
τῇ] τε N.

" ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, τῶν
" ἀπεπάδετε, μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα,
" μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες.
" κολάσατε δὲ ἀξίως τούτους τε, καὶ τοῖς ἄλλοις ξυμ-
" μάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφι- 5
" στῆται, θανάτῳ ζημιωσόμενον. τόδε γὰρ ἢν γνῶσιν,
" ἧσσον τῶν πολεμίων ἀμελήσαντες τοῖς ὑμετέροις αὐτῶν
" μαχεῖσθε ξυμμάχοις."

41. Post eum Diodotus processit, qui etiam in priore ecclesia humanitatem commendaverat. Is demonstrat,

Τοιαῦτα μὲν ὁ Κλέων εἶπε. μετὰ δ' αὐτὸν Διόδοτος ὁ Εὐκράτους, ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε 10 μάλιστα μὴ ἀποκτεῖναι Μυτιληναίους, παρελθὼν καὶ τότε ἔλεγε τοιάδε.

42. non esse fraudis insimulandos

" ΟΥΤΕ τοὺς προθέντας τὴν διαγνώμην αἰθις περὶ
" Μυτιληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ
" παλλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ, νο- 15
" μίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε
" καὶ ὀργήν, ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ

ὃν ἐμέλλετε πάσχειν ὑπὸ Λεσβίων. 2. Μὴ μαλακισθέντες] μὴ ἐνδόντες εἰς τὴν ἡδονὴν τὴν ἀπὸ τῶν λόγων, καὶ πρὸς τὸν οἶκτον καὶ τὴν ἐπιείκειαν μηδὲ ἀμνημονήσαντες τοῦ κινδύνου, οὗ ἂν ἐκινδυνεύσατε, εἰ ἐκράτησαν ὑμῶν. 7. Ἧσσον τῶν πολεμίων] τὸ ἧττον, ἧσσον πολεμήσετε] ἀντὶ τοῦ οὐδὲ ἧσσον. Ὅμηρος· Ἢ ὀλίγον οἱ παῖδα δοικότα γείνατο Τυδεύς. Τὸ δὲ ᾖ γνῶσιν, οἱ σύμμαχοι δηλονότι. 13. Τοὺς προθέντας] εἰς μέσον θέντας τὴν δευτέραν διάσκεψιν. πρὸς τὸ " καὶ θαυμάζομεν τῶν προθέντων αἴθις" καὶ τὰ ἑξῆς. Διοδότου δημηγορία αὕτη ὑπὲρ Μιτυληναίων. Ἰστέον δὲ ὅτι ὁ μὲν Κλέων τὸ δίκαιον προβάλλεται, οὗτος δὲ ὁ Διόδοτος τὸ συμφέρον. καὶ σκόπει τὸ τοῦ συγγραφέως ἔθος, χαίροντος ἀεὶ ταῖς ἀντιπάλοις δημηγορίαις. 15. Νομίζω

4. κολάσετε d.e. κολάσαντες c.
5. ἀφίστηται I.L.M.O.P. ἀφίσταται K. ἀφιστῇ Q.
7. ὑμετέροις ξυμμάχοις μαχεῖσθε K.
9. μετ' αὐτὸν δὲ L.O.d.e. δίοτος g.
10. ὅσπερ L.O.
11. παρελθὼν καὶ τότε] om. d.e.
13. οὔτε] ὅτε B.
14. μὴ om. Q.
16. δὲ] τε A.B.E.H.K.N.Q. f.g. ἐναντιάρατα K.
17. Μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι] Vide Sallustium Catil. L. Wass.

" δὲ μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γιάμης. τοὺς
" τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν
" πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι αὐτῷ
" διαφέρει, ἀξύνετος μὲν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ
" μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι, δια-
" φέρει δ' αὐτῷ, εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι εὖ μὲν
" εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ
" δὲ διαβαλὼν ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ
" τοὺς ἀκουσομένους. χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρή-
" μασι προσκατηγοροῦντες ἐπίδειξίν τινα. εἰ μὲν γὰρ
" ἀμαθίαν κατηιῶντο, ὁ μὴ πείσας ἀξυνετώτερος ἂν δό-
" ξας εἶναι ἢ ἀδικώτερος ἀπεχώρει· ἀδικίας δ' ἐπιφε-
" ρομένης πείσας τε ὕποπτος γίγνεται, καὶ μὴ τυχὼν
" μετὰ ἀξυνεσίας καὶ ἄδικος. ἥ τε πόλις οὐκ ὠφελεῖ-

oratores, ne timore deterreantur, qui cum civibus consilia communicent. Jus enim dicendi æquum esse debere, neque eum, qui erraverit, ignominia afficiendum esse.

δὲ δύο] πρὸς τὸ " εἰ βέβαιον ἡμῖν οὐδὲν καθεστήξει, ὃν ἂν δόξῃ τέρι." 1. Μετὰ ἀπαιδευσίας] ἀπειρίας. Καὶ βραχύτητος] ἀσθενείας. Τούς τε λόγους] πρὸς τὸ " εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίνεσθαι" καὶ τὰ ἑξῆς. 2. Διαμάχεται] ἐναντιοῦται. 3. Ἢ ἰδίᾳ] τουτέστι διὰ τὸ ἴδιόν τι κέρδος σκοπεῖν καὶ συμφέρον. 4. Διαφέρει] ὠφελεῖ. Εἰ ἄλλῳ] καὶ οὐχὶ λόγῳ δηλονότι. Περὶ τοῦ μέλλοντος] τὸ ἑξῆς, περὶ τοῦ μέλλοντος καὶ ἀφανοῦς δυνατόν ἐστι φράσαι. 5. Διαφέρει] λυσιτελεῖ. 6. Εὖ μὲν εἰπεῖν] τὸ ἑξῆς, εὖ μὲν οὐκ ἂν ἡγεῖται περὶ τοῦ κακοῦ εἰπεῖν δύνασθαι. οὕτω συντακτέον· τὸ μὲν περὶ τοῦ κακοῦ δύνασθαι λέγειν καλῶς, οὐχ ἡγεῖται (ἤγουν οὐ φροντίδα περὶ τούτου ποιεῖται), ἡγεῖται δὲ μᾶλλον ἐκεῖνο εἶναι καλὸν, τὸ διαβαλόντα καὶ ἀπατήσαντα ἐκπλῆξαι τοὺς ἀκουσομένους. ὃ δὴ καὶ διαφέρει τῷ οὕτω λέγοντι· κέρδους γὰρ ἕνεκα τὸ τοιοῦτον εἶδος τοῦ λόγου μεταχειρίζεται. 9. Χαλεπώτατοι] πρὸς τὸ " αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται." 10. Ἐπίδειξιν] συμβουλίαν, φιλοτιμίαν. 11. Ἀμαθίαν] καὶ οὐ χρήματα δηλονότι. 12. Ἀπεχώρει] τοῦ δικαστηρίου δηλονότι. Ἀδικίας δ' ἐπιφερομένης] ἀδίκως κατηγορῶν. 13. Ὕποπτος] διὰ τὸ ἐπὶ χρήμασι λέγειν. Καὶ μὴ τυχὼν] τοῦ σκοποῦ δηλονότι.

3. ἰδίᾳ] ἀδείᾳ I.
5. διαφέρει A.E.H.I.k.e.g.
7. ἡγῆται c.g.h.i.
8. διαβάλλων K.e. διαλαβὼν E. g.h.
ἂν om. e.
10. προκατηγοροῦντες e.f. μὴ προκατηγοροῦντες K.
ἐπιδειξιν H.L.O.P.e.
11. ξυνετώτερος E.

" ται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμ-
" βούλων. καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχου-
" σα τοὺς τοιούτους τῶν πολιτῶν· ἐλάχιστα γὰρ ἂν πει-
" σθείησαν ἁμαρτάνειν. χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην
" μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας ἀλλ' ἀπὸ τοῦ ἴσου
" φαίνεσθαι ἄμεινον λέγοντα, τὴν δὲ σώφρονα πόλιν τῷ
" τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμὴν, ἀλλὰ
" μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης καὶ τὸν μὴ τυχόντα
" γνώμης οὐχ ὅπως ζημιοῦν ἀλλὰ μηδ' ἀτιμάζειν. οὕτω

1. Ἐν τῷ τοιῷδε] πράγματι δηλονότι. Φόβῳ γὰρ] ἐν τῷ τοὺς δυναμένους τι συμβουλεύειν μὴ τολμᾷν λέγειν, ὡς δόξαν ἐπὶ χρήμασι ληψομένους. 2. Ὀρθοῖτο] διοικοῖτο καὶ εὐδρομοίη ἡ πόλις. 3. Ἐλάχιστα γὰρ] ἀντὶ τοῦ οὐδὲ ἐλάχιστα. τὸ ἐξῆς, χρὴ φαίνεσθαι μὴ ἐκφοβοῦντα, ἀλλ' ἀπὸ τοῦ ἴσου ἄμεινον λέγοντα. 8. Καὶ τὸν μὴ τυχόντα] τὸν μὴ ἄριστα συμβουλεύοντα.

1. συμβούλων g.
2. καὶ] ὡς καὶ d.
ἀδυνάτους om. c.
λέγειν om. K.N.e.
5. φοβοῦντα e.
Ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα] Hæc negotium facessiverunt Interpretibus. Mihi Scholiastes τὸ φαίνεσθαι non male videtur ad utrumque participium ἐκφοβοῦντα et λέγοντα revocare; quæ more Atticorum, ut plurimis locis apud Thucydidem, cum verbo φαίνομαι, pro infinitivis posita accipio. Sic I. 2. φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη. II. 11. πολλοὺς ὄντας ἐνὶ κόσμῳ χρωμένους φαίνεσθαι. Add. I. 13. et 14. III. 88. et Budæum Commentar. Ling. Gr. p. 311. in quibus fere ita videntur uti τῷ φαίνομαι cum participio, ut verbo τυγχάνω. Ἀπὸ τοῦ ἴσου potest esse *æquo jure, æqua conditione:* nam qui alium contra se dicentem corruptelæ insimulat et suspectum facit, non patitur eum æquo jure secum esse, sed conditionem illius deteriorem facit. Sed non omnino necessarium est φαίνεσθαι cum ἐκφοβοῦντα jungi. Dux.

7. προτιθέναι g. προτίθεσθαι e. προστίθεσθαι I.

9. Οὐχ ὅπως ζημιοῦν] Οὐχ ὅπως sæpissime dicitur pro *non modo non*, sequente negatione in posteriore membro orationis Lucian. ὑπὲρ τοῦ ἐν τῇ προσηγ. πταίσμ. p. 497. καὶ οὐχ ὅπως θεοῖς, ἀλλ' οὐδ' ἀνθρώποις δεξιοῖς πρέπον. Sed non minus sine ea. Thucydides I. 35. τῶνδε οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων—γενήσεσθε, ἀλλὰ καὶ—δίκαιον προσλαβεῖν περιόψεσθε. Lucian. Abdicat. p. 721. ἀλλ' οὗτος—οὐχ ὅπως—μείζονα τὰ δίκαιά μοι τῆς εὐνοίας εἰσφέρει—ἀλλὰ—προσέτι καὶ μισεῖ φιλοῦντα. Itaque in his particula negans non potest suppleri ex sequente membro, quod de hoc loco Thucydidis dicit Portus in Var. Lect. Eadem in lingua Latina est ratio particularum *non modo*. Dux.

" γὰρ ὅ τε κατορθῶν ἥκιστα ἂν ἐπὶ τῷ ἔτι μειζόνων ἀξι-
" οῦσθαι παρὰ γνώμην τι καὶ πρὸς χάριν λέγοι ὅ τε μὴ
" ἐπιτυχὼν ὀρέγοιτο τῷ αὐτῷ χαριζόμενός τι καὶ αὐτὸς
" προσάγεσθαι τὸ πλῆθος. * ὧν ἡμεῖς τἀναντία δρῶμεν, 43.
" καὶ προσέτι, ἢν τις καὶ ὑποπτεύηται κέρδους μὲν ἕνεκα Sed Athe-
" τὰ βέλτιστα δ' ὅμως λέγειν, φθονήσαντες τῆς οὐ βε- niensibus
" βαίου δοκήσεως τῶν κερδῶν, τὴν φανερὰν ὠφελίαν τῆς ea, quæ sim-
" πόλεως ἀφαιρούμεθα. καθέστηκε δὲ τἀγαθὰ ἀπὸ τοῦ pliciter et
" εὐθέος λεγόμενα μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν, ingenue,
" ὥστε δεῖν ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι nullo fuco
" ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος, καὶ τὸν τὰ ἀμείνω obducto, di-
" λέγοντα ψευσάμενον πιστὸν γενέσθαι. μόνην τε πόλιν cantur, cor-
ruptelæ sus-
pecta videri
solere, ut
adeo omnes
oratores
mendacio
uti, ad id,
quod velint,

1. Ἔτι μειζόνων] φύσει γὰρ οἱ ἄνθρωποι οὐ παύονται ἀεὶ τῇ ὀρέξει ἐπεκτεινόμενοι. 2. Παρὰ γνώμην] τὴν ἑαυτοῦ. 3. Ἐπιτυχὼν] ὀρθῆς βουλῆς. 10. Τὰ δεινότατα] τὰ ψευδῆ, καὶ ἄδικα. 11. Προσάγεσθαι] πιθανολογεῖν καὶ

1. ἥκιστα ἂν om. O.
τῷ] τὸ A.B.E.H.g. τὸν K.
2. λέγοι om. P.
6. δ' ὅμως om. h.
βεβαίας L.O.P.e.

Βεβαίου δοκήσεως] Etiamsi demus βεβαίας, quod in quibusdam Codd. est, non esse ex errore librariorum, qui Codd. illos scripserunt, tamen ex eo non consequitur, id a Thucydide profectum esse: nam ante eos vitio librariorum in Codd. e quibus illi suos descripserunt, ita scribi potuit. Nec, si Thucydides ἐρήμη et χρησίμη utitur, ideo adfirmari potest, eum etiam hic βεβαία dixisse. Quin probabilius dici potest, quia multis aliis locis βέβαιος fœm. gen. dixit, hic quoque præferendam esse scripturam, quæ plurium, eorumque melioris notæ MSStorum, auctoritatem habet. Ita certe I. 32. et hoc lib. cap. 56. est χάριν βέβαιον, IV. 67. βεβαίους πύλας, III. 9. φιλίαν βέβαιον, et V. 73. μάχας βεβαίους. Et Budæus Commentar. p. 1066. ex hoc loco adnotat βέβαιος δίκησις. Neque tamen probo sententiam Thom. Magistri, βέβαιος fœm. gen. melius esse, quam βεβαία; quum Demosthenes scriptor quam maxime Ἀττικὸς I. Olynthiac. p. 4. βεβαίαν ἔχθραν, et ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν p. 120. εἰρήνην βεβαίαν, dicere non dubitaverit. Et Dionys. Halicarn. VI. 51. βεβαία ἐλπίς, pro quo tamen Cod. Vat. βέβαιος. Duk.

9. εὐθέως E.L.O.
μηδένα ὑποπτότερον P.
10. τὰ om. e.
βουλευόμενον A.B.E.F.H.g.h.i.
12. τὴν πόλιν Q.

efficiendum, cogantur; cumque æquum sit, non solum suasorem, sed etiam eos, qui persuaderi sibi patiantur, pœna affici, si res male evenerit: illius tantum sententiam plecti.

"διὰ τὰς περιουσίας εὖ ποιῆσαι ἐκ τοῦ προφανοῦς, μὴ "ἐξαπατήσαντα, ἀδύνατον· ὁ γὰρ διδοὺς φανερῶς τι "ἀγαθὸν ἀνθυποπτεύεται ἀφανῶς πῃ πλέον ἕξειν. χρὴ "δὲ πρὸς τὰ μέγιστα καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι ἡμᾶς "περαιτέρω προνοοῦντας λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκο- 5
"πούντων, ἄλλως τε καὶ ὑπεύθυνον τὴν παραίνεσιν ἔχον-
"τας πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. εἰ γὰρ ὅ τε
"πείσας καὶ ὁ ἐπισπόμενος ὁμοίως ἐβλάπτοντο, σωφ-
"ρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ, πρὸς ὀργὴν ἤν τινα τύχητε
"ἔστιν ὅτε σφαλέντες, τὴν τοῦ πείσαντος μίαν γνώμην 10
"ζημιοῦτε, καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, εἰ πολλαὶ οὖσαι
"ξυνεξήμαρτον. * ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μυ-

44. Hic autem non agi de facinore Mitylenæorum, sed de consilio capiendo deliberari. Iis-

"τιληναίων οὔτε κατηγορήσων. οὐ γὰρ περὶ τῆς ἐκείνων
"ἀδικίας ἡμῖν ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς
"ἡμετέρας εὐβουλίας. ἢν τε γὰρ ἀποφήνω πάνυ ἀδι- 15
"κοῦντας αὐτοὺς, οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ

ἀνταιτῶν. 1. Τὰς περιουσίας] περιαργίας. 3. Πῃ] κατά τινα τρόπων. Χρὴ δὲ πρὸς τὰ μέγιστα] τὸ ἐξῆς, χρὴ δὲ ἡμᾶς πρὸς τὰ μέγιστα προνοοῦντας, περαιτέρω λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοπούντων. τὸ δὲ καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι, ἀντὶ τοῦ καὶ ἐν τοῖς τοιούτοις ὑμᾶν ἀξιώμασι καὶ ἐπιτηδεύμασι. τουτέστι τοῖς ὑποπτεύουσι. 4. Καὶ ἐν τῷ τοιῷδε] ἐν τῇ τοιαύτῃ ὑποψίᾳ. 5. Προνοοῦντας] σκεπτομένους. Τῶν δι' ὀλίγου σκοπούντων] τῶν ἀσκέπτως λεγόντων. 8. Σωφρονέστερον ἂν ἐκρίνετε] μετὰ ὑγιοῦς φρονήσεως ἦν ἂν ἡ κρίσις ἡ ὑμετέρα. 12. Ἀντερῶν] τῷ Κλέωνι δηλονότι. 14. Ἀλλὰ περὶ τῆς ὑμετέρας

3. ἀνθυποπτεύονται B.g.h. πως K.L.Q.

4. Καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι] Scholiastes et Stephanus melius videntur percepisse sententiam horum verborum, quam Valla et Portus. Est enim ita dictum, ut I. 142. καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται. Et III. 10. ἐν τῷ διαλλάσσοντι τῆς γνώμης. Dun.

8. ὁ om. c.

ἐπισπόμενος A.B.H.K.f.g. vulgo ἐπισπώμενος.

9. ἐκρίνατε H.g. ἐκρίνετο f. ὀργὴν—οὗ] om. P.

ἤν τινα B. ἢν K.N. ἤν τινες Dissen. Disquis. Philolog. p. 19.

12. νῦν ἐξήμαρτον E.

14. περὶ om. L.O.P.d.i.

15. ἦν] εἴ Q. ἀποφαίνω c.f.

16. εἰ] ἤν g.

" μὴ ξυμφέρον· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, demque, si
" εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. νομίζω δὲ περὶ τοῦ vel maxima
" μέλλοντος ἡμᾶς μᾶλλον βουλεύεσθαι ἢ τοῦ παρόντος. patraverint,
" καὶ τοῦτο ὃ μάλιστα Κλέων ἰσχυρίζεται, ἐς τὸ λοιπὸν republica
" ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι θάνατον postulante,
" ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ τοῦ ἐς τὸ μέλλον κα- concedendum; si levissima, illa
" λῶς ἔχοντος ἀντισχυριζόμενος ταναντία γιγνώσκω. καὶ renuente,
" οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου τὸ χρή- in eos animadvertendum esse.
" σιμον τοῦ ἐμοῦ ἀπώσασθαι. δικαιότερος γὰρ ὢν αὐτοῦ
" ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς Μυτιληναίους,
" τάχα ἂν ἐπισπάσαιτο· ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς
" αὐτούς, ὥστε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα
" περὶ αὐτῶν, ὅπως χρησίμως ἕξουσιν. * ἐν οὖν ταῖς πό- 45. Supplicium

εὐβουλίας] ἐσβολὴ τοῦ συμφέροντος, καὶ παρακατασκευὴ τοῦ προαιρεῖν τὰ λυποῦντα τὴν ὑπόθεσιν. 5. Πρὸς τὸ ἧσσον ἀφίστασθαι] τὰς τύλεις. Θάνατον ζημίαν προσθεῖσι] πρὸς τὸ " καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σω- " φρὸς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιούμενον." 8. Τῷ εὐπρεπεῖ] τῇ πιθανολογίᾳ τοῦ Κλέωνος. 11. Οὐ δικαζόμεθα πρὸς αὐτούς] οὐ δικαστήριον συγκροτοῦμεν κατὰ τῶν Μιτυληναίων. 12. Ὥστε τῶν δικαίων] οὐ περὶ τοῦ δικαίου (φησὶ) συμβουλευόμεθα, ἀλλὰ τοῦ συμφέροντος. 13. Χρησίμως] ἡμῖν δηλονότι. Ἐν οὖν ταῖς πόλεσι] τοῦ Κλέωνος συμβουλεύσαντος ἀποκτεῖναι πάντας Μιτυληναίους, καὶ παράδειγμα τοῖς ἄλλοις ποιῆ-

1. εἴτε L.O.P.Q.

Ἤν τε] Thom. Mag. in εἰ, ἤν δὲ μετὰ ὑποτακτικοῦ παρὰ τοῖς ἀκριβεστάτοις. εἰ γὰρ εὕρηται ἅπαξ παρὰ Θουκυδ. ἤν τε—εἶεν: Et deinde, post prolata duo loca Luciani, in quibus ἤν itidem cum optativo ponitur, ἀλλ' οὐ δεῖ ζηλοῦν τὸ ἅπαξ ῥηθέν. Videtur notare Lucianum, qui illud ἅπαξ ῥηθὲν, ut dicit, Thucydidis imitatus fuerit. Sed credo Lucianum peritiorem sermonis Græci fuisse, quam Thomam. Duk.

συγγνώμης B.

2. εἰ ἐν τῇ H.P.Q.b. Vid. Dissen. Disquis. Philolog. Spec. I. p. 24.

4. ᾧ I.K.L.O.P.

5. ἧττον d.i.

6. Ζημίαν προθεῖσι] Sic infra cap. 82. τιμωρίας προτιθέντες. At supra cap. 39. εἰ τὰς αὐτὰς ζημίας προσθήσεσθε. quomodo hic quoque quidam MSS. et Schol. Apud alios etiam προστίθημι et προτίθημι interdum permutantur. Sed προσθεῖναι ζημίαν potius videtur esse *augere* et *graviorem facere* pœnam, ut cap. seq. quam *statuere* et *proponere*. Duk.

προσθεῖσι K.L.Q.c.e.

μέλλον] μᾶλλον E.

12. βουλόμεθα H.I.K.L.O.P.

autem non esse aptam hujus sceleris pœnam. Neque enim atrocem satis, neque tamen pœnitentiæ locum esse.

" λεσι πολλῶν θανάτου ζημία πρόκειται, καὶ οὐκ ἴσων
" τῷδε ἀλλ' ἐλασσόνων ἁμαρτημάτων· ὅμως δὲ τῇ ἐλ-
" πίδι ἐπαιρόμενοι κινδυνεύουσι, καὶ οὐδείς πω κατα-
" γνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι ἦλθεν
" ἐς τὸ δεινόν. πόλις τε ἀφισταμένη τίς πω ἥσσω τῇ
" δοκήσει ἔχουσα τὴν παρασκευήν, ἢ οἰκείαν ἢ ἄλλων
" ξυμμαχίᾳ, τούτῳ ἐπεχείρησε; πεφύκασί τε ἅπαντες
" καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν, καὶ οὐκ ἔστι νόμος
" ὅστις ἀπείρξει τούτου, ἐπεὶ διεξεληλύθασί γε διὰ πα-
" σῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προστιθέντες, εἴ πως ἧσσον
" ἀδικοῖντο ὑπὸ τῶν κακούργων. καὶ εἰκὸς τὸ πάλαι
" τῶν μεγίστων ἀδικημάτων μαλακωτέρας κεῖσθαι αὐ-
" τὰς, παραβαινομένων δὲ τῷ χρόνῳ ἐς τὸν θάνατον αἱ

σαι Ἕλλησιν, ἵνα μὴ ἀφιστῶνται ἀπὸ τῶν Ἀθηναίων, ὁ Διόδοτος τἀναντία συμβουλεύων φησὶ πρὸς τοῦτο ἐκ τοῦ μᾶλλον. εἰ γὰρ ἐν ταῖς ἄλλαις τίλεσι πολλῶν καὶ οὐ μείζόνων ἐγκλημάτων θάνατος ἡ ζημία πρόκειται, καὶ ὅμως οἱ ἄνθρωποι, τῇ ἐλπίδι ἐπαιρόμενοι, ψηφοκινδύνους ἐγχειροῦσιν αὐτοῖς, καὶ οὐδεὶς δύναται κωλυτὴς γενέσθαι τῶν τηλικούτων ἔργων, ἀλλ' ὁσημέραι πράττονται, δῆλον ὅτι, καὶ εἰ τοὺς Μιτυληναίους ἀποκτείνομεν, ζημιώσομεθα μὲν καὶ περὶ ἑαυτοὺς σφαλλόμενοι, οὐ μέντοιγε φόβῳ τινὰ τοῖς ἄλλοις παρέξομεν, ἀλλ' οὐδὲν ἧττον ἔστιν ὅτε ἀποστήσονται, τῇ ἐλπίδι κουφιζόμενοι. 1. Πολλῶν] οἷον τυραννίδος, προδοσίας καὶ φόνου καὶ μοιχείας καὶ ἄλλων. 2. Τῷδε] τῷ τῶν Μιτυληναίων ἀδικήματι, τῇ ἀποστάσει. 3. Κινδυνεύουσι] ψηφοκινδύνους πράττουσι. 5. Τίς πω] οὐδεμία. 9. Τούτου] τοῦ ἁμαρτάνειν δηλονότι. Διεξεληλύθασι] ἐκπραγματεύσαντο (φησὶ) περὶ πάσης ἀδικίας καὶ ἁμαρτίας οἱ νομοθέται, καὶ ἐξεύροντο ποινάς. 12. Αὐτὰς] τὰς ζη-

1. θανάτων L.O.
ζημίαι πρόκεινται K.L.N.O.P. d.e.
2. τῶνδε I.
3. ἐπαιρόμενοι] οὐ περὶ g.
5. τὸ δεινὸν] τὸν κίνδυνον d.
6. οἰκείᾳ F.H.Q. et correctus A. οἰκίαν K.
7. ξυμμαχίᾳ A.B.E.F.H.K.Q. f.g.h. vulgo ξυμμαχίαν.
τοῦτο A.B.E.g.
Πεφύκασι] Simonides, Πάμπαν ἔμπαμος οὔτις, οὔτ' ἀκήριος. Soprater apud Stobæum p. 313. Καὶ βούλου μὲν ἁμαρτημάτων τὴν ψυχὴν, ὡς δυνατὸν, καθαρεύειν· ἐπὶσει δὲ, ὡς ΣΥΜΦΤΤΟΝ τὸ ἁμαρτάνειν ἀνθρώπους. ὅσθ' ἕως ἄν τις ὡς ἀναμαρτήτους κολάζῃ, τὸ μέτρον ὑπερβαίνει τῆς κατὰ φύσιν ἐκανορθώσεως. Wass.
9. ἐπειδὴ E.g.
διελήλυθασι L.O.P. ἐξελήλυθασι E.
10. ὅπως O.
11. εἰκότως, omisso τὸ, M.b.g.
13. τῶν χρόνων e.

" πολλαὶ ἀνήκουσι· καὶ τοῦτο ὅμως παραβαίνεται. ἢ
" τοίνυν δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν, ἢ τόδε γε
" οὐδὲν ἐπίσχει, ἀλλ' ἡ μὲν πενία ἀνάγκη τὴν τόλμαν
" παρέχουσα, ἡ δ' ἐξουσία ὕβρει τὴν πλεονεξίαν καὶ
" φρονήματι, αἱ δ' ἄλλαι ξυντυχίαι ὀργῇ τῶν ἀνθρώπων,
" ὡς ἑκάστη τις κατέχεται ὑπ' ἀνηκέστου τινὸς κρείττο-
" νος, ἐξάγουσιν ἐς τοὺς κινδύνους. ἥ τε ἐλπὶς καὶ ὁ ἔρως
" ἐπὶ παντὶ, ὁ μὲν ἡγούμενος, ἡ δ' ἐφεπομένη, καὶ ὁ μὲν
" τὴν ἐπιβολὴν ἐκφροντίζων, ἡ δὲ τὴν εὐπορίαν τῆς τύχης

μίας. 1. 'Ανήκουσιν] ἀνέρχονται. 2. Τούτου] τοῦ θανάτου. 3. Οὐδὲν ἐπίσχει] οὐδὲν κωλύει (φησὶν) ὁ τοῦ θανάτου φόβος τοὺς βουλομένους ἐξαμαρτεῖν. 'Αλλ' ἡ μὲν πενία] τὰς αἰτίας βούλεται δηλῶσαι τῶν ἁμαρτημάτων, ἀφ' ὧν κινούμενοι ἄνθρωποι ἁμαρτάνουσι· καὶ φησὶν ὅτι οἱ μὲν ὑπὸ πενίας ἀναγκάζονται λῃσταὶ εἶναι, οἱ δὲ ὑπὸ ἐξουσίας καὶ μεγαλοφροσύνης πλεονεκτοῦσιν, οἱ δὲ ὁμοίως διά τινα κρείττονα ἀναγκάζονται κινδυνεύειν, οἷον οἱ μέθυσοι καὶ πόρνοι δι' ἡδονήν, καὶ ὅπερ φησὶν 'Αριστοτέλης ἐν τοῖς ἠθικοῖς, ὅτι πᾶσα πρᾶξις καὶ προαίρεσις ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ. 5. Αἱ δ' ἄλλαι ξυντ.] οἱ ξυντυχόντες τοῦ μέσου, ἤτοι μήτε πένητες μήτε πλούσιοι ὄντες. 7. Ἡ τε ἐλπὶς καὶ ὁ ἔρως] πρῶτον τις ἐρᾷ, εἶτα ἐλπίζει, εἶτα ἐγχειρεῖ. 'Ησίοδος· Μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισιν Ἔνδον ἔμιμνε, πίθου ὑπὸ χείλεσιν. καὶ τὰ λοιπά. 8. Ἐπὶ παντὶ] ἀπὸ κοινοῦ τὸ ἐξάγουσιν ἐς τοὺς κινδύνους. 9. Τὴν ἐπιβολὴν] τὴν ἐγχείρησιν, τὴν εὐπορίαν, τὴν ἄνυσιν. Ἐκ-

1. 'Ανήκουσι] Huc fortassis respexit Suidas in ἀνήκει, e Thucydide laudans ἀνήκουσιν, ἀντὶ τοῦ τελευτῶσι, λήγουσι. Duk.

2. εὑρητέον g.

τόδε γε] τόγε A.B.E.H.g.

3. ἐπίσχειν d.e.i.

4. κατέχουσα f.

5. Αἱ δ' ἄλλαι ξυντυχίαι] Dubito, an potius legendum sit in tertio casu ὡς ἑκάστῃ scil. ὀργῇ, τὶς κατέχεται: quemadmodum πένθει κατείχετο dicit Herodian. I. 4. Et ita Vallam accepisse indicio est illius versio, *impetu homines ut suo quisque occupantur.* Stephanus quidem in Append. ad Script. de Dial. p. 80. ubi hoc inter alia exempla pleonasmi τοῦ τὶς adnotat, et hic ἑκάστη pro nominativo habet, versionem Vallæ ita emendans, *pro diverso* affectu *hominum*, qui *ab intoleranda quadam vi* occupatur, vel, constrictus tenetur. Sed non tam affectus occupari et constrictus teneri dicitur, quam homo affectu. Nec MSStorum consensus in vulgatam lectionem hic maximi ponderis est. Nam credo in omnibus plerisque locis desiderari ι illud subscriptum, notam dativi, ut sæpissime in Cass. et Gr. De voc. ὀργὴ vid. I. 130. et 140. Duk.

6. κατέρχεται O. παρέχεται f.

9. ἐπιβουλὴν I.c.

'Εκφροντίζων] Scholiastæ in-

" ὑποτιθεῖσα, πλεῖστα βλάπτουσι, καὶ ὄντα ἀφανῆ κρείσ-
" σω ἐστὶ τῶν ὁρωμένων δεινῶν. καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐ-
" δὲν ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐπαίρειν· ἀδοκήτως γὰρ
" ἔστιν ὅτε παρισταμένη καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύ-
" ειν τινὰ προάγει, καὶ οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ
" τῶν μεγίστων, ἐλευθερίας ἢ ἄλλων ἀρχῆς, καὶ μετὰ
" πάντων ἕκαστος ἀλογίστως ἐπὶ πλέον τι αὐτὸν ἐδόξασεν.
" ἁπλῶς τε ἀδύνατον καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται,
" τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι,
" ἀποτροπήν τινα ἔχειν ἢ νόμων ἰσχύϊ ἢ ἄλλῳ τῳ δεινῷ.
46—48. " * οὔκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ ὡς ἐχεγγύῳ

Utilius autem esse

φροντίζων] ἔξω φροντίδος τιθέμενος. 2. Ἐπ' αὐτοῖς] μετὰ τὸν ἔρωτα καὶ τὴν ἐλπίδα. 3. Ἀδοκήτως γὰρ ἔστιν] πολλάκις (φησὶν) ἐγχειρήσας τις πράγματι ἔτυχεν αὐτοῦ· ἄλλος δὲ θεασάμενος ῥιψοκινδύνως κατατολμᾷ τοῦ αὐτοῦ πράγματος, καὶ ἀπὸ μικροτέρων ἀφορμῶν ἔστιν ὅτε, διὰ τὸ καὶ τὸν ἄλλον ὁρᾷν ἐπιτυγχάνοντα. 5. Τινὰ προάγει] παρακινεῖ. 6. Ἢ ἄλλων ἀρχῆς] Ποτίδαια περὶ ἐλευθερίας, Ἀθῆναι περὶ ἄλλων ἀρχῆς, ἔν τε Σικελίᾳ καὶ πολλαχοῦ. 7. Ἕκαστος ἀλογίστως] καὶ ἕκαστος (φησὶ) τῶν πολιτῶν μετὰ τοῦ κοινοῦ ἀλογίστως μειζόνως δοξάζει, καὶ ἐλπίζει νικῆσαι. 8. Ἁπλῶς τε] ταῦτα πρὸς Κλέωνα. 11. Οὔκουν χρὴ] ἐάν τε, φησὶ, θανάτῳ διαχρήσησθε Μιτυληναίους, ἐάν τε ἄλλῳ τῳ δεινῷ τούτους κολάσαντες νομίσητε ἀσφαλῶς ἕξοντες ὑπὸ χεῖρα τὰς πόλεις τὰς λοιπὰς, οὐ καλῶς ἔσεσθε βεβουλευμένοι. ἡ γὰρ ἀνθρωπίνη φύσις ὀξύῤῥοπος οὖσα οὐκ ἀνακοπήσεται τῆς ὁρμῆς τῇ τοιαύτῃ ὑμῶν ἀσφαλείᾳ. Ἐχεγγύῳ]

terpretatio non potest locum habere. Rectius Thom. Mag. h. v. accipit pro ἐννοῶν. Hesych. ἐκφροντίζων, βουλευόμενος. Aristoph. Nub. 695. ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων. Schol. σκέψαι καὶ διανοήθητι. Et mox v. 697. χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι. Sed in Thoma vitiose editur, ὡς μὲν τὴν ἐπιβουλὴν ἐκφροντίζων. Duk.

1. ὑποθεῖσα h.
βλάπτουσι πλεῖστα] c.f.
7. αὐτὸν] αὐτῶν A.B.E.H.I.K. L.N.O.d.e.f.g.
9. τῆς om. A.
ἀνθρωπείνης B. ἀνθρωπίνης g.h.
10. νόμῳ ἰσχύει d.
11. οὐκ οὖν E.
τοῦ om. e.

Ἐχεγγύῳ] Huc respicit Suidas in ἐχέγγυος, et exponit ὁ διὰ πίστεως ἄξιος. Hesych. βεβαίῳ, ἐξ αὐτοῦ ἔχοντι τὴν ἐγγύην. Nostrum sequitur Clemens Strom. VII. p. 891. Τῇ τοῦ Κυρίου φωνῇ πιστεύομεθα τὸ ζητούμενον, ἢ πασῶν ἀποδείξεων ἘΧΕΓΓΥΩΤΕ'ΡΑ. Josephus Antiq. XIX. 1. 17. Τὸ δὲ πιστὸν τοῦ περιοῖναι μηδέπω τότε ἘΧΕΓΓΥΟΝ συνελθεῖν. Illi praeiverat Macchab. Scriptor X. 28. Οἱ μὲν ἘΓΓΥΟΝ ἔχοντες εὐημερίας καὶ νίκης μετ' ἀρετῆς τὴν ἐπὶ τὸν Κύριον

" πιστεύσαντας χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλπιστον κα-
" ταστῆσαι τοῖς ἀποστᾶσιν, ὡς οὐκ ἔσται μεταγνῶναι καὶ
" ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι. σκέψασθε
" γὰρ ὅτι νῦν μὲν, ἤν τις καὶ ἀποστᾶσα πόλις γνῷ μὴ
" περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν δυνατὴ οὖσα ἔτι τὴν
" δαπάνην ἀποδοῦναι καὶ τὸ λοιπὸν ὑποτελεῖν· ἐκείνως δὲ
" τίνα οἴεσθε ἤν τινα οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευά-
" σασθαι, πολιορκίᾳ τε παρατενεῖσθαι ἐς τοὔσχατον, εἰ
" τὸ αὐτὸ δύναται σχολῇ καὶ ταχὺ ξυμβῆναι; ἡμῖν τε
" πῶς οὐ βλάβη δαπανᾶν καθημένοις διὰ τὸ ἀξύμβα-
" τον, καὶ ἢν ἕλωμεν πόλιν, ἐφθαρμένην παραλαβεῖν καὶ

civitati, urbs opulenta si impensis in ea recipienda factas reddere, ac deinde civitatem Atheniensium tributis juvare possit, quam si crudelitate cogatur ad internecionem usquese defendere. Et malum omnibus

βεβαίῳ, ἰσχυρᾷ, ἐγγυῆσαι δυναμένῃ. 3. Ἐν βραχυτάτῳ] καιρῷ δηλονότι τῷ ψηφίσασθαι θάνατον Μιτυληναίων, ὃς ὁ Κλέων ἠξίου. τὸ δὲ οἰκοὺν χρὴ ἀπὸ κοινοῦ λεπτέον. 4. Γνῷ μὴ περιεσομένη] ἀντὶ τοῦ μὴ ἀπελπίσασα τοῦ περιεῖναι καὶ σωθῆναι. ὁ δὲ νοῦς τοιοῦτος, ὅτι, ἐάν τις ἀποστῇ ἀφ' ἡμῶν πόλις, πάλιν αὐτὴν ἀναληψόμεθα, καὶ τὰς δαπάνας οὐκ ἀπολέσομεν, διὰ τὸ ἐλπίδα αὐτοῖς ζωῆς νομοθετῆσαι. ταῦτα δὲ πρὸς τὸν Κλέωνα, εἰπόντα "ἡμῶν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί." 5. Ἐς ξύμβασιν] φιλίαν. 6. Ἐκείνως] ἀλλοπρόσως. 10. Διὰ τὸ ἀξύμβατον] διὰ τὸ ἀσυγχώρητον. 11. Παραλαβεῖν] ἀπὸ κοινοῦ τὸ πῶς οὐ βλάβη

καταφυγήν. Codex ibi Alex. elegantius οἱ μὲν οὖν. Noster alibi, διὰ τὸ τὴν γνώμην ΑΝΕΧΕΤΓΤΟΝ γεγενῆσθαι. *Quod sua illos opinio ut fidejussor inideneus esset frustrata.* In Anthol. πέτρος ΕΓΤΟΣ πυρός. Hæc omnia a parente Historiæ Herodoto, apud quem haud semel invenies: Οὐ ΦΕΡΕΓΤΟΣ εἰμι δύναμιν τοσαύτην παρασχεῖν. Hos Maro æmulatus est: " Non, si Jupiter ipse *Spondeat* Italiam." Æschylus Sept. Αἴθων τέτακται λῆμα Πολυφόντου βία, ΦΕΡΕΓΤΟΝ φρούημα. Anacreon, Ὥρη γάρ σ' ἐπέδησεν ΑΝΕΓΤΟΣ. Wass.

2. ἔστι F.H.Q.

3. Τὴν ἁμαρτίαν καταλῦσαι] Dionys. Halic. VI. 47. ἀναλύσασθαι τὰς ἁμαρτίας. Hoc a Thucydide sumtum ibi adnotat Casaubonus, et suspicatur hic quoque fortassis legendum esse ἀναλῦσαι. Duk.

4. καὶ om. L.O.P.
γνῷ μὴ] γνώμη A.K.N.

5. ἔλθοιεν g.

7. τίνα] τί γὰρ f.
ἤν I.
παρασκευάσασθαι A.B.E.F.H. I.K.d.e.f.g.h.i.

8. εἰ] ἢ A.E.H.K.L.M.b.c.e. g.h.i.

9. ταχεῖ g.
τε] δὲ g.

11. παραβαλεῖν c.

sociis exemplum fore, si non solum rebelles, sed etiam insontes morte afficiantur.

" τῆς προσόδου τὸ λοιπὸν ἀπ' αὐτῆς στέρεσθαι; ἰσχύο-
" μεν δὲ πρὸς τοὺς πολεμίους τῷδε. ὥστε οὐ δικαστὰς
" ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς
" βλάπτεσθαι, ἢ ὁρᾶν ὅπως ἐς τὸν ἔπειτα χρόνον μετρίως
" κολάζοντες ταῖς πόλεσιν ἔξομεν ἐς χρημάτων λόγον ἰσ-
" χυούσαις χρῆσθαι, καὶ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νό-
" μων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ' ἀπὸ τῶν
" ἔργων τῆς ἐπιμελείας. οὗ νῦν τἀναντία δρῶντες, ἤν τινα
" ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον, εἰκότως πρὸς αὐτονομίαν
" ἀποστάντα χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τι-
" μωρεῖσθαι. χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ ἀφισταμένους
" σφόδρα κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα φυ-
" λάσσειν καὶ προκαταλαμβάνειν, ὅπως μηδ' ἐς ἐπί-
" νοιαν τούτου ἴωσι, κρατήσαντάς τε ὅτι ἐπ' ἐλάχιστον
47. " τὴν αἰτίαν ἐπιφέρειν. * ὑμεῖς δὲ σκέψασθε ὅσον ἂν
" καὶ τοῦτο ἁμαρτάνοιτε Κλέωνι πειθόμενοι. νῦν μὲν γὰρ
" ὑμῖν ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν εὔνους ἐστὶ, καὶ
" ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις, ἢ ἐὰν βιασθῇ ὑπάρ-
" χει τοῖς ἀποστήσασι πολέμιος εὐθύς, καὶ τῆς

ὑμῖν; 1. Τῆς προσόδου] τοῦ κέρδους. 2. Τῷδε] τῇ προσόδῳ καὶ φαρολογίᾳ. 5. Λόγον] ἀναριθμησιν. πρὸς τὸν Κλέωνα καὶ ταῦτα. 8. Δρῶντες] ὑμεῖς οἱ Ἀθηναῖοι. τὸ ἐξῆς τοῦ λόγου, ἤν τινα ἀποστάντα χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι. 9. Καὶ βίᾳ] ἀκουσίως. 11. Οὐκ ἀφισταμένους] τοῦ ἄρχεσθαι. τὸ ἐξῆς, ἀφισταμένους οὐ σφόδρα κολάζειν. 13. Καὶ προκαταλαμβάνειν] πρὸς τὸ " καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε" καὶ τὰ ἑξῆς. 14. Τούτου] τοῦ ἀποστῆναι. 16. Τοῦτο ἁμαρτάνοιτε] λείπει ἡ κατά. 18. Τοῖς ὀλίγοις] τοῖς δυνατοῖς. Ἐὰν βιασθῇ] συναποστῆναι δηλωότι. 19. Τοῖς ἀποστήσασιν] ἤγουν τοῖς

1. τὸ om. L.
8. τἀναντία A.B.F.H.N.g.h. vulgo τοὐναντίον.
13. ἀπόνοιαν g.
14. κρατήσαντες L.O.
16. ἁμαρτάνητε Q.
17. ὑμῖν om. c.
ἔν τε πάσαις Q.
ταῖς om. f.
18. ἢ om. K.c.e.f.
ὀλίγοις] λόγοις Q.e.
ἂν P.Q.
ὑπάρχει om. e.
19. πολεμίους d.

" ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες
" ἐς πόλεμον ἐπέρχεσθε. εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τὸν
" Μυτιληναίων, ὃς αὖτε μετέσχε τῆς ἀποστάσεως, ἐπειδή
" τε ὅπλων ἐκράτησεν, ἐκὼν παρέδωκε τὴν πόλιν, πρῶτον
" μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα κατα-
" στήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται μά-
" λιστα· ἀφιστάντες γὰρ τὰς πόλεις τὸν δῆμον εὐθὺς
" ξύμμαχον ἕξουσι, προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν
" τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή. δεῖ δὲ,
" καὶ εἰ ἠδίκησαν, μὴ προσποιεῖσθαι, ὅπως, ὃ μόνον ἡμῖν
" ἔτι ξύμμαχόν ἐστι, μὴ πολέμιον γένηται. καὶ τοῦτο
" πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρ-
" χῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι, ἢ δικαίως οὓς μὴ δεῖ
" διαφθεῖραι· καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξύμ-
" φορον τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὂν

ἄρχουσιν. 1. Ἀντικαθισταμένης] ἐναντιουμένης. 2. Ἐς πόλεμον ἐπέρχεσθε] τῇ πόλει ἐπέρχεσθε. 4. Ὅπλων ἐκράτησεν] ἦγουν ὁπλίσθη. 7. Τὰς πόλεις] ἡμῶν δηλονότι. 9. Κεῖσθαι] ὁρίσθαι. 10. Μὴ προσποιεῖσθαι] μήτοι γε δεικνύειν τὸ γνῶναι, ἀλλὰ μηδὲ μέχρι σχήματος δεικνύειν τὴν ἀδικίαν ἐκείνων. 12. Ἐς τὴν κάθεξιν] τὴν ἀσφάλειαν καὶ κατοχὴν καὶ κράτησιν. 13. Ἢ δικαίως οὓς μὴ δεῖ] πρὸς τὸ " πειθόμενοι μὲν ἐμοὶ τά τε δίκαια ἐς Μι-

2. Ἐς πόλεμον ἐπέρχεσθε] Fortassis præsens pro futuro posuit, quod in aliis ejusdem significationis frequens est. Vid. ad II, 44. Ita sententia erit, eos, si quid tale eveniat, civitatibus, quæ defecerint, bellum inlaturos plebem sibi amicam habentes. Et sic accipiendum suadent sequentia, ἀδικήσετε, καταστήσετε, et ἕξουσι. Ἐπέρχεσθαι, pro ἔρχεσθαι, ut apud Sophocl. Ajac. 437. τὸν αὐτὸν εἰς τόπον Τροίας ἐπελθόν. Duk.

2. τὸν om. L.O.P. τῶν A.B. E.F.H.K.N.c.d.g.

6. ὃ καὶ βούλονται d.

10. καὶ ante εἰ om. L.O.P.

Μὴ προσποιεῖσθαι] *Dissimulare*. De hoc genere loquendi multa habent Budæus in Commentar. Ling. Græc. p. 296. et Steph. Append. ad Script. de Dialect. p. 126. Duk.

προιεῖσθαι P.

ὑμῖν P.

11. Καὶ τοῦτο—τῆς ἀρχῆς] Th. Mag. in κατάσχεσις. Duk.

12. ξυμφερώτερον B.E.H.e.

κάθειρξιν Q.

14. ξυμφέρον Q.

15. δυνατὸν om. N.

ὂν om. i.

48. " ἅμα γίγνεσθαι. * ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι,
" καὶ μήτε οἴκτῳ πλέον νείμαντες μήτ' ἐπιεικείᾳ, οἷς
" οὐδὲ ἐγὼ ἐῶ προσάγεσθαι, ἀπ' αὐτῶν δὲ τῶν παραινου-
" μένων, πείθεσθέ μοι Μυτιληναίων οὓς μὲν Πάχης ἀπέ-
" πεμψεν ὡς ἀδικοῦντας, κρῖναι καθ' ἡσυχίαν, τοὺς δ' 5
" ἄλλους ἐᾶν οἰκεῖν. τάδε γὰρ ἧς τε τὸ μέλλον ἀγαθὰ
" καὶ τοῖς πολεμίοις ἤδη φοβερά· ὅστις γὰρ εὖ βουλεύε-
" ται πρὸς τοὺς ἐναντίους κρείσσων ἐστὶν ἢ μετ' ἔργων
" ἰσχύος ἀνοίᾳ ἐπιών."

49. Diodoti sententia tandem vincit, et na- Τοιαῦτα δὲ ὁ Διόδοτος εἶπε. ῥηθεισῶν δὲ τῶν γνω- 10
μῶν τούτων μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας, οἱ Ἀθη-
ναῖοι ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης, καὶ ἐγένοντο ἐν

τυληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε." 1. Ἀμείνω] τῶν βουλευμάτων τοῦ Κλέωνος δηλονότι. 2. Οἴκτῳ] οἴκτῳ καὶ ἐπιεικείᾳ. 3. Παραινουμένων] τῆς ἐμῆς παραινέσεως. 8. Ἡ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών] ἢ ἀβουλίᾳ, δηλονότι ἰσχύϊ καὶ δυνάμει ἐργαζόμενος. 10. Τοιαῦτα μὲν] τινὲς λέγουσιν ὅτι τοιαῦτα δὲ ἄφειλεν εἰπεῖν, ἐπειδὴ ἐπῆσθαι εἶπε " τοιαῦτα μὲν ὁ Κλέων." ἀλλ' ἡμεῖς φαμὲν ὅτι ἐκεῖ καὶ τὸν δὲ ἀπέδωκεν, εἰπὼν " μετὰ ταῦτα δέ." 11. Μάλιστα ἀντιπάλων] ἀμφιβόλως ἔσχε καὶ ἐνδοιαστικῶς περὶ τὴν δόξαν.

1. δὲ om. O.
2. μήτε A.B.E.H.K.L.M.O.b. c.d.e.f.g. vulgo μηδέ.
μείναντες c.
4. πεῖθεσθαί B.E.h.
6. ἧς τε] ἔσται πρὸς L.O.P.
7. Ὅστις γὰρ—ἐπιών.] Stobæus p. 366. pro ἐναντίους, ἀντιπάλους contra MSS. Codd. repræsentat, quomodo legendum puto: ita enim Noster passim. Demosth. περὶ Μεγαλοπ. ὡς ἀνταλλάξασθαι βουλοίμεθα ΑΝΤΙΠΑΛΟΥΣ. ita Xenophon, alii ὅσα κόνις. Wass. Ἐναντίους pro hostibus dicit Thucyd. II. 42. τὴν δὲ τῶν ἐναντίων τιμωρίαν. Et I. 29. Κερκυραίοις ἐναντία πολεμήσοντες. In marg. Edit. Stobæi Lugd. male scriptum est in concione Cleonis, pro Diodoti. Dux.
βούλεται A.B.E.F.P.e.
9. ἀνοίᾳ ἰσχύος O. ἰσχύϊ ἰσχύ g.
10. δὲ A.B.E.K.f.g. δὴ c. vulgo μέν.
διότος c.
δὲ om. f.
11. ἀλλήλους A.B.E.I.L.O.P. f.g.h.i.
12. ἀγῶνας e.
τῆς om. c.
Ἐγένοντο] Confer Schol. Luciani t. I. p. 4. Turbas, et studia contendentium Noster non satis pro rei magnitudine explicat. Adeas ergo Euripidem Oreste 870. Æschylum Eumen. 485. Wass.

τῇ χειροτονίᾳ ἀγχώμαλοι, ἐκράτησε δὲ ἡ τοῦ Διοδότου. καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδήν, ὅπως μὴ φθασάσης τῆς δευτέρας εὕρωσι διεφθαρμένην τὴν πόλιν· προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα. παρασκευασάντων δὲ τῶν Μυτιληναίων πρέσβεων τῇ νηὶ οἶνον καὶ ἄλφιτα, καὶ μεγάλα ὑποσχομένων εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη, ὥστε ἧσθιόν τε ἅμα ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυραμένα, καὶ οἱ μὲν ὕπνον ἠροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος, καὶ τῆς μὲν προτέρας

vis altera missa Lesbum eo pervenit, antequam Paches jussa executus esset.

οὕτω γὰρ δεινῶς καὶ καλῶς εἰρήκασιν ἀμφότεροι, ὥστε ἀμφιβάλλειν αὐτοὺς, τίνι προστεθῶσιν ἄν. 1. Ἀγχώμαλοι] ἐγγὺς, ἴσαι, παραπλήσιαι, ἰσοσθενεῖς. 4. Ἡμέρᾳ τε καὶ νυκτὶ] τοῦ πλοῦ δηλονότι. 9. Ἦσθιον ἠροῦντο] ἐλάμβανον. Κατὰ μέρος δὲ] κατὰ διαδοχὴν μερικήν.

1. ἀγχόμαλον P.

3. δευτέρας] ἑτέρας L.O.P. πρωτέρας d.i.

Μὴ φθασάσης τῆς δευτέρας] Æmil. Portus in scholiis Græcis, quæ in Edit. Thucyd. Wechel. vetustis inserta sunt, scribit, hoc vel ita accipiendum esse, ὅπως μὴ εὕρωσι διεφθαρμένην τὴν πόλιν, τῆς δευτέρας μὴ φθασάσης τὴν πρωτέραν; vel dicendum, μὴ φθασάσης τῆς πρωτέρας τὴν δευτέραν δηλονότι. Prius, quod Vallæ quoque placuisse videtur, et nonnihil adjuvatur iis, quæ mox scribit Thucydides, τῆς μὲν πρωτέρας νεὼς οὐ σπουδῆ πλεούσης, nullius MS. auctoritate nititur: nec prius facile sine similium loquutionum exemplis probari potest. Duk.

4. ἡμέρᾳ καὶ A.B.C.F.H.K.L. N.O.P.c.d.e.f.g.h.i. vulgo ἡμέρᾳ τε καί.

5. τῶν om. K.

7. ἧσθιόν E.

8. Οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυμένα] Μᾶζαν, cibum remigum, apud Aristophan. Ran. 1105. Spanhemius ibi ex hoc loco interpretatur panem vino et oleo maceratum. Sed non credibile est, μᾶζαν remigum semper vino subactam fuisse, quos victu admodum tenui usos certum est. Haud dubie verum est, quod scribit Scheffer. IV. de Milit. Nav. 1. hoc extraordinarium fuisse, quo alacriores essent remiges. Πεφυρμένος plus semel est apud Homerum, et apud Dionys. Halic. qui Thucydideis libenter utitur, VI. 31. et XI. 40. πεφυραμένος in illo, apud Sueton. Tiber. LVII. πηλὸν αἵματι πεφυραμένον: ubi, quanquam et MSS. variant, et Suidas in Ἀλέξανδρος Αἰγαῖος habet πεφυρμένον, Casaubonus tamen omnino melius esse dicit πεφυραμένον. Ἦσθιον αἱρεῖσθαι est etiam II. 75. ubi vid. Duk.

πεφυραμένα A.B.F.H.L.N.d.g. ceteri πεφυρμένα.

νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα ἀλλήκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα καὶ μέλλειν δράσειν τὰ δεδογμένα, ἡ δ' ὑστέρα αὐτῆς ἐπικατάγεται καὶ διεκώλυσε μὴ διαφθεῖραι. παρὰ τοσοῦτον μὲν ἡ Μυτιλήνη ἦλθε κινδύνου. * τοὺς δ' ἄλλους ἄνδρας, οὓς ὁ Πάχης ἀπέπεμψεν ὡς αἰτιωτάτους ὄντας τῆς ἀποστάσεως, Κλέωνος γνώμῃ διέφθειραν οἱ Ἀθηναῖοι· ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων. καὶ Μυτιληναίων τείχη καθεῖλον καὶ ναῦς παρέλαβον. ὕστερον δὲ φόρον μὲν οὐκ ἔταξαν Λεσβίοις, κλήρους δὲ ποιήσαντες τῆς γῆς, πλὴν τῆς Μηθυμναίων, τρισχιλίους, τριακοσίους μὲν τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον,

50. Sed eos, quos Paches tamquam seditionis auctores maxime noxios Athenas miserat, numero paullo amplius mille, Athenienses, Cleonis auctoritate, necant; et totum Lesbiorum agrum, præter Methymnæum, ter mille sortibus factis, atque ex his trecentis in honorem deorum exceptis, cives Athenienses sortiuntur, quibus Lesbii agros illos colentes quotannis binas pro

4. Τὰ δεδογμένα] τῇ βουλῇ δηλονότι. 5. Παρὰ τοσοῦτον μὲν] ἀντὶ τοῦ εἰς τοσοῦτον ἦλθε κινδύνου, ὥστε καὶ ἀναγνωσθῆναι τὸ περὶ τοῦ θανάτου ψήφισμα. ἢ ἀντὶ τοῦ παρὰ μικρόν· ἔμελλε γὰρ εὐθὺς πράξειν τὰ ἐπισταλέντα ὁ Πάχης. 11. Κλήρους] μερίδας. Πλὴν τῆς Μηθυμναίων] οὗτοι γὰρ οὐκ ἀπέστησαν. 12. Ἐξεῖλον] ἐξαιρέτους ἀνέθεσαν.

2. Ἔφθασε] Vid. Diodor. Sicul. pag. 315. a. Wass.

3. τὸ om. Q.

4. ὑστεραία K.L.O.P. ὕστερον i. g.

5. φθεῖραι L.O.P. διαφθαρεῖναι B. et nescio quis Paris.

6. κινδύνου] κινδύνων I. κακοῦ

11. Κλήρους] Μερίδας recte interpretatur Scholiastes. Est enim κλῆρος portio, sive modus agri colonis, in agros hostibus ademtos missis, vel nova urbe condita civibus viritim sorte adsignatus. Vid. Spanhem. ad Aristoph. Nub. v. 203. et ad Callimach. Hymn. in Del. v. 281. et Perizon. ad Ælian. XII. Var. Hist. 61. Posterioris generis κλήρους *heredia* vocabant Romani, quod heredem sequerentur, ut ait Varro I. de Re Rust. 10. Duk.

τῆς τῶν μηθυμναίων L.

12. χιλίους c.

Τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον] De hoc more Veterum, in dividendis agris ab hoste captis, agit Spanhem. Dissert. IX. de Præstant. et Usu Numism. pag. 669. et ad Juliani Orat. I. pag. 218. Κληρούχους Schol. Aristoph. l. d. Hesych. Suidas et Schol. Sophocl. Ajac. 508. exponunt γεωργούς. Alibi sunt duces colonarum. Utramque significationem adlatis multorum Scriptorum locis ostenderunt Vales. ad Harpocr. voc. Κληροῦχοι, et Spanhem. ad Aristoph. l. d. et ad Juliani Orat. I. pag. 187. Duk.

ἐπὶ δὲ τοὺς ἄλλους σφῶν αὐτῶν κληρούχους τοὺς λαχόντας ἀπέπεμψαν· οἷς ἀργύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἑνιαυτοῦ δύο μνᾶς φέρειν, αὐτοὶ εἰργάζοντο τὴν γῆν. παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ Ἀθηναῖοι, ὅσων Μυτιληναῖοι ἐκράτουν, καὶ ὑπήκουον ὕστερον Ἀθηναίων. τὰ μὲν κατὰ Λέσβον οὕτως ἐγένετο.

sorte minas solvere jubentur. Etiam oppida Lesbiorum in continenti sita Athenienses recipiunt.

Ἐν δὲ τῷ αὐτῷ θέρει, μετὰ τὴν Λέσβου ἅλωσιν, Ἀθηναῖοι Νικίου τοῦ Νικηράτου στρατηγοῦντος ἐστράτευσαν ἐπὶ Μινώαν τὴν νῆσον, ἣ κεῖται πρὸ Μεγάρων· ἐχρῶντο δὲ αὐτῇ πύργον ἐνοικοδομήσαντες οἱ Μεγαρῆς φρουρίῳ. ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος τοῖς Ἀθηναίοις, καὶ μὴ ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος εἶναι, τούς τε Πελοποννησίους, ὅπως μὴ ποιῶν-

51. Nicias Minoam insulam, Megaris objectam, occupat, ibique castellum et præsidium Atheniensium relinquit.

7. Ἐν δὲ τῷ αὐτῷ θέρει] μετάβασις. 11. Αὐτόθεν] ἀπὸ τῆς Μινώας. 12. Ἀπὸ τοῦ Βουδόρου] ἀκρωτήριον τῆς Σαλαμῖνος.

3. ἐξειργάζοντο L.O.P. ἠργάζοντο B.

4. Πολίσματα] Trojam ex hac voce captam a Pachete argumentatur Strabo XIII. pag. 896. Wass. Add. quæ ibi adnotat Casaubonus. Duk.

6. ὕστερον ἀθηναίοις Q. ἀθηναίων ὕστερον L.O.P.

τὰ μὲν] ταῦτα Q.

7. τὴν om. L.O.P.

9. μινώαν H. vulgo μίνωαν.

Μίνωαν τὴν νῆσον] Strabo IX. pag. 391. ἄκραν vocat. Observat Casaub. ad Strab. III. 137. hæc apud Geographos sæpe confundi, et ab alio insulam, vel peninsulam adpellari, quam alius ἄκραν vocat. Sed festinatione lapsus scribit, Minoa ante Megara Straboni insula, Thucydidi ἄκρα; quod contra scriptum voluerat, ut intelligitur ex iis, quæ ad Strabon. IX. 391. adnotat. Duk.

11. ἐβουλεύετο K. αὐτόθι O.

12. μὴ om. P.

13. Τούς τε Πελοποννησίους] Cass. hic adscriptum habet scholion, ἐβούλετο δηλονότι. Ita accusativus τοὺς Πελοποννησίους, hic erit pro nominativo, quasi esset, καὶ ὅπως οἱ Πελοποννήσιοι μὴ ποιῶνται ἔκπλους. Hæc constructio usitatissima est cum verbis οἶδα, ὁρῶ, φοβοῦμαι, eorumque synonymis, cujus multa exempla congessit Stephan. ad Script. de Dial. p. 51. Nec tamen infrequens cum aliis. De λέγω et ἀγγέλλω vid. quæ adnotat Clar. Gronov. ad Arrian. III. 1. Aristoph. Plut. 56. σὺ πρότερον σαυτὸν ὅστις εἶ, φράσον. Nubib. 144. ἀνήρετο Χαιρεφῶντα ψύλλαν ὁπόσους ἄλλοιτο τοὺς αὐτῆς πόδας. Et Avib. 1269. Δεινὸν γε τὸν κήρυκα, τὸν παρὰ τοὺς βροτοὺς Οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν. Duk.

ται ἔκπλους αὐτόθεν λαμβάνοντες, τριήρων τε, οἷον καὶ τὸ πρὶν γενόμενον, καὶ ληστῶν ἐκπομπαῖς, τοῖς τε Μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν. ἑλὼν οὖν ἀπὸ τῆς Νισαίας πρῶτον δύο πύργω προέχοντε μηχαναῖς ἐκ θαλάσσης, καὶ τὸν ἔσπλουν ἐς τὸ μεταξὺ τῆς νήσου ἐλευθερώσας, ἀπετείχιζε καὶ τὸ ἐκ τῆς ἠπείρου, ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοήθεια ἦν τῇ νήσῳ, οὐ πολὺ διεχούσῃ τῆς ἠπείρου. ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ἡμέραις ὀλίγαις, ὕστερον δὴ καὶ ἐν τῇ νήσῳ τεῖχος ἐγκαταλιπὼν καὶ φρουρὰν ἀνεχώρησε τῷ στρατῷ.

52. Eodem tempore Platenses, qui obsidionem Peloponnesiorum non

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ Πλαταιῆς, οὐκέτι ἔχοντες σῖτον οὐδὲ δυνάμενοι πολιορκεῖσθαι, ξυνέβησαν τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ. προσέβαλον αὐτῶν τῷ τείχει, οἱ δὲ οὐκ ἐδύναντο ἀμύνε-

1. Αὐτόθεν] ἀπὸ τῆς Μινύας. Τριήρων τε] ὅ τε Κνῆμος καὶ ὁ Βρασίδας οἱ Σπαρτιᾶται μετὰ τῶν τεσσαράκοντα νεῶν ἀπὸ Νισαίας ἐξαπίνης προσέπεσον τῷ Βουδόρῳ, ὥς φησιν ὁ Συγγραφεὺς ἐν τῇ δευτέρᾳ. 5. Τῆς νήσου] τῆς Μινύας. 6. Ἧι] ὅπου. 14. Αὐτῶν] τῶν Πλαταιέων.

1. αὐτόθι P. αὐτῶν A.B.g.
τε] δὲ L.O. om. g.h.
2. ἐκπομπὰς h.
3. νισαίας O.
4. πρῶτον om. f.
δύω f.g.
6. ᾗ] ἡ A.
7. ἐπιβοηθείαι E. ἐπὶ βοηθείᾳ Q.
8. ἐξειργάσατο I.L.O.Q.d.

12. Πλαταιῆς] Hanc Platæarum deditionem cum eruptione III, 20. memorata conjungere videtur, 315. c. Diodorus. Demosthenes in Neæram p. 531. Τῶν δὲ Πλαταιέων ἀπομνημονεύω, ὅτι ἄνευ Ἀθηναίων οὐδὲν ἂν πράξειαν, ἐπολιόρκουν αὐτοὺς διπλῷ τείχει περιτειχίσαντες ΔΕΚΑ ἔτη. Interp. decennium, sed reclamat computus. Urbem περιεσταύρωσαν Bell. Pelop. III. deditio autem facta est belli ejusdem anno quinto. repone ergo fidenter, δύο. Cæterum Platæa utroque numero Noster et Herodotus. Apud Nepotem, MS. Trin. Plateas, Pausan. I. ubi vocem *millibus* recte omittit. Vid. Whelerum Itin. p. 474. et Sextum Empir. 31. d. Wass. Sextus advers. Grammat. cap. VII. Ἀθῆναι γὰρ λέγονται πληθυντικῶς, αἱ μίαι πόλις, καὶ Πλαταιαί. Eustath. in II. Iliad. p. 296. Ἑνικῶς μὲν γὰρ ἡ Πλάταια, πληθυντικῶς δὲ αἱ Πλαταιαί. Et sic Stephanus, ubi vid. Interpretes. Dur.

οὐκέτι] οὐκ c.f.
14. προσέβαλλον I.c.
αὐτῶν om. F.L.O.P.
ἐδύναντο A.E.H.K.d.e. ceteri ἐδύνατο.
ἀμύνασθαι d.e.

σθαι. γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν, βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν· εἰρημένον γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως, εἰ σπονδαὶ γίγνοιντό ποτε πρὸς Ἀθηναίους, καὶ ξυγχωρεῖεν ὅσα πολέμῳ χωρία ἔχουσιν ἑκάτεροι ἀποδίδοσθαι, μὴ ἀνάδοτος εἴη ἡ Πλάταια ὡς αὐτῶν ἐκόντων προσχωρησάντων· προσπέμπει δὲ αὐτοῖς κήρυκα λέγοντα, εἰ βούλονται παραδοῦναι τὴν πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις, καὶ δικασταῖς ἐκείνοις χρήσασθαι, τούς τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ οὐδένα. τοσαῦτα μὲν ὁ κήρυξ εἶπεν· οἱ δὲ (ἦσαν γὰρ ἤδη ἐν τῷ ἀσθενεστάτῳ) παρέδοσαν τὴν πόλιν. καὶ τοὺς Πλαταιέας ἔτρεφον οἱ Πελοποννήσιοι ἡμέρας τινάς, ἐν ὅσῳ οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο. ἐλθόντων δὲ αὐτῶν κατηγορία μὲν οὐδεμία προετέθη, ἠρώτων δὲ αὐτοὺς ἐπικαλεσάμενοι τοσοῦτον μόνον, εἴ τι Λα-

amplius poterant sustinere, se dedunt. Rogati, numquid in hoc bello boni in Lacedæmonios contulerint, potestate facta prolixius dicendi, Astymachum et Laconem oratores constituunt.

2. Εἰρημένον γὰρ ἦν αὐτῷ] ἀντίστασις, ἤτοι αἰτιατικὴ ἀντὶ γενικῆς. ἀντὶ τοῦ εἰρημένου γὰρ αὐτῷ, εἶπεν. 3. Ἐκ Λακεδαίμονος] ἐκ τῆς βουλῆς τῶν Λακεδαιμονίων. 5. Μὴ ἀνάδοτος εἴη] μὴ ἀποδοθῇ δηλονότι ὀπίσω, μὴ ἀποδίσιμος γένοιτο. 6. Προσπέμπει δὲ] οὗτος ὁ δὲ πρὸς τὸν μέν. προεῖπε γὰρ ὅτι "βίᾳ "μὲν οὐκ ἐβούλοντο ἑλεῖν."

1. λακεδαιμονίοις d.
αὐτῶν om. H.N.
2. γὰρ] γ' Q.
3. γένοιντο e.
5. Μὴ ἀνάδοτος εἴη ἡ Πλάταια] Pollux VII. 13. μὴ ἀνάδοτος εἴη Πλάταια, omisso articulo. et explicat, τὸ μετὰ τῶν πρῶτον ἀποδοθέν. Videtur ad proverbium alludere, τῶν ὀρθῶς δοθέντων ἀφαίρεσις οὐκ ἔστι. Vid. ad locum Adnotata. Wasa.
6. προχωρησάντων E.
προπέμπει L.O.P.
9. τε] δὲ K.c.
13. τῆς om. f.
Δικασταὶ πέντε ἄνδρες] Horum unus erat Aristomenidas, Agesilai regis avus maternus, ut ait Pausanias in Laconicis. *Palmerius* Exercitat. p. 48. Huds.
14. κακηγορία E.g.
προετέθη e.
15. μόνον om. d.i.
εἰ τοὺς λακεδαιμονίους K.
Τοσοῦτον μόνον] Stephanus l. d. p. 105. quia τοσοῦτον per se significat *hoc solum*, sive *non aliud quam hoc*, τὸ μόνον abundare existimat. Sed hoc satis obvium est: παρέλκειν illud particulæ τι, in iis, quæ sequuntur, εἴ ΤΙ Λακεδαιμονίους—ἀγαθὸν ΤΙ εἰργασμένοι εἰσὶν, longe, ut opinor, inusitatius. Et certe tantum uno loco positum ad sententiam sufficere

καδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ παλάμῃ τῷ καθεστῶτι ἀγαθόν τι εἰργασμένοι εἰσίν. οἱ δ' ἔλεγον, αἰτησάμενοι μακρότερα εἰπεῖν, καὶ προτάξαντες σφῶν αὐτῶν Ἀστύμαχόν τε τὸν Ἀσωπολάου, καὶ Λάκωνα τὸν Ἀειμνήστου, πρόξενον ὄντα Λακεδαιμονίων. καὶ ἐπελθόντες ἔλεγον τοιάδε.

53—59. Eorum oratio.

" ΤΗΝ μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι, " πιστεύσαντες ὑμῖν ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰό- " μενοι ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι, καὶ ἐν δι- " κασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι, ὥσπερ καὶ ἐσμὲν, " γενέσθαι ἢ ὑμῖν, ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρε- " σθαι. νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτή- " καμεν· τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι " εἰκότως ὑποπτεύομεν, καὶ ὑμᾶς, μὴ οὐ κοινοὶ ἀποβῆτε, " τεκμαιρόμενοι προκατηγορίας τε ἡμῶν οὐ προγεγενη- " μένης, ἣ χρὴ ἀντειπεῖν (ἀλλ' αὐτοὶ λόγον ἠτησάμεθα), " τό τε ἐπερώτημα βραχὺ ὂν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνα-

7. ΤΗΝ μὲν παράδοσιν] ἡ δημηγορία τῶν Πλαταιέων δικανικωτέρα ἐστί· τὸ δὲ προοίμιον ἐξ αὐτοῦ τοῦ πράγματος καὶ ἐκ προσοχῆς. 10. Οὐκ ἐν ἄλλοις] ἢ ὑμῖν. τὸ δὲ ἐξῆς, καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι γενέσθαι, ὥστερ καὶ ἐσμὲν ἄρτι κρινόμενοι ὑφ' ὑμῶν. 11. Ἢ ὑμῖν] κατὰ δύο (φησὶ) τρόπους προὐθυμήθημεν ἐγχειρίσαι ὑμῖν τοῖς Λακεδαιμονίοις τὴν πόλιν, κατά τε τὸ μὴ περὶ θανάτου κριθῆναι, ἀλλὰ περί τινος μαλακωτέρας ζημίας, καὶ καθὸ δικαίοις ὑμᾶς κριτὰς ἠγησάμεθα γενέσθαι. νῦν δὲ (φησὶ) φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν. καὶ τὴν αἰτίαν εὐθὺς ἐπιφέρει· τόν τε γὰρ ἀγῶνα, φησὶ, καὶ τὰ ἐξῆς. Τὸ ἴσον] τὸ δίκαιον. Φέρεσθαι] ἀποφέρεσθαι. 13. Περὶ τῶν δεινοτάτων] περὶ τοῦ θανάτου. 14. μὴ οὐ κοινοὶ] μὴ οὐκ ἴσοι, μὴ οὐ δίκαιοι, ἀλλ' ἑτεραλκέα τὴν νίκην ποιήσητε. 15. Τεκμαιρόμενοι] ἡμεῖς δηλαδή. 17. Ὧι] τῷ ἐρωτήματι.

poterat. Mox cap. 54. ubi hæc repetuntur, omittitur loco posteriore: In Gr. hic abest loco priore. Eadem varietas est cap. 68. Duk.

1. ἐν τῷ] αὐτῷ Q.
τῷ καθεστῶτι om. g. τῷ om. K.
2. ἀγαθόν τι om. e.
εἰργασάμενοι O.
5. καὶ ἐλθόντες c. om. L.O.P.
10. περ om. P.
καὶ om. d.
12. ἡμαρτήκαμεν d.
14. κοινῇ K.Q.c
15. προγενομένης O.

" σθαι ἐναντία γίγνεται, τὰ δὲ ψευδῆ ἔλεγχον ἔχει.
" πανταχόθεν δὲ ἄποροι καθεστῶτες ἀναγκαζόμεθα, καὶ
" ἀσφαλέστερον δοκεῖ εἶναι, εἰπόντας τι κινδυνεύειν· καὶ
" γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ' ἔχουσιν αἰτίαν ἂν πα-
" ράσχοι, ὡς, εἰ ἐλέχθη, σωτήριος ἂν ἦν. χαλεπῶς δὲ
" ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ. ἀγνῶτες μὲν
" γὰρ ὄντες ἀλλήλων, ἐπεισενεγκάμενοι μαρτύρια ὧν
" ἄπειροι ἦτε, ὠφελούμεθ' ἄν· νῦν δὲ πρὸς εἰδότας πάντα
" λελέξεται, καὶ δέδιμεν οὐχὶ μὴ προκαταγνόντες ἡμῶν
" τὰς ἀρετὰς ὅσσους εἶναι τῶν ὑμετέρων ἔγκλημα αὐτὸ
" ποιῆτε, ἀλλὰ μὴ ἄλλοις χάριν φέροντες ἐπὶ διεγνωσ-
" μένην κρίσιν καθιστώμεθα. *παρεχόμενοι δὲ ὅμως 54.
" ἃ ἔχομεν δίκαια πρός τε τὰ Θηβαίων διάφορα
" καὶ ἐς ὑμᾶς καὶ τοὺς ἄλλους Ἕλληνας, τῶν εὖ δε-
" δρασμένων ὑπόμνησιν ποιησόμεθα καὶ πείθειν πειρα-

4. Ὁ μὴ ῥηθεὶς λόγος] ὁ ἄνθρωπος ὁ σιωπήσας καὶ μὴ εἰπών. 5. Σωτήριος] πρόξενος σωτηρίας. 6. Πρὸς τοῖς ἄλλοις] τοῖς σιωπῶσιν ἐξ ἀπορίας. 7. Ἐπεισενεγκάμενοι] ἡμεῖς δηλονότι. 11. ἄλλοις] τοῖς Θηβαίοις φησίν. 14. Εὖ δεδρασμένων] ὑφ' ὑμῶν μὲν ὡς πολεμίους. τοῦτο τὸ ἐπιχείρημα λύσις ἐστὶ τοῦ Λακεδαιμονικοῦ διλημμάτου ἐρωτήματος, τοῦ λέγοντος ὅτι ἠδικήσατε ἡμᾶς, ὦ Πλαταιεῖς, ἐν τῷ παρόντι πολέμῳ, ἢ οὔ; ἵνα, εἰ μὲν εἴποιεν ἀδικήσαντες, ὡς ἀδίκους αὐτοὺς μετελεύσονται, εἰ δὲ μή, ὡς ψευδομένους, εἴπερ ἀγαθόν τι ποιῆσαι Λακεδαιμονίους καὶ τοὺς συμμάχους φήσαιεν. φασὶν οὖν οἱ Πλαταιεῖς, ἀπολογούμενοι ἐπὶ τούτοις, εἰ μὲν ὡς πολεμίους ἡμᾶς περὶ τούτων πυνθάνεσθε, φαμὲν μὴ ἀδικεῖσθαι τοὺς Λακεδαιμονίους ὑμᾶς ὑφ' ἡμῶν, εἶτι μὴ καλὸν ἐν πολέμῳ πεπόνθατε, ὅπερ ἦμεν ἐχθροί· εἰ δὲ ὡς φίλους καταστιᾶσθαι βούλεσθε,

1. τὰ] τὸ g.
2. πανταχόθεν τε Q.
4. ἂν om. Q.
6. μὲν om. L.
7. γὰρ om. Q.
ἀλλήλοις B.
μαρτυρίας e.
8. πᾶν L.O.P.
9. λέξεται I.K.d.e.f.
δεδίαμεν g.
μὴ οὐχὶ Q.
καταγνόντες O
10. τῶν] αὐτῶν I.
αὐτῷ H.
11. ποιεῖτε B.E.g.h.
13. τὰ] τῶν i.
14. καὶ τοὺς A.B.E.F.H.K.N. Q.c.f.g.h. ceteri καὶ ἐς τοὺς.
τῶν δὲ Q.g.
Τῶν εὖ — ποιησόμεθα Thomas Mag. in δεδρασμένων. Duk.
δεδραμένων P.d.
15. καὶ πείθειν πειρασόμεθα] om. Q.

" σόμεθα. φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχὺ, εἴ
" τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολ-
" έμῳ τῷδε ἀγαθὸν πεποιήκαμεν, εἰ μὲν ὡς πολεμίους
" ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς μὴ εὖ παθόντας, φί-
" λους δὲ νομίζοντας αὐτοὺς ἁμαρτάνειν μᾶλλον, τοὺς
" ἡμῖν ἐπιστρατεύσαντας. τὰ δ' ἐν τῇ εἰρήνῃ καὶ πρὸς
" τὸν Μῆδον ἀγαθοὶ γεγενήμεθα, τὴν μὲν οὐ λύσαντες νῦν
" πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι τότε ἐς ἐλευθερίαν τῆς
" Ἑλλάδος μόνοι Βοιωτῶν. καὶ γὰρ ἠπειρῶταί τε ὄντες
" ἐναυμαχήσαμεν ἐπ' Ἀρτεμισίῳ, μάχῃ τε τῇ ἐν τῇ ἡμε-
" τέρᾳ γῇ γενομένῃ παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ·
" εἴ τέ τι ἄλλο κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπικίνδυ-
" νον τοῖς Ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομεν.
" καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτε περ δὴ μέγιστος
" φόβος περίεστη τὴν Σπάρτην, μετὰ τὸν σεισμὸν τῶν ἐς
" Ἰθώμην Εἱλώτων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν
" αὐτῶν ἐξεπέμψαμεν ἐς ἐπικουρίαν· ὧν οὐκ εἰκὸς ἀμ-
" νημονεῖν. καὶ τὰ μὲν παλαιὰ καὶ μέγιστα τοιοῦτοι
" ἠξιώσαμεν εἶναι, πολέμιοι δὲ ἐγενόμεθα ὕστερον. ὑμεῖς
" δὲ αἴτιοι· δεομένων γὰρ ξυμμαχίας, ὅτε Θηβαῖοι ἡμᾶς
" ἐβιάσαντο, ὑμεῖς ἀπεώσασθε καὶ πρὸς Ἀθηναίους ἐκ-
" ελεύετε τραπέσθαι ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν

ἑαυτοὺς αἰτιᾶσθε. ὑμεῖς γὰρ πρότεροι ἠδικήσατε, καθ' ἡμῶν μετὰ τῶν συμμάχων Θηβαίων ἐπιστρατεύσαντες. 4. Μὴ εὖ παθόντας] αὐτοὺς ὑμᾶς τοὺς Λάκωνας. 5. Φίλους δὲ νομίζοντας] ἡμᾶς δηλονότι. 8. Τῷ δὲ] τῷ Μήδῳ. 10. Ἐν τῇ ἡμετέρᾳ γῇ] ἐν τῇ Πλαταιᾷ. 15. Περίεστη] περιεκύκλωσεν. 17. Οὐκ

5. μάλιστα g.
τοὺς om. L.O.P.Q.
6. στρατεύσαντες g.
8. πρότερον d.
ἐπ' ἐλευθερίᾳ I.L.O.P.d.
9. τε om. g.
13. περὶ b.
14. περ om. e.
Σεισμὸν] Olymp. LXXVII. 4. vid. Diod. p. 274. c. Wass.
15. ἐς] ἐπ' L.O.P.
20. γὰρ] δὲ A.B.
21. Πρὸς—τραπέσθαι] Thom. Magist. in βούλομαι. Dux.

" ἀποικούντων. ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέσ-
" τερον ὑπὸ ἡμῶν οὔτε ἐπάθετε οὔτε ἐμελλήσατε. εἰ δ'
" ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν ὑμῶν κελευσάν-
" των, οὐκ ἠδικοῦμεν· καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐν-
" αντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε, καὶ προδοῦναι
" αὐτοὺς οὐκέτι ἦν καλὸν, ἄλλως τε καὶ οὓς εὖ παθών
" τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους καὶ
" πολιτείας μετέλαβεν, ἵνα δὲ ἐς τὰ παραγγελλόμενα
" εἰκὸς ἦν προθύμους. ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμ-
" μάχοις, οὐχ οἱ ὑπόμενοι αἴτιοι, εἴ τι μὴ καλῶς ἐφράτε,
" ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα. *Θηβαίοις δὲ 56.
" πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκηται, τὸ δὲ τελευταῖον
" αὐτοὶ ξύνιστε δι' ἅπερ καὶ τάδε πάσχομεν. πάλιν γὰρ
" αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας ἐν σπονδαῖς
" καὶ προσέτι ἱερομηνίᾳ ὀρθῶς ἐτιμωρησάμεθα, κατὰ τὸν

εἰκὸς] οὐ δίκαιον. 1. Τῷ πολέμῳ] τῷ νῦν δηλονότι. Ἐκπρεπέστερον] ἔξω τοῦ πρέποντος. 3. Ἡμῶν] τῶν Λακεδαιμονίων. 4. Ἐναντία Θηβαίοις] μαχόμενοι τοῖς Θηβαίοις. 6. Καλὸν] δίκαιον. οὐ καλὸν προδοῦναι δηλονότι εἰς τὰ προστασσόμενα ὑπὸ τῶν Ἀθηναίων. 7. Καὶ πολιτείας μετέλαβεν] ἐπολιτογραφήθη. 9. Ἑκάτεροι] οἵ τε Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι. 11. Ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα] ἐπὶ τὰ ἄδικα. 14. Καταλαμβάνοντας] λῃστρικῶς ἐπερχομένους. Ἐν σπονδαῖς] σπονδῶν οὐσῶν εἰρηνικῶν.

1. μέντοι οὖν τῷ C.
ἐκπρεπώδέστερον O.
3. ἐθελήσαμεν K.
4. ἐδικοῦμεν b.d.
9. συμμάχοις E.
10. τι μὴ] μή τι M.b. τε μὴ g.
12. ἡμᾶς om. I.
15. ὀρθῶς ἐτιμωρησάμεθα A.B.E. F.H.M.N.b.g.h. vulgo ὀρθῶς τε ἐτιμωρησάμεθα.

Ἱερομηνίᾳ] Portus putavit esse, νουμηνίαν. Et sic cap. 65. Steph. quoque in marg. Edit. sec. versionem Vallæ, *die solenni*, emendat, *in sacris*, vel *feriis primæ diei mensis*, q. d. *feriarum menstruarum die*. Fortassis omnis νουμηνία recte dici potest ἱερομηνία: sed an omnis ἱερομηνία quoque sit νουμηνία, mihi non liquet. Nam Harpocration e Demosth. adv. Timocrat. ἱερομηνίας nihil aliud, quam ἑορτάδεις ἡμέρας interpretatur. Et sic ex eo Suidas et Hesychius. Nec quidquam de νουμηνίᾳ addunt. Ac neque quisquam e quamplurimis Scriptoribus, quorum verba de sacro νουμηνίας adfert Meursius in Græc. Feriata, v. Νουμηνία, hunc diem vocat ἱερομηνίαν. Adde, quod Thucyd. II. 4. Plateas a The-

" πᾶσι νόμον καθεστῶτα, τὸν ἐπιόντα πολέμιον ἔσιον εἶ-
" ναι ἀμύνεσθαι· καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς
" βλαπτοίμεθα. εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε
" καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ
" φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον 5
" μᾶλλον θεραπεύοντες. καίτοι εἰ νῦν ὑμῖν ὠφέλιμοι δο-
" κοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ἕλληνες
" μᾶλλον τότε, ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. νῦν μὲν γὰρ
" ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ,
" ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ' αὐ- 10
" τοῦ ἦσαν. καὶ δίκαιον ἡμῶν τῆς νῦν ἁμαρτίας, εἰ ἄρα
" ἡμάρτηται, ἀντιθεῖναι τὴν τότε προθυμίαν· καὶ μείζω
" τε πρὸς ἐλάσσω εὑρήσετε, καὶ ἐν καιροῖς οἷς σπάνιον
" ἦν τῶν Ἑλλήνων τινὰ ἀρετὴν τῇ Ξέρξου δυνάμει ἀντιτά-

1. Πᾶσι] τοῖς Ἕλλησιν. Ὅσιον] δίκαιον. 3. Βλαπτοίμεθα] ἀδικοίμεθα. Αὐτίκα] ἐν τῷ ἐνεστῶτι. 4. Πολεμίῳ] ἐν τῷ πολέμῳ. 6. Ὠφέλιμοι δοκοῦσιν εἶναι] οἱ Θηβαῖοι δηλονότι ὠφέλιμοι ἐφάνησαν, ὑμῖν δηλονότι, ἢ καὶ ὠφελιμώτεροι. 7. Πολὺ καὶ ὑμεῖς] καὶ οἱ ἄλλοι Ἕλληνες. ἐφείσατο εἰκεῖν οἱ Ἀθηναῖοι, διὰ τὸ φορτικόν. 8. Ὅτε ἐν μείζονι κινδύνῳ ἦτε] ἐπὶ τῶν Μηδικῶν. 9. Δεινοί] μετὰ δεινότητος. 10. Πᾶσι] τοῖς Ἕλλησιν. Οἵδε μετ' αὐτοῦ ἦσαν] ἦγαν οἱ Θηβαῖοι συνεμάχουν αὐτῷ. 12. Ἀντιθεῖναι] ἐναντίαν θεῖναι. Μείζω τε πρὸς ἐλάσσω] μείζω προθυμίαν πρὸς ἐλάσσω ἁμαρτίαν. 14. Ἀρετὴν] ἀν-

banis τελευτῶντος τοῦ μηνὸς occupatas dicit. Budæus in Demosthene, qui sæpe ἱερομηνίαν memorat, interpretabatur *sacra stata aliquo mense*, vel generaliter *diem festum*, et Camerar. in Demosth. adv. Timocrat. *dies festos*. Vid. Steph. Thes. Suidas ἱερομηνία, ἱερὰ ἑορτὴ κατὰ μῆνα. Sic etiam Etymol. M. et insuper, ἡ ἐν τῷ μηνὶ ἱερὰ ἡμέρα, quæ confirmant interpretationem priorem Budæi. In Gloss. ἱερομηνία *festivi ludi*: quo pertinet, quod e Budæo adnotat Steph. ἱερομηνίαν apud Demosthenem etiam esse *diem ludorum*. Infra V. 54. est τὰ ἱερομήνια, ubi Schol. ἑορτώδης ἡμέρα. Quæ Kuhnius ad Pausan. III. 5. de ἱερομηνίαις adnotat, nihil magnopere ad inlustrationem hujus loci faciunt, et non satis explorata videntur. Duk.

3. τε om. c.e.
7. οἱ om. M.P.Q.g.
9. ἐπέρχεσθε P.
12. ἡμάρτηται ἀντιθεῖναι A.B. E.F.H.K.M.N.c.f.g.h.i. vulgo ἡμάρτηταί τι ἀντιθεῖναι.
14. τινα ἀρετὴν τῶν ἑλλήνων c.f. τῇ τοῦ ξέρξου e.

" ξασθαι, ἐπῃνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς
" τὴν ἔφοδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες, ἀθέλοντες δὲ
" τολμᾷν μετὰ κινδύνων τὰ βέλτιστα. ὧν ἡμεῖς γενό-
" μενοι, καὶ τιμηθέντες ἐς τὰ πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς
" δέδιμεν μὴ διαφθαρῶμεν, Ἀθηναίους ἑλόμενοι δικαίως
" μᾶλλον ἢ ὑμᾶς κερδαλέως. καίτοι χρὴ ταὐτὰ περὶ
" τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας, καὶ τὸ
" ξυμφέρον μὴ ἄλλο τι νομίσαι ἢ τῶν ξυμμάχων τοῖς
" ἀγαθοῖς ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς ἔχωσι,
" καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται.
" * προσκέψασθέ τε ὅτι νῦν μὲν παράδειγμα τοῖς πολ- 57.
" λοῖς τῶν Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ
" ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα (οὐ γὰρ ἀφανῆ κρινεῖτε
" τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμ-
" πτῶν,) ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξωνται ἀνδρῶν ἀγα-
" θῶν πέρι αὐτοὺς ἀμείνους ὄντας ἀπρεπές τι ἐπιγνῶναι,
" οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς σκῦλα ἀπὸ ἡμῶν τῶν εὐερ-
" γετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι. δεινὸν δὲ δόξει εἶναι
" Πλάταιαν Λακεδαιμονίους πορθῆσαι, καὶ τοὺς μὲν πα-
" τέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δὶ

δρείαν. 1. Ἐπῃνοῦντό τε μᾶλλον] ὑπερβαλλόντως εἶχον τὸν ἔπαινον. 2. Ἀσφαλείᾳ] τῇ ἑαυτῶν δηλονότι. Ἐθέλοντες δὲ] ὅπερ καὶ Ἀθηναῖοι ἔπραξαν, τὴν πόλιν αὐτῶν ἐρημώσαντες καὶ ναυσὶ κινδυνεύσαντες. 3. Τολμᾷν] σὺν τόλμῃ πράττειν. 7. Γιγνώσκοντας] ὑμᾶς τοὺς Λακεδαιμονίους. 9. Ἔχωσι] παρέχωσι. 13. Μὴ τὰ εἰκότα] οὐχὶ δίκαια. 14. Ἐπαινούμενοι δὲ] ὑμεῖς δηλονότι. 15. Ἀνδρῶν ἀγάθων πέρι] ἡμῶν δηλονότι τῶν Πλαταιέων. 16. Αὐτοὺς ἀμείνους ὄντας] ἀντὶ τοῦ ὑμᾶς τοὺς Λακεδαιμονίους. ὅρα δὲ πῶς κολακεύει λανθανόντως τοὺς Λάκωνας. 18. Ἀνατεθῆναι] ἀπὸ κοινοῦ τὸ οὐκ ἀποδέξωνται. 20. Ἐς τὸν τρίποδα] τὸν ἐκ τῶν Μηδικῶν σκύλων, ὃν ὁ Παυσα-

1. μάλιστα L.O.P.
2. ἀσφαλίαι E.
3. βέλτιστα] μέγιστα c.
7. ὁμοίους f.
10. ὑμῖν A.B.E.d.e.f.g.h. καθίστηται I.K.L.M.O. καθίσταται P.Q. καθίστητε d.
11. τε om. B.O.
13. οὐ γὰρ] οὐκ K. ἀφανεῖ d.i.
14. περὶ] παρὰ g.
17. πρὸς τοῖς ἱεροῖς g.

" ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνι-
" κοῦ πανοικησίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι. ἐς τοῦτο
" γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες Μήδων τε
" κρατησάντων ἀπολλύμεθα, καὶ νῦν ἐν ὑμῖν τοῖς πρὶν
" φιλτάτοις Θηβαίων ἠσσώμεθα, καὶ δύο ἀγῶνας τοὺς
" μεγίστους ὑπέστημεν, τότε μὲν τὴν πόλιν εἰ μὴ παρέ-
" δομεν, λιμῷ διαφθαρῆναι, νῦν δὲ θανάτου κρίνεσθαι.
" καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιῆς, οἱ παρὰ δύνα-
" μιν πρόθυμοι ἐς τοὺς Ἕλληνας, ἔρημοι καὶ ἀτιμώρητος
" καὶ οὔτε τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδείς, ὑμεῖς τε, ὦ

νίας ἐποίησε. 5. Θηβαίων ἠσσώμεθα] διὰ τοὺς Θηβαίους καταβαλλόμεθα. 7. Νῦν δὲ] κινδυνεύομεν δηλονότι. 9. Καὶ ἀτιμώρητοι] οὐδεμίαν

1. ἀρετῆς L.P.
καὶ om. K.
τοῦ om. e.
2. πανοικεσίᾳ E.I.L.N.O.Q.
Πανοικησίᾳ] Πανοικεσίᾳ, quod quidam MSS. habent, etiam est in Polluce VI. 163. ex Antiphonte, et in Thoma Mag. πανοικὶ e Libanio. Sic quoque Dionys. Halic. VII. 18. et XI. 2. et Mœris. Sed in Thucyd. II. 16. non est πανοικεσίᾳ, ut Thomas laudat, sed πανοικησίᾳ, sine ulla varietate scripturæ. Paullo post, si in his, οἵτινες Μήδων—ea sententia est, quam Interpretes expresserunt, pro ἀπολλύμεθα, verbo præsentis temporis, aliud tempus videtur requiri, ut in illo Themistoclis apud Plutarch. Themist. ὦ παῖδες, ἀπολλύμεθα, εἰ μὴ ἀπωλόμεθα. Dux.
4. ἀπωλλύμεθα H.
καὶ—ἠσσώμεθα] om. E.
7. λιμῷ δὲ διαφθαρῆναι e.
θανάτου κρίνεσθαι B.g.h. ceteri θανάτου δίκῃ κρίνεσθαι.
Θανάτου δίκῃ κρίνεσθαι] Κρίνεσθαι δίκῃ etiam Plutarch. dicit Public. p. 193. οὐκ ἔφευγεν ἐπ' αὐτοῦ δίκῃ κριθῆναι πρὸς Ταρκύνιον. Habent etiam vocabulum δίκῃ hic omnes MSS. excepto Regio. Et ob id suspectum esse potest, eo quod in hoc genere loquendi fere omittitur. Plutarch. Apophthegm. p. 327. κρινόμενος θανάτου. Ælian. XIII. Var. Hist. 42. ἔκρινόν με θανάτου. Polyb. VI. 12. θανάτου δὲ κρίνει μόνος, sc. ὁ δῆμος. Similiter in eo, quod ex Athenæi XIII. 6. adfert Budæus, κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ, ἀπέφυγε. In quibus Stephanus Append. ad Script. de Dialect. p. 110. deesse putat δίκῃ. Quamquam etiam κρίσιν suppleri potest e loco Demosthenis, quem et ipse laudat, κρίνεσθαι κρίσιν θανάτου. Mox ἀτιμώρητοι Thomas Mag. in τιμωρῶ exponit ἀβοήθητοι, ubi et Πλαταιεῖς. Dux.
8. περιεσώμεθα K.
10. τότε om. L.O.
ὠφέλειται K.

" Λακεδαιμόνιοι, ἡ μόνη ἐλπὶς, δέδιμεν μὴ οὐ βέβαιοι
" ἦτε. * καίτοι ἀξιοῦμέν γε καὶ θεῶν ἕνεκα τῶν ξυμμα- 58.
" χικῶν ποτὲ γενομένων καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς Ἕλ-
" ληνας καμφθῆναι ὑμᾶς, καὶ μεταγνῶναι, εἴ τι ὑπὸ

βοήθειαν ἔχοντες ὑπό τινος. 2. Τῶν ξυμμαχικῶν] τῶν ἐφόρων τῆς ξυμμαχίας τῆς ἡμετέρας. 3. Τῆς ἀρετῆς] τῆς ἡμετέρας. Τῆς ἐς τοὺς Ἕλληνας] ἀπὸ κοινοῦ τὸ ἕνεκα. τὸ ἑξῆς, ἀξιοῦμεν καμφθῆναι. καὶ τοῦτο ἀπὸ τοῦ πρέτον-

1. δεδίαμεν Dionysius p. 7.
2. ξυμμάχων Q.
4. καμφθῆναι A.B.E.F.I.c.d.e. g. κναμφθῆναι f. vulgo γναμφθῆναι.

Γναμφθῆναι] Pro καμφθῆναι non dubitavi reponere ex marg. γναμφθῆναι. Ea vox in desuetudinem abiit post Platonis tempora, et varie scribitur a Grammaticis. Poëtæ, et Homeri sequaces retinent scripturam veterem διὰ στομφασμὸν εὔφωνον, ut alicubi Eustathius. Homerica enim sunt, Ἐν δὲ γόνυ Γνάμψεν. γναμπτὸν νόημα, et γναμπτοῖς ἀγκίστροισιν, μέλεσσιν. Hesiod. Op. 205. γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσιν, hoc est κεκαμμένοις. Paullo infra apud Hesiod. v. 278. cum Alex. Clemente pro ἔσθειν—ἐπ' αὐτοῖς legerim, Ἐσθέμεν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶ μετ' αὐτῶν. Æschylus Pers. 577. Γναμπτόμενοι δ' ἀλλ δεινῷ, ubi male Interpres, et Scholiasta. Lycophron 1247. οὗ ποτ' Οἰκουρὸς δόρυ Γνάμψει Θέωνος. Callimachus Del. 311. γναμπτὸν ἔδος σκολιοῦ λαβυρίνθου. Plato Rep. X. p. 762. Francof. κνάπτοντες ἐπ' ἀσταλάθων, antiquam scripturam servavit Justinus Martyr, cujus unius auctoritate rescribendum, γνάπτοντες. Apollonius ad navigantes transtulit, II. 350. Ῥῆβαν ἀκυρόην τανυσάμην, ἀκτήν τε μέλαιναν Γνάμψαντες, uti et 946. 967. 1012. Idem III. 1248. Πείρησαν τευχέων βεβυσμένοι. οὐδ' ἐδύναντο Κεῖνο δόρυ γνάμψαι. et 1349. Γνάμψε δὲ γούνατ' ἐλαφρά. Apud Nicandrum Theriac. pag. 8. Aldin. Γναμπτόμενοι etiam pro ξεόμενοι. Oppianus Hal. III. 133. γένυν γναμπτοῖο σιδήρου. Ubi MSS. quomodo apud Homer. γναπτοῖο obtrudunt: id quod facit et alibi Scholiasta. Hal. V. 574. νόον γνάπτουσι σιδήρεον. Quo in loco, ut id obiter moneam, lege ex Cod. MS. Μήτηρ δὲ πρῶτα μὲν ἀτυζομένη δεδέγηται, non κεκύτηται: de hirundine sermo. Confer denique Hal. V. 164. et Hesych. in εὔγναμπτον. Wass. Γνάμπτω, γναμπτὸς, et ἐπιγνάμπτω de animo dici ostendit Stephan. in Thes. Add. Stanlei. ad Æschyl. Prom. 163. Hesych. · ἐπιγνάψασα (Soping. recte ἐπιγνάμψασα) ἐπικατακλάσασα, συμπείσασα. Æsch. Prom. 994. Γνάμψει γὰρ οὐδὲν τῶνδέ μ', ὥστε καὶ φράσαι. Schol. ἐπικλάσει, ut mox Thucyd. cap. 59. ἐπικλασθῆναι τῇ γνώμῃ. Κάμπτω et ἐπικάμπτω quidem haud dubie eamdem significationem habent. Sed γναμφθῆναι vix videtur a scriba potuisse proficisci. Dun.

" Θηβαίων ἐπείσθητε, τήν τε δωρεὰν ἀνταπαιτῆσαι αὐ-
" τοὺς μὴ κτείνειν οὓς μὴ ὑμῖν πρέπει, σώφρονά τε ἀντὶ
" αἰσχρᾶς κομίσασθαι χάριν, καὶ μὴ ἡδονὴν δόντας ἄλ-
" λοις κακίαν αὐτοὺς ἀντιλαβεῖν· βραχὺ γὰρ τὸ τὰ
" ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ τὴν δύσκλειαν
" αὐτοῦ ἀφανίσαι. οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως τιμω-
" ρήσεσθε, ἀλλ' εὖνους, κατ' ἀνάγκην πολεμήσαντας.
" ὥστε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες ὅσια ἂν δικά-
" ζοιτε, καὶ προνοοῦντες ὅτι ἑκόντας τε ἐλάβετε καὶ χεῖ-
" ρας προϊσχομένους (ὁ δὲ νόμος τοῖς Ἕλλησι μὴ κτείνειν
" τούτους), ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διὰ παν-
" τός. ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θή-
" κας, οὓς ἀποθανόντας ὑπὸ Μήδων καὶ ταφέντας ἐν τῇ
" ἡμετέρᾳ ἐτιμῶμεν κατὰ ἔτος ἕκαστον δημοσίᾳ ἐσθήμασί

τος. 1. Ἀνταπαιτῆσαι] ἀξιοῦμεν, ἀπὸ κοινοῦ. 3. Ἄλλοις] τοῖς Θηβαίοις. 4. Αὐτοὺς] ὑμᾶς τοὺς Λάκωνας. 7. Εὖνους] ὄντας δηλονότι. 8. Τῶν σωμάτων] ἀνωτέρω μὲν ὑπὲρ τῆς πόλεως ἠγωνίζετο, νῦν δὲ καὶ ὑπὲρ τῶν ἑαυτῶν σωμάτων. 9. Χεῖρας προϊσχομένους] ἱκετεύσαντας. 11. Τούτους]

2. Σώφρονα] Vid. Euripidem Androm. 778. Wass.

4. κακίας i.
αὐτοῖς N.

5. φθεῖραι c.f.

8. ὅστε] ὡς M.

10. Νόμος τοῖς Ἕλλησι] Vid. Feith. III. Antiquit. Homericar. 14. et infr. cap. 66. 67. Duk.

12. Ἀποβλέψατε] Vid. II. 71. et Themistium Orat. VI. p. 82. Wass.

14. κατὰ τὸ ἔτος Q.

Κατὰ ἔτος ἕκαστον] Hujus annui sacri totam rationem multis describit Plutarch. Aristid. p. 608. Alia huc pertinentia habent Luisin. II. Parerg. 14. et Cerd. ad Virgil. III. Æneïd. 301. et V. 46. Quid sint ὡραῖα, et ὡραῖοι καιροὶ, ostendunt Græv. ad Hesiod. ἔργ. v. 31. et Meibom. ad Diogen. Laërt. II. 32. Duk.

ἐσθήμασι] H. Stephanus adnotavit, etsi Scholiastæ Sophoclis ad Electr. v. 270. tradant ἔσθημα in oratione soluta inusitatum esse, tamen eo uti Pollucem. Utitur eo Pollux VII. 42. 50. 51. et 54. Antoninus Liberal. cap. 11. et Ammonius in παρέχειν. E quibus adparet hoc vocabulo non solos Poëtas usos fuisse. Sed quod Platæenses dicunt inter inferias, quæ annua religione mortuis dabantur, etiam vestes fuisse, non possum aliorum scriptorum testimoniis confirmare. Apud Sophoclem

" τε καὶ τοῖς ἄλλοις νομίμοις, ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδί-
" δου ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέροντες, εἶνοι μὲν ἐκ
" φιλίας χώρας, ξύμμαχοι δὲ ὁμαίχμοις ποτὲ γενομέ-
" νοις. ὧν ὑμεῖς τοὐναντίον ἂν δράσαιτε, μὴ ὀρθῶς γνόν-
" τες. σκέψασθε δέ· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐ-
" τοὺς, νομίζων ἐν γῇ τε φιλίᾳ τεθέναι καὶ παρ' ἀνδράσι
" τοιούτοις· ὑμεῖς δὲ εἰ κτενεῖτε ἡμᾶς καὶ χώραν τὴν
" Πλαταιίδα Θηβαΐδα ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ
" τε καὶ παρὰ τοῖς αἰθέναις πατέρας τοὺς ὑμετέρους
" καὶ ξυγγενεῖς, ἀτίμους γερῶν ὧν νῦν ἴσχουσι, κατα-
" λείψετε; πρὸς δὲ καὶ γῆν, ἐν ᾗ ἠλευθερώθησαν οἱ Ἕλ-
" ληνες, δουλώσετε, ἱερά τε θεῶν, οἷς εὐξάμενοι Μήδων
" ἐκράτησαν, ἐρημοῦτε, καὶ θυσίας τὰς πατρίους τῶν ἐσ-
" σαμένων καὶ κτισάντων ἀφαιρήσεσθε. * " οὐ πρὸς τῆς 59.

τοὺς αὐτομόλους. 9. Παρὰ τοῖς αἰθέναις] τοῖς φονεῦσιν. αἰθέναι κυρίως οἱ αὐτόχειρες καὶ οἱ πολέμιοι· οἱ δὲ νῦν αἰθέντας τοὺς κυρίους καὶ δεσπότας. αἰθέντας δὲ τοὺς Θηβαίους ὧδε φησί. 11. Πρὸς δὲ] πρὸς τοῖς εἰρημένοις. 13. Τῶν ἐσσαμένων] ἱδρυσαμένων. 14. Ἀφαιρήσεσθε] ζημιώσετε. Οὐ πρὸς

in Electr. v. 455. Electra Agamemnoni patri inter inferias jubet dari ζῶμα suum. Scholiastes ibi, ζῶμα, inquit, δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα. ὅπερ τούτῳ στέφει τὸν τάφον ἀντὶ μίτρας. δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τῆς ταινίας. Nec Plutarchus in Aristide, ubi multis qualia annua hæc sacra fuerint exsequitur, ullam vestium mentionem facit, ac tantum στεφανώματα, vinum, lac, et alia, quæ Græci ἐναγίσματα dicunt, memorat. Dux.

1. νόμοις I.
ὅσα γε g.
2. ἐπιφέρειν B.
3. σύμμαχοι B.E.K.e.h.
γεγενημένοις g.
4. δράσητε I.
ὀρθῶς μὴ e.
5. δὲ] τε e.
7. εἰ κτενεῖτε] ἐκτενεῖτε E.
8. θηβαΐδα om. pr. A.B. τὴν θηβαΐδα recens A.B. supra πλαταιίδα.
9. τε καὶ om. K.
αἰθέναις] αἰτεέναις Cyrillus Lex. MS.
Αἰθέναις] Consule Nunnesium ad Phrynich. et Valesium ad Harpocrationem. Dux.
10. ἔχουσι i.
11. καὶ om. g.
ἠλευθέρωσαν B.h.
12. ἐδουλώσατε d.i.
13. ἐσσαμένων] εἰσαμένων E. ἐσαμένων c. ἐσσαμένων I. ἱδρυσαμένων L.O.P.i.
14. ἀφαιρεθήσεσθε K.
πρὸ A.B.

" ὑμετέρας δόξης, ὦ Λακεδαιμόνιοι, τάδε, οὔτε ἐς τὰ
" κοινὰ τῶν Ἑλλήνων νόμιμα καὶ ἐς τοὺς προγόνους
" ἁμαρτάνειν, οὔτε ἡμᾶς τοὺς εὐεργέτας ἀλλοτρίας ἔνε-
" κα ἔχθρας, μὴ αὐτοὺς ἀδικηθέντας, διαφθεῖραι, φεί-
" σασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ οἴκτῳ σώφρονι
" λαβόντας, μὴ ὧν πεισόμεθα μόνον δεινότητα κατανο-
" οῦντας, ἀλλ' οἷοί τε ἂν ὄντες πάθοιμεν καὶ ὡς ἀστάθ-
" μητον τὸ τῆς ξυμφορᾶς, ᾧ τινί ποτ' ἂν καὶ ἀναξίῳ
" ξυμπέσοι. ἡμεῖς τε, ὡς πρέπον ἡμῖν καὶ ὡς ἡ χρεία
" προάγει, αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμίους καὶ
" κοινοὺς τῶν Ἑλλήνων ἐπιβοώμενοι, πεῖσαι τάδε, προ-
" φερόμενοι ὅρκους οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν, μὴ ἀμυ-
" μονεῖν, ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρώων τάφων, καὶ

τῆς ὑμετέρας δίξης] οὐχ ἅπτεται τῆς ὑμετέρας δίξης. ὅρα πάλιν πῶς κολακεύει. 1. Οὔτε ἐς τὰ κοινὰ] ἀπὸ τοῦ ἀδίξου καὶ ἀδήλου τῆς τύχης τὸ ἐπιχείρημα, ἐν ᾧ καὶ εἰσβολὴ αἰδοῦς καὶ ἐλέου. 7. Οἷοι] τουτέστιν εὐεργέται τῆς Ἑλλάδος καὶ ὑμῶν αὐτῶν, διὰ τὰ ἐν Ἰθώμῃ. 9. Ἡ χρεία] ἡ ἀνάγκη. 10. Τοὺς ὁμοβωμίους] τοὺς τιμωμένους ἐν τοῖς αὐτοῖς καὶ ὁμοίοις βωμοῖς. 13. Τῶν

5. *ταῖς γνώμαις* d.i.
οἴκτῳ σώφρονι A.B.E.F.H.I.M. b.g.h. vulgo *οἴκτων σώφρονα*.
6. *λαβόντες* K.c.h.
δεινότατα L.O.e.
κατανοοῦντες A.E.H.I.K.M.b.e. d.e.f.g.h.i.
8. *ἀναξίῳ* B.E.F.H.K.g. ceteri *ἀναξίως*.
9. *συμπέσοι* E.H.K.g.i. *συμπέσῃ* Q.
ὡς om. e.
πρέπον ἦν ἡμῖν c.f.
Ὡς—προάγει] T. Mag. in *πρέπει*, qui *ὑμῶν*, recte. aliter MSS. Wass.
10. *Ὁμοβωμίους*] Quibus communiter in eadem ara sacra fiunt: nam etiam pluribus diis una ara sacrabatur. Vid. Kuhn. ad Polluc. VI. 155. ubi quod adnotat de sex aris duodecim diis Olympiæ consecratis, est e Scholiaste Pindari Olymp. V. 10. qui binos deos, qui in eadem ara colebantur, *συμβώμους* vocat; quemadmodum et Strabo XI. 512. Persicos quosdam *δαίμονας*, quibus eadem ædes et ara sacra erat. Add. Spanhem. Epist. III. ad Morell. p. 183. Quod eosdem *ὁμοίχτας* vocatos dicit Kuhn. id est e Thucyd. IV. 97. ubi vid. Schol. Hesych. et Suidam. Dukr.
11. *προσφερόμενοι* A.B.E.F.H. I.L.N.O.P.d.g.h.i.
12. *ὄμοσαν καὶ μὴ* L.P.

" ἐπικαλούμεθα τοὺς κεκμηῶτας, μὴ γενέσθαι ὑπὸ Θη-
" βαίοις μηδὲ τοῖς ἐχθίστοις φίλτατοι ὄντες παραδοθῆ-
" ναι. ἡμέρας τε ἀναμιμνήσκομεν ἐκείνης, ἣ τὰ λαμπρό-
" τατα μετ' αὐτῶν πράξαντες νῦν ἐν τῇδε τὰ δεινότατα
" κινδυνεύομεν παθεῖν. ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλε-
" πώτατον τοῖς ὧδε ἔχουσι, λόγου τελευτᾶν, διότι καὶ
" τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ' αὐτοῦ, παυόμενοι λέγο-
" μεν ἤδη ὅτι οὐ Θηβαίοις παρέδομεν τὴν πόλιν (εἰλόμε-
" θα γὰρ ἂν πρό γε τούτου τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ,
" τελευτῆσαι,) ὑμῖν δὲ πιστεύσαντες προσήλθομεν. καὶ
" δίκαιον, εἰ μὴ πείθομεν, ἐς τὰ αὐτὰ καταστήσαντας,
" τὸν ξυντυχόντα κίνδυνον ἐᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι.
" ἐπισκήπτομέν τε ἅμα μὴ Πλαταιῆς ὄντες, οἱ προθυμό-
" τατοι περὶ τοὺς Ἕλληνας γενόμενοι, Θηβαίοις τοῖς ἡμῖν
" ἐχθίστοις ἐκ τῶν ὑμετέρων χειρῶν καὶ τῆς ὑμετέρας πί-
" στεως, ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι,

πατρῴων τάφων] ἕνεκα δηλονότι. 1. Τοὺς κεκμηκότας] τοὺς νεκρούς. καὶ Ὅμηρος ὑπένερθε καμόντας (Il. 3. 278.) 5. Ἀναγκαῖον] χρήσιμον. 6. Λόγου τελευτᾶν] ἤγουν κατὰ τὸ τέλος τοῦ λόγου εἰπεῖν. 9. Τῷ αἰσχίστῳ] ὀλέθρῳ· τῷ λιμῷ. Ὅμηρος· Λιμῷ δ' οἰκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν (Od. 12, 342.)

1. κεκμηκότας E.i.
Κεκμηῶτας] Κεκμηκότας Marg. bene opinor, illud fere Poëtarum; vel, ut Eustathius, Ionum est. mecum facit ad Pollucem, qui sic adduxerat, Jungermannus III. 106. Sed et Poëtæ sæpe hac forma. Theocrit. ἦ γὰρ ἀπ' ἄγρας Ταυίκα κεκμακὼς ἁμαθεύεται. Ἀττικώτερον Eustathio judice scribamus κεκμηκότας. Sic, inquit, ἀκμῆτες pro ἀκμῶτες, et ἔοικμεν, apud Sophoc. Aj. 1260. pro ἐοίκαμεν; sed de hac scriptura ampliandum. Wass.
3. ἀναμιμνησκόμενοι K.
4. μεθ' αὐτῶν A.B.E.H.I.g. μεθ' ἑαυτῶν K.M.N. cum Prisciano p. 1172.
5. δὲ om. B.h.
7. λέγομεν om. d.i.
9. Τῷ αἰσχίστῳ ὀλέθρῳ] Vid. quæ adnotarunt Casaub. ad Dion. Halic. VI. 86. et Cerd. ad Virg. IX. Æn. 340. Duk.
11. καταστήσαντες A.B.E.F. H.I.K.b.c.d.e.g.h.i.
12. καὶ ἡμᾶς i.
13. πλαταιεῖς ὄντας I.
οἱ om. A.B.E.F.H.N.g.h.
14. ὑμῖν A.
16. ἱκέτας ὄντας L.P.

" γενέσθαι δὲ σωτῆρας ἡμῶν, καὶ μὴ τοὺς ἄλλους Ἕλ-
" ληνας ἐλευθερώντας ἡμᾶς διολέσαι."

60. Qua ne Lacedæmonii moverentur, veriti Thebani, et ipsi fusius dicendi veniam postulant. Itaque

Τοιαῦτα μὲν οἱ Πλαταιῆς εἶπον. οἱ δὲ Θηβαῖοι δείσαντες πρὸς τὸν λόγον αὐτῶν μὴ οἱ Λακεδαιμόνιοί τι ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν, ἐπειδὴ καὶ ἐκείνοις παρὰ γνώμην τὴν αὐτῶν μακρότερος λόγος ἐδόθη τῆς πρὸς τὸ ἐρώτημα ἀποκρίσεως. ὡς δ' ἐκέλευσαν, ἔλεγον τοιάδε.

61—67. coram iisdem quinque viris, judicibus Platæensium Sparta missis, verba faciunt.

" ΤΟΥΣ μὲν λόγους οὐκ ἂν ἠτησάμεθα εἰπεῖν, εἰ καὶ
" αὐτοὶ βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο, καὶ μὴ ἐπὶ
" ἡμᾶς τραπόμενοι κατηγορίαν ἐποιήσαντο καὶ περὶ αὐ-
" τῶν ἓξω τῶν προκειμένων, καὶ ἅμα οὐδὲ ἠτιαμένων,
" πολλὴν τὴν ἀπολογίαν, καὶ ἔπαινον ὧν οὐδεὶς ἐμέμ-
" ψατο. νῦν δὲ πρὸς μὲν τὰ ἀντειπεῖν δεῖ, τῶν δὲ ἔλεγ-
" χον ποιήσασθαι, ἵνα μήτε ἡ ἡμετέρα αὐτοὺς κακίᾳ
" ὠφελῇ μήτε ἡ τούτων δόξα, τὸ δ' ἀληθὲς περὶ ἀμφο-
" τέρων ἀκούσαντες κρίνητε. ἡμεῖς δὲ αὐτοῖς διάφοροι
" ἐγενόμεθα πρῶτον, ὅτι ἡμῶν κτισάντων Πλάταιαν ὕσ-
" τερον τῆς ἄλλης Βοιωτίας, καὶ ἄλλα χωρία μετ' αὐ-

6. Ἐκείνοις] τοῖς Πλαταιεῦσι. Αὐτῶν] τῶν Θηβαίων. 7. Ὡς δ' ἐκέλευσαν] οἱ Λακεδαιμόνιοι. 9. Τοὺς μὲν λόγους] οὓς μέλλομεν ἐρεῖν δηλονότι. 10. Αὐτοὶ] οἱ Πλαταιεῖς. Ἐπὶ ἡμᾶς] καθ' ἡμῶν. 11. Αὐτῶν] ἑαυτῶν τῶν Πλαταιέων. 13. Ὧν] τῶν Μηδικῶν. 14. Πρὸς μὲν τὰ] πρός τινα. 15. Ἵνα μήτε ἡ ἡμετέρα] ταῦτα εἰρωνικῶς λέγει ὁ Θηβαῖος· οὐ γὰρ ἔχει τοιοῦτον φρόνημα, ὡς ἐκ τῶν ἑπομένων ἐστὶ δῆλον. ὡς καὶ Ὅμηρος ποιεῖ τὸν Ἕκτορα λέγειν τὰ πρὸς τὸν Ἀχιλλέα· Οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων (Il. 20, 434.) 16. Ὠφελῇ] πρὸς τὰ ἡμῶν κατηγορηθέντα. Μήτε ἡ τούτων δόξα] ἡ δικαίωσα παρ' αὐτοῖς κακία. 17. Αὐτοῖς] τοῖς Πλαταιεῦσιν. 18. Ὕστερον τῆς ἄλλης Βοιωτίας] μετὰ τὴν συνοίκησιν τῆς ἕλ-

1. δὲ A.B.E.H.K.N.Q.g. vulgo τε.
ἄλλους om. h.
5. προσελθόντες g.
6. τὴν om. b.
7. τῆς om. A.g.h.
12. ἠτιαμένων K.P.c.f.e. ἠτιωμένων Q. vulgo ἠτιασμένων.
13. τὴν om. d.
14. τῶν] τὴν A.B.K.L.
17. αὐτοῦ I.d.e.
18. πρῶτον B.E.F.H.M.N.b.g, ceteri τὸ πρῶτον.
19. αὐτὴν O.

" τῆς, ἀ ξυμμίκτους ἀνθρώπους ἐξελάσαντες ἔσχομεν,
" οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τὸ πρῶτον, ἡγεμονεύ-
" εσθαι ὑφ' ἡμῶν, ἔξω δὲ τῶν ἄλλων Βοιωτῶν παραβαί-
" νοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο, προσεχώ-
" ρησαν πρὸς Ἀθηναίους καὶ μετ' αὐτῶν πολλὰ ἡμᾶς
" ἔβλαπτον, ἀνθ' ὧν καὶ ἀντέπασχον. * ἐπειδὴ δὲ καὶ 62.
" ὁ βάρβαρος ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, φασὶ μόνοι Βοιω-
" τῶν οὐ μηδίσαι, καὶ τούτῳ μάλιστα αὐτοί τε ἀγάλ-
" λονται καὶ ἡμᾶς λοιδοροῦσιν. ἡμεῖς δὲ μηδίσαι μὲν
" αὐτοὺς οὐ φαμὲν, διότι οὐδ' Ἀθηναίους, τῇ μέντοι αὐ-
" τῇ ἰδέᾳ ὕστερον, ἰόντων Ἀθηναίων ἐπὶ τοὺς Ἕλληνας,
" μόνους αὖ Βοιωτῶν ἀττικίσαι. καίτοι σκέψασθε ἐν οἵῳ
" εἴδει ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν. ἡμῖν μὲν γὰρ ἡ
" πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον
" πολιτεύουσα οὔτε κατὰ δημοκρατίαν· ὅπερ δέ ἐστι
" νόμοις μὲν καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυ-
" τάτω δὲ τυράννου, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ
" πράγματα. καὶ οὗτοι ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι
" μᾶλλον σχήσειν, εἰ τὰ τοῦ Μήδου κρατήσειε, κατέ-
" χοντες ἰσχύϊ τὸ πλῆθος ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμ-

λης Βοιωτίας. 2. Οὗτοι] οἱ Πλαταιεῖς. 3. Ἔξω] ἀντὶ τοῦ ἄνευ. 4. Προσηναγκάζοντο] ἐμμένειν τοῖς πατρίοις ἔθεσι. 9. Ἡμᾶς λοιδοροῦσι] Μηδίσαντας δηλονότι. 10. Τῇ αὐτῇ ἰδέᾳ] τῇ αὐτῇ ὑποθέσει. 12. Ἀττικίσαι] τὰ τῶν Ἀττικῶν φρονῆσαι. ὥσπερ ἡμεῖς μόνοι ἐμηδίσαμεν, οὕτω καὶ οὗτοι μόνοι ἠττίκισαν. 14. Κατ' ὀλιγαρχίαν] τουτέστι κατὰ ἀριστοκρατίαν. 16. Τῷ σωφρονεστάτῳ] τουτέστι τοῖς σώφροσιν ἀνδράσιν. 17. Ὀλίγων ἀνδρῶν] Ἀτταγίνου καὶ τῶν ἄλλων τῶν Μηδισάντων (Herodot. 9, 15 et 85.) 20. Ἰσχύϊ] βίᾳ. Ἐπηγάγοντο αὐτόν] τὸν βάρβαρον.

1. ἔχομεν N.g.
2. Οὐκ ἠξίουν—ἡγεμονεύεσθαι ὑφ' ἡμῶν] Vid. ad lib. I. cap. 56. Duk.
τὰ πρότερον L.O.
5. πρὸς τοὺς ἀθηναίους Q.
6. καὶ om. L.P.i.
8. τε om. e.
11. ἰόντων ἀθηναίων A.B.E.H. K.L.O.P.e.f.g.h.i. ceteri ἀθηναίων ἰόντων.
12. αὖ] ἂν g.
13. μὲν om. f.g.
15. δέ om. g.
19. μήδου] δήμου O.P.

" πασα πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς τοῦτ' ἔπρα-
" ξεν, οὐδ' ἄξιον αὐτὴ ὀνειδίσαι ὧν μὴ μετὰ νόμων ἥμαρ-
" τεν. ἐπειδὴ γοῦν ὅ τε Μῆδος ἀπῆλθε καὶ τοὺς νόμους
" ἔλαβε, σκέψασθαι χρὴ, Ἀθηναίων ὕστερον ἐπιόντων
" τήν τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρω-
" μένων ὑφ' αὐτοῖς ποιεῖσθαι, καὶ κατὰ στάσιν ἤδη ἐχόν-
" των αὐτῆς τὰ πολλὰ, εἰ μαχόμενοι ἐν Κορωνείᾳ καὶ
" νικήσαντες αὐτοὺς ἠλευθερώσαμεν τὴν Βοιωτίαν, καὶ
" τοὺς ἄλλους νῦν προθύμως ξυνελευθεροῦμεν, ἵππους τε
" παρέχοντες καὶ παρασκευὴν ὅσην οὐκ ἄλλοι τῶν ξυμ-
" μάχων. καὶ τὰ μὲν ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολο-
63. " γούμεθα· * ὡς δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς
" Ἕλληνας καὶ ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασό-
" μεθα ἀποφαίνειν. ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ,
" ὡς φατὲ, Ἀθηναίων ξύμμαχοι καὶ πολῖται. οὐκοῦν
" χρῆν τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ἐπάγεσθαι αὐτοὺς, καὶ
" μὴ ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις, ὑπάρχον γε ὑμῖν,
" εἴ τι καὶ ἄκοντες προσήγεσθε ὑπ' Ἀθηναίων, τῆς τῶν
" Λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ τῷ Μήδῳ ξυμμαχίας

4. Ἔλαβεν] ἡ πόλις ἡμῶν. Σκέψασθαι χρὴ] τὸ ἑξῆς, σκέψασθαι χρὴ, εἰ μαχόμενοι ἠλευθερώσαμεν, καὶ νῦν προθύμως συνελευθεροῦμεν. 8. Αὐτοὺς] τοὺς Ἀθηναίους. 9. Τοὺς ἄλλους] Ἕλληνας δηλονότι. 12. Μᾶλλον] ἡμῶν δηλονότι. 13. Ἀξιώτεροι] ἄξιοι πᾶσαν ζημίαν παθεῖν. 16. Αὐτοὺς] τοὺς Ἀθηναίους. 17. Ἄλλοις] Ἕλλησι δηλονότι. 18. Εἴτι καὶ ἄκοντες] ὁ νοῦς τοιοῦτος· εἰ ἀκουσίως τοῖς Ἀθηναίοις συνεμαχεῖτε καὶ κατεδουλοῦτε τοὺς Ἕλληνας, ἔδει ὑμᾶς προσδραμεῖν τοῖς Λακεδαιμονίοις· καὶ ἐκεῖνοι, διὰ τὴν ἐπὶ τῷ Μήδῳ συμμαχίαν ὑμῶν καὶ προθυμίαν (ἣν ἀεὶ προβάλλεσθε καὶ καυχᾶσθε) οὐκ ἂν ὑμᾶς παρεχώρησαν ὑπὸ ἡμῶν τι παθεῖν. Προσήγεσθε] ἔδου-

4. ἐπιόντων] εἰσιόντων A.B.E.h.
6. ὑφ' αὐτῆς d.i.
7. αὐτοῖς P. om. Q.
Ἐν Κορωνείᾳ] Lib. I. cap. 113. Duk.
κορωνίαι E.
9. ἐξελευθεροῦμεν e.
12. ἠδικήσατε L.O.P.d.i.
16. χρὴ Q.
ἐπάγεσθαι O.
17. ὑπάρχον τε] ὑπάρχοντες E. ὑπάρχον γε i.
18. καὶ om. L.
19. ξυμμαχίας] ξυγγενείας L.O.P.

" γεγενημένης, ἣν αὐτοὶ μάλιστα προβάλλεσθε· ἱκανή
" γε ἦν ἡμᾶς τε ὑμῶν ἀποτρέπειν, καὶ τὸ μέγιστον, ἀδεῶς
" παρέχειν βουλεύεσθαι. ἀλλ' ἐκόντες καὶ οὐ βιαζόμενοι
" ἔτι εἵλεσθε μᾶλλον τὰ Ἀθηναίων. καὶ λέγετε ὡς αἰσ-
" χρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ δέ γε αἴσχιον
" καὶ ἀδικώτερον τοὺς πάντας Ἕλληνας καταπροδοῦναι,
" οἷς ξυνωμόσατε, ἢ Ἀθηναίους μόνους, τοὺς μὲν κα-
" ταδουλουμένους τὴν Ἑλλάδα, τοὺς δὲ ἐλευθεροῦντας.
" καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε, οὐδὲ αἰσ-
" χύνης ἀπηλλαγμένην. ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐ-
" τοὺς, ὡς φατὲ, ἐπηγάγεσθε, τοῖς δὲ ἀδικοῦσιν ἄλλους
" ξυνεργοὶ κατέστητε. καίτοι τὰς ὁμοίας χάριτας μὴ
" ἀντιδιδόναι αἰσχρὸν μᾶλλον ἢ τὰς μετὰ δικαιοσύνης
" μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας. * δῆ- 64.
" λόν τε ἐποιήσατε οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι
" οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι, ὑμεῖς δὲ τοῖς
" μὲν ταὐτὰ βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία. καὶ
" νῦν ἀξιοῦτε, ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοὶ, ἀπὸ

λοῦσθε. 5. Πολὺ δέ γε αἴσχιον] δευτέρα λύσις τοῦ ἀπρεποῦς. ἀντίστροφον κῶλον. 7. Τοὺς μὲν] τοὺς Ἀθηναίους. 8. Τοὺς δὲ] τοὺς ἄλλους Ἕλληνας. 9. Αὐτοῖς] τοῖς Ἀθηναίοις. 10. Ὑμεῖς μὲν γὰρ] οἱ Πλαταιεῖς. 11. Ἐπηγάγεσθε] ἐφειλκύσατε, εἰς τὸ βοηθῆσαι δηλονότι. 13. Αἰσχρὸν μᾶλλον] αἰσχρὸν μᾶλλον τὰς ὀφειληθείσας χάριτας μετὰ δικαιοσύνης, εἰς ἀδικίαν δὲ ἀποδιδομένας, ἢ τὰς ὁμοίας χάριτας ἀντιδιδόναι. λείπει ἡ οὐ, ὅ' ἦ οὕτω, καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι οὐκ αἰσχρὸν μᾶλλον ἢ τὰς μετὰ, καὶ ἑξῆς. 16. Ὑμεῖς δὲ] οἱ Πλαταιεῖς. 17. Τοῖς δὲ] τοῖς Ἕλλησιν. 18. Ἀφ' ὧν] πραγμάτων, οἷον προθυμίας καὶ ἀνδρείας. Δι'

1. προβάλλεσθε μάλιστα c.f.
2. γε] γὰρ K.
ἀποτρέπειν ὑμῶν c.
3. βούλεσθαι e.
4. τὰ] τε d.i. τ' e.
ἀθηναίων A.B.E.F.H.K.L.N. O.P.Q.d.e.f.g.h. vulgo τῶν ἀθηναίων.
5. γε om. e.
10. μὲν om. Q.
αὐτοὺς ἀδικούμενοι Q.
12. καθέστητε K.
13. ἀνταποδιδόναι οὐκ αἰσχρὸν d.
16. ἡμεῖς B.E.F.Q.g.h.
18. ἀφ'] καθ' d.

" τούτων ὠφελεῖσθαι. ἀλλ' οὐκ εἰκὸς, ὥσπερ δὲ Ἀθη-
" ναίους εἵλεσθε, τούτοις ξυναγωνίζεσθε. καὶ μὴ προφέ-
" ρετε τὴν τότε γενομένην ξυωμοσίαν, ὡς χρὴ ἀπ' αὐτῆς
" ὑμῖν σώζεσθαι. ἀπελίπετε γὰρ αὐτὴν, καὶ παραβάντες
" ξυγκατεδουλώσασθε μᾶλλον Αἰγινήτας καὶ ἄλλους τι-
" νὰς τῶν ξυνομοσάντων, ἢ διεκωλύετε, καὶ ταῦτα οὔτε
" ἄκοντες, ἔχοντές τε τοὺς νόμους οὕσπερ μέχρι τοῦ δεῦ-
" ρο, καὶ οὐδενὸς ὑμᾶς βιασαμένου ὥσπερ ἡμᾶς. τὴν τε-
" λευταίαν τε, πρὶν περιτειχίζεσθαι, πρόκλησιν ἐς ἡσυ-
" χίαν ὑμῶν, ὥστε μηδετέροις ἀμύνειν, οὐκ ἐδέχεσθε.
" τίνες ἂν ὑμῶν δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο,
" οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προὔθεσθε;
" καὶ ἃ μέν ποτε χρηστοὶ ἐγένεσθε, ὡς φατὲ, οὐ προσή-
" κοντα νῦν ἐπεδείξατε, ἃ δὲ ἡ φύσις ἀεὶ ἐβούλετο, ἔζη-
" λέγχθη ἐς τὸ ἀληθές· μετὰ γὰρ Ἀθηναίων ἄδικον ἑδον
" ἰόντων ἐχωρήσατε. τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε ἀκού-
" σιον μηδισμὸν καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμὸν

ἑτέρους] τοὺς Ἀθηναίους. 2. Εἵλεσθε] προτιμοτέρους ἐποιήσατε εἰς τὸ ξυμμαχεῖν αὐτοῖς. 7. Μέχρι τοῦ δεῦρο] ἔχετε δηλονότι. 8. Καὶ οὐδενὸς ὑμᾶς βιασαμένου] προεῖπε γὰρ ὅτι ὑπὸ φίλων αὐτοκρατόρων ἐτυραννούμεθα. Ὥσπερ ἡμᾶς] ἐβιάσατο δηλονότι. 10. Μηδετέροις] τοῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις. 11. Τίνες ἂν οὖν ὑμῶν] ἀντὶ τοῦ οὐδεὶς δηλονότι. Πᾶσι τοῖς Ἕλλησι] λείπει ἡ ὑπό. 12. Ἐπὶ τῷ ἐκείνων κακῷ] τουτέστι τῶν Ἑλλήνων τῇ δουλώσει. 13. Ποτε] ἐπὶ τῶν Μηδικῶν. Οὐ προσήκοντα] τῇ αὐτῶν φύσει δηλονότι. 14. Ἡ φύσις] ἡ ὑμετέρα. 16. Τὰ μὲν οὖν ἐς τὸν ἡμέ-

1. δὲ] οὐδὲ K.N.
ἀθηναίους h.
3. ξυνωμοτίαν d.
4. ἀπελίπετε A.B.L.O.Q.d.e.h. i. ceteri ἀπελείπετε.
5. ξυγκαταδουλοῦσθε K.d.
μᾶλλον om. L.O.P.
ἄλλους ἀθηναίους τινὰς K.
7. σχόντες g.
δὲ E.
11. ἂν ὑμῶν A.B.F.H.L.N.P. g.h. vulgo ἂν οὖν ὑμῶν.
δικαιότεροι N.e.
14. ἐδείξατε Q.
ἐβουλεύετο K.
15. Pro ἰέναι ὁδὸν eadem metaphora βαδίζειν ὁδὸν dicit Dionys. Halic. XI. 39. Ὁ δὲ Ἄσπις —ὁλεθριωτάτην ἔγνω βαδίζειν ὁδόν. DUK.
16. οὖν om. L.O.P.
τε om. d.
17. καὶ—ἀττικισμὸν] om. H.g.
ἑκούσιον] ἀκούσιον A.

" τοιαῦτα ἀποφαίνομεν. * ἃ δὲ τελευταῖά φατε ἀδικη- 65.
" θῆναι (παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ
" ἱερομηνίαις ἐπὶ τὴν ὑμετέραν πόλιν), οὐ νομίζομεν οὐδ'
" ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτεῖν. εἰ μὲν γὰρ ἡμεῖς
" αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα καὶ τὴν
" γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν· εἰ δὲ ἄνδρες
" ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει, βουλόμενοι τῆς
" μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν
" πάντων Βοιωτῶν πάτρια κατάστῆσαι, ἐπεκαλέσαντο
" ἑκόντες, τί ἀδικοῦμεν; οἱ γὰρ ἄγοντες παρανομοῦσι
" μᾶλλον τῶν ἑπομένων. ἀλλ' οὔτ' ἐκεῖνοι, ὡς ἡμεῖς κρί-
" νομεν, οὔθ' ἡμεῖς· πολῖται δὲ ὄντες ὥσπερ ὑμεῖς, καὶ
" πλείω παραβαλλόμενοι, τὸ ἑαυτῶν τεῖχος ἀνῳίξαντες
" καὶ ἐς τὴν αὐτῶν πόλιν φιλίως, οὐ πολεμίως, κομί-
" σαντες, ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι μᾶλλον

τερον] τὸ δεύτερον ἀντιληπτικὸν τῶν Πλαταιέων ἐντεῦθεν λύει. 3. Οὐ νομίζομεν] οὐ βεβαίως δοξάζομεν. 5. Πρός τε τὴν ὑμετέραν πόλιν] κατὰ τῆς ὑμετέρας πόλεως. 6. Εἰ δὲ] μεταστατικόν. Ἄνδρες ὑμῶν] οἱ περὶ Ναυκλείδην. 9. Ἐπεκαλέσαντο] προήγαγον, ἐφειλκύσαντο. 10. Οἱ γὰρ ἄγοντες] οἱ ἄξαντες. 11. Ἀλλ' οὔτ' ἐκεῖνοι] τὸ ἐξῆς, ἀλλ' οὔτε ἐκεῖνοι, οὔτε ἡμεῖς, ἀδικοῦμεν δηλονότι. τὸ δὲ ὡς ἡμεῖς κρίνομεν διὰ μέσου. 13. Πλείω] περισσοτέρως. Παραβαλλόμενοι] ῥιψοκινδυνοῦντες. 15. Μᾶλλον]

4. μᾶλλον ὑμῶν H.Q.g.

ἁμαρτεῖν A.B.E.F.H.I.L.O.P. d.e.g.h.i. ceteri ἁμαρτάνειν.

Εἰ μὲν γὰρ ἡμεῖς αὐτοί] Portus παραφράζων verterat, " Si e- " nim nos ipsi *nostra sponte*." Αὐτὸς, pro αὐτόματος, et μόνος, sæpe est apud Homerum, et alios Poëtas. Vid. Eustath. in Il. ρ'. p. 1105. Schol. Theocr. in XI. Idyll. 12. et Stephanum, aliosque ad Callim. Hymn. in Apoll. v. 6. et in Del. 212. Scholiast. parvus Hom. hoc Il. ρ'. 254. Ἀλλά τις αὐτὸς ἴτω, exponit, ὑπὸ ἰδίας γνώμης παραγενέσθω. Et Latinos eadem significatione dicere *ipse* adnotant Interpretes Callimachi, et Heins. Lection. Theocrit. cap. 17, Dux.

5. τὴν ὑμετέραν πόλιν I.L.O.P. d.e. τὴν ἡμετέραν πόλιν Q.i.

6. ἐδηοῦμεν] ἀδικοῦμεν A.B. et fortasse h.

8. ἐς δὲ] εἴτε K. ἐς B.h.

14. ἑαυτῶν h.

15. τε] μὲν Q.

" γενέσθαι τούς τε ἀμείνους τὰ ἄξια ἔχειν, σωφρονισταὶ
" ὄντες τῆς γνώμης, καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ
" ἀλλοτριοῦντες, ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες, ἐχ-
" θροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους.
66. " * τεκμήριον δὲ ὡς οὐ πολεμίως ἐπράσσομεν· οὔτε γὰρ
" ἠδικήσαμεν οὐδένα, προείπομέν τε τὸν βουλόμενον κατὰ
" τὰ πάντων Βοιωτῶν πάτρια πολιτεύειν ἰέναι πρὸς ἡμᾶς.
" καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες καὶ ξύμβασιν ποιησά-
" μενοι τὸ μὲν πρῶτον ἡσυχάζετε, ὕστερον δὲ κατανοή-
" σαντες ἡμᾶς ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμέν τι
" ἀνεπιεικέστερον πρᾶξαι οὐ μετὰ τοῦ πλήθους ὑμῶν εἰ-
" σελθόντες, τὰ μὲν ὁμοῖα οὐκ ἀνταπέδοτε ἡμῖν, μήτε
" νεωτερίσαι ἔργῳ, λόγοις τε πείσειν ὥστε ἐξελθεῖν, ἐπι-
" θέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οὓς μὲν ἐν χερσὶν ἀπε-
" κτείνατε, οὐχ ὁμοίως ἀλγοῦμεν (κατὰ νόμον γὰρ δή
" τινα ἔπασχον), οὓς δὲ χεῖρας προϊσχομένους καὶ ζω-
" γρήσαντες, ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν,
" παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; καὶ

ἀδίκους μᾶλλον γενέσθαι. 1. Σωφρονισταὶ ὄντες τῆς γνώμης] ὠφελοῦντες καὶ τὰς γνώμας καὶ τὰ σώματα, τὰς μὲν γνώμας, ἵνα μὴ κακῶς βουλεύωνται, τὰ δὲ σώματα, ἵνα μὴ διαπαίζωσιν ἀλλήλους μηδ' ἐξελαύνωσι μηδὲ κακῶς ποιῶσι πολῖται πολίτας. ἵνα λάβωμεν τὸ σωφρονεῖν ἀντὶ τῆς ὠφελείας. 2. Τὴν πόλιν] τὴν τῶν Βοιωτῶν. 4. Οὐδενὶ] τῶν Ἑλλήνων. 5. Τεκμήριον] τὸ ῥηθησόμενον. 9. Κατανοήσαντες] καταμαθόντες. 11. Ἀνεπιεικέστερον] ἀπανθρωπότερον. 16. Χεῖρας προϊσχομένους] ἥγουν ἱκέτας

1. τε] δὲ Q.

Σωφρονισταὶ] Forsan hac voce utitur Thucydides cum allusione ad magistratum, cujus Athenis munus erat juvenum mores corrigere, eosque, quoties deliquerint, officii monere. Vide Phavorinum et Etymol. magn. Auctorem. HUDS. Pulchra sunt, quæ de significatione vocabulorum σωφρονίζειν et σωφρονιστὴς ad Polluc. IX. 138. adnotavit Hemsterhusius. DUK.

7. τὰ om. M.Q.b.e.

πάντων A.B.E.H.L.O.P.c.d.f. g.h. ceteri τῶν πάντων.

10. τι] του g.

13. νεωτερίσαι A.B.E.H.I.K. M.b.c.e.f.g.h. vulgo νεωτερίσειν.

εἰσελθεῖν I.

15. γὰρ om. d.i.

" ταῦτα τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λυ-
" θεῖσαν ὁμολογίαν, καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον,
" καὶ τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτείνειν ψευσθεῖσαν ὑπό-
" θεσιν, ἣν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν, ὅμως
" φατὲ ἡμᾶς παρανομῆσαι καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντι-
" δοῦναι δίκην. οὐκ ἔγωγε οὗτοι τὰ ὀρθὰ γιγνώσκωσι·
" πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε. * καὶ ταῦτα, 67.
" ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα ἐπεξήλθομεν, καὶ ὑπὲρ
" ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε δικαίως αὐτῶν
" καταγνωσόμενοι, ἡμεῖς δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι,
" καὶ μὴ παλαιὰς ἀρετὰς, εἴ τις ἄρα καὶ ἐγένετο, ἀκού-
" οντες ἐπικλασθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπι-
" κούρους εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι δίπλασίας ζη-
" μίας, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι. μηδὲ ὀλο-
" φυρμῷ καὶ οἴκτῳ ὠφελείσθωσαν, πατέρων τε τάφους
" τῶν ὑμετέρων ἐπιβοώμενοι καὶ τὴν σφετέραν ἐρημίαν.
" καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν πολλῷ δεινότερα πα-
" θοῦσαν τὴν ὑπὸ τούτων ἡλικίαν ἡμῶν διεφθαρμένην, ὧν

γενομένους. 6. Οὗτοι τὰ ὀρθὰ] οἱ Λακεδαιμόνιοι. 9. Ἵνα ὑμεῖς μὲν] κεφάλαιον τὸ δίκαιον· ᾧ ἐπήγαγε τὴν ἐκβολὴν τῆς αἰδοῦς, ἧς ἡ ἀρχὴ " καὶ μὴ " παλαιὰς ἀρετάς." 10. Τετιμωρημένοι] κολάσαντες αὐτούς. 12. Ἐπικλασθῆτε] χαυνωθῆτε. Ἃς] τὰς ἀρετάς. 14. Οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι] ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται, οὐ προσήκοντος αὐτοῖς τοῦ ἁμαρ-

3. ὑπόθεσιν A.B.F.H.g. ceteri ὑπόσχεσιν.

6. Οὐκ, ἤν γε] Si Grammaticorum præcepta sequimur, potius scribendum est οὐκ cum Cass. Vid. Bud. Commentar. p. 938. Nec male distinctio major poneretur post οὐκ. Stephanus supplet, *Minime vero impunitatem consequemini.* Puto sufficere, *Non ita;* ut in Virgil. II. Æn. 583. ubi Germanus observat, Euripidem et Sophoclem hoc dicere, οὐ δῆτα. Duk.

9. καὶ ἡμῶν om. Q.
καὶ δικαίως K.e.
αὐτῶν] τούτων L.O.P.i.

10. καταγνωσόμενοι E.

11. εἴ τις—ἐγένετο A.B.E.F.H. I.K.L.M.N.O.P.b.c.e.f.g.h. vulgo εἴ τινες—ἐγένοντο.

12. ἐπικλασθῆναι e.

13. τι om. I.

14. ἐξ οὐ προσηκόντων L.O.P. ἐκ τῶν προσηκόντων c.

15. τε om K.

17. ἀποφαίνομεν K.

18. ὧν οἱ πατέρες e.

" πατέρες οἱ μὲν πρὸς ὑμᾶς τὴν Βοιωτίαν ἄγοντες ἀπέ-
" θανον ἐν Κορωνείᾳ, οἱ δὲ πρεσβῦται λελειμμένοι καὶ
" οἰκίαι ἔρημοι πολλῷ δικαιοτέραν ὑμῶν ἱκετείαν ποιεῦν-
" ται, τούσδε τιμωρήσασθαι. οἴκτου τε ἀξιώτεροι τυγ-
" χάνειν οἱ ἀπρεπές τι πάσχοντες τῶν ἀνθρώπων· οἱ δὲ
" δικαίως, ὥσπερ οἵδε, τὰ ἐναντία ἐπίχαρτοι εἶναι. καὶ
" τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσι· τοὺς γὰρ ἀμείνους
" ξυμμάχους ἐκόντες ἀπεώσαντο. παρηνόμησάν τε οὐ
" προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον ἢ δίκῃ κρίναν-
" τες, καὶ οὐκ ἀνταποδόντες νῦν τὴν ἴσην τιμωρίαν (ἔν-
" νομα γὰρ πείσονται), καὶ οὐχὶ ἐκ μάχης χεῖρας
" προϊσχόμενοι, ὥσπερ φασὶν, ἀλλ' ἀπὸ ξυμβάσεως ἐς
" δίκην σφᾶς αὐτοὺς παραδόντες. ἀμύνατε οὖν, ὦ Λα-
" κεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε
" παραβαθέντι, καὶ ἡμῖν ἄνομα παθοῦσιν ἀνταπόδοτε
" χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα, καὶ μὴ τοῖς
" τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν, ποιήσατε δὲ τοῖς
" Ἕλλησι παράδειγμα οὐ λόγων τοὺς ἀγῶνας προθήσον-

τάνειν διὰ τὴν ἐξ ἀρχῆς ἀνδραγαθίαν. 5. Οἱ δὲ δικαίως] ἐπανάληψις τοῦ ἀντεγκλήματος. 6. Ἐπίχαρτοι εἶναι] ὧν τῷ ὀλέθρῳ ὠφελεῖ πάντας ἀνθρώπους ἐπιχαρῆναι. 12. Ξυμβάσεως] φιλίας. 14. Τῷ τῶν Ἑλλήνων νόμῳ] τῷ κελεύοντι παρὰ τὰς σπονδὰς μηδένα ἀναιρεῖν. 15. Παραβαθέντι] ἀθετηθέντι. 17. Περιωσθῶμεν] ἀπωσθῶμεν ὑβρισμένοι. 18. Τοὺς ἀγῶνας] περιττεύει τὸ τοὺς ἄρθρον κατὰ Ἀττικὴν συνήθειαν· οὗτοι οὐ προθήσετε λόγων

1. ἄγοντες] ἔχοντες F.H.g.
2. κορωνίαι E.
πρεσβύτεροι O.
4. δὲ L.O.Q.
5. οἵδε] οὗτοι e.
6. Ἐπίχαρτοι] Inter Thucyd. Glossas recensuit Pollux III. 101. At Sophocles in Trachin. Plato Epist. 8. vid. Hesychium. Wass. Paullo aliter Æschyl. Prometh. 157. Ἐχθροῖς ἐπίχαρτα πέπονθα. Schol. εὐφρόσυνα. Ἐπίχαρμα, quod Pollux ibid. e Posidippo adfert, et improbat, est etiam apud Theocrit. II. 20. καὶ τὶν ἐπίχαρμα τέτυγμαι. Dux.
8. παρενόμησαν K.
9. δὲ πλέον] τε πλέω g.
δίκῃ κρίναντες] διακρίναντες d.i.
11. οὐχὶ] οὐκ L.O.P.i.
12. περ om. P.
18. τοὺς ἀγῶνας A.B.E.F.H.L. N.O.P.d.e.g. ceteri τούτους ἀγῶνας.

" τες ἀλλ' ἔργων, ὧν ἀγαθῶν μὲν ὄντων βραχεῖα ἡ
" ἀπαγγελία ἀρκεῖ, ἁμαρτανομένων δὲ λόγοι ἔπεσι
" κοσμηθέντες προκαλύμματα γίγνονται. ἀλλ' ἢν οἱ
" ἡγεμόνες, ὥσπερ νῦν ὑμεῖς, κεφαλαιώσαντες πρὸς τοὺς
" ξύμπαντας διαγνώμας ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδί-
" κοις ἔργοις λόγους καλοὺς ζητήσει."

Τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι δι- 68.
καστὰ νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἔζειν, εἴ τι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν, καὶ ὅτε ὕστερον, ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσὶν, ὁπότε μὴ φαῖεν,

Judices Lacedæmonii, in sententia perstantes, Platæenses damnant et interficiunt, numero ducentos, cum viginti quinque Athteniensibus. Urbem Thebani Megarensibus Platæensibusque exsulibus tradunt; posthac au-

ἀγῶνας, τοῖς Πλαταιεῦσι δηλονότι, ἀλλ' ἔργων. 2. Ἁμαρτανομένων δὲ] ἐσφαλμένων δὲ τῶν ἔργων. 11. Μετὰ τὸν Μῆδον] μετὰ τὸν πόλεμον τοῦ Μήδου. 12. Προῖσχοντο] προεβάλλοντο. 13. Κοινοὺς εἶναι] τουτέστιν Ἀθηναίων καὶ Λακεδαιμονίων, κατὰ τὸν Ἀρχιδάμου πρὸς αὐτοὺς ἐν τῇ δευτέρᾳ λόγον. Κατ' ἐκεῖνα] τὰ τοῦ Παυσανίου δηλονότι. 15. Τὸ αὐτὸ]

1. ὃν om. A.B.E.h.
2. ἀπαγγελία L.M.O.P.e.
3. προκάλυμμα e.
οἱ om. L.O.P.d.e.
5. διαγνώμας] διὰ γνώμης P. διαγνώμονας I.e.
7. δὲ A.B.E.F.H.K.N.e.f.g. vulgo μέν.
θηβαῖοι] ἀθηναῖοι B.
8. ὀρθῶς] καλῶς c.
9. ἀγαθὸν A.B.E.F.H.K.L.N. O.P.b.d.e.g.h.i. vulgo ἀγαθόν τι.
Διότι] In priore parte hujus παρεμβολῆς respicit haud dubie, quod etiam Scholiastes monet, ad illa Archidami II. 72. ἡσυχίαν ἄγετε, νομίμους τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων· δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ, μηδ' ἑτέρους. Dux.
11. καὶ μετὰ L.O.P.
τῶν μήδων I.e.
12. προείχοντο A.B.E.F.H.K. N.g. παρείχοντο d.e. ceteri προῖσχοντο.
αὐτοὺς Q.
14. κακῶν P.
15. τὸ αὐτὸ καὶ ἕνα g. τὸ αὐτὸ ἓν P.
παράγοντες H.I.L.O.P.g.i.

tem funditus eam evertant.

ἀπάγοντες ἀπέκτεινον, καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα. διέφθειραν δὲ Πλαταιῶν μὲν αὐτῶν οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠνδραπόδισαν. τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα Θηβαῖοι Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι, καὶ ὅσοι τὰ σφέτερα φρονοῦντες Πλαταιῶν περιῆσαν, ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων, ᾠκοδόμησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν παναχῇ, κύκλῳ οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν, καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν Πλαταιῶν ἐχρήσαντο, καὶ τοῖς ἄλλοις

ἐρώτημα δηλονότι. 1. Ἐξαίρετον] ἐκβεβλημένων τοῦ φόνου. 6. Τὰ σφέτερα] τὰ τῶν Θηβαίων. 8. Πρὸς τῷ Ἡραίῳ] πλησίον τοῦ ναοῦ τῆς Ἥρας.

8. ἐκ θεμελίων O.Q.

Πρὸς τῷ Ἡραίῳ] De conditu hujus templi vide Plutarchi Aristidem. Huds. Urbs, inquit Posidippus, qui ad Menandri tempora refertur, Ναοὶ δ' εἰσὶ, καὶ στοὰ, καὶ τοὔνομα, Καὶ τὸ βαλανεῖον, καὶ τὸ Σηράμβου κλέος. Τὸ πολὺ μὲν δικτή. Urbem totam anno tertio ante Leuctricam pugnam a Thebanis, præter templa, excisam, narrat Pausanias IX. 1. Urbem condidit Polybus post Deucalionis tempora, inquit Etymologus voc. βουπέρας. Wass. Versus Posidippi de Platæis sunt in Dicæarcho pag. 14. Edit. Oxon. Excidium Platæarum, de quo Pausan. l. d. posterius fuit eo, quod hic memorat Thucydides, atque ipse Pausanias. Nam quum urbs per annos circiter XL. in ruinis jacuisset, deinde per pacem Antalcidæ restituta Olymp. XCVIII. rursus anno tertio ante pugnam Leuctricam, quæ in annum 2. Olymp. CII. incidit, a Thebanis eversa, sed a Philippo post prœlium ad Chæroneam, id est, post annum tertium Olymp. CX. instaurata est. Ita Pausanias. Plutarchus Aristid. p. 597. ab Alexandro, postquam Asia potitus erat, restitutam tradit. Etiam ante bello Persico a Xerxe incendio deleta fuerat. Diodorus Sic. XI. p. 250. Dux.

9. ἡρῷῳ K.

κύκλῳ om. g.

10. Ὀροφαῖς] Pollux VII. 121. ὀρόφοις καὶ θυρώμασι, Θουκυδίδης. Sed MSS. et Edd. omnes hic ὀροφαῖς exhibent. Utrumque est apud Aristophanem. Vid. Schol. ad Nub. 173. Θυρώματα Scholiast. Demosth. in Midian p. 365. exponit σανίδας ἐπιτηδείας πρὸς θύρας. Gloss. θυρώματα, postes. Dux.

11. τοῖς πλαταιέων L.P.

καὶ ἄλλοις L.O.P.

ἀὲ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκατόμπεδον λίθινον ᾠκοδόμησαν αὐτῇ. τὴν δὲ γῆν δημοσιώσαντες ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι. σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποστεραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον ὠφελίμους εἶναι. καὶ τὰ μὲν κατὰ Πλάταιαν, ἔτει τρίτῳ καὶ ἐνενηκοστῷ ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο, οὕτως ἐτελεύτησεν.

69. Quadraginta Lacedæmoniorum naves, Lesbo reversæ et ab Atheniensibus fugatæ dis-

Αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων, αἱ Λεσβίοις βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοῦ πελάγους, ἔκ τε τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι καὶ πρὸς τῇ Κρήτῃ χειμασθεῖσαι, καὶ ἀπ' αὐτῆς σποράδες, πρὸς τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν τῇ

4. Ἀπεμίσθωσαν] ἐπὶ μισθῷ ἐδέδωκαν. 6. Ἀποστεραμμένοι ἐγένοντο] διὰ τὴν φιλίαν ἐκείνων ἀπέστησαν. 9. Ἐπειδὴ] ἀφ' οὗ. 14. Χειμασθεῖσαι] τὸν χειμῶνα διαβιβάσασαι. Καὶ ἀπ' αὐτῆς] περιττὸς ὁ καὶ.

1. Ἅ—σίδηρος] Thom. Magister in ἔπιπλα. Wass. Docet ibi Thomas, quæ sint ἔπιπλα, de quo plura legi possunt in Lexicographis veteribus, Eustath. ad Homer. Od. γ'. p. 1469. et Interpretib. Pollucis X. 10. Ἑκατόμπεδος νεὼς in arce Athenarum, de quo agunt Scriptores ab Hudsono in Var. Lect. laudati, nihil commune habet cum eo, quem hic memorat Thucydides, nec quisquam dicit, hunc Παρθενῶνα vocatum fuisse. Duk.

ἦν] ἦσαν f.

2. ἑκατόμπεδον K. ἑκατὸν ποδῶν f.

4. ἐνέμοντο οἱ θηβαῖοι K.

5. δ' ἔτι K.

10. οὕτως om. d.

ἐτελεύτησεν A.B.E.F.H.K.b.c. d.e.f.g. vulgo ἐτελεύτησαν.

13. ἀθηναίων A.B.E.F.H.K.L. N.O.b.c.f.g.h.i. ceteri ἀθηνῶν.

διωχθεῖσαι K.

14. Καὶ ἀπ' αὐτῆς σποράδες] Scholiastes putat, καὶ hic abundare. Apertum est, orationem non cohærere. Si retinetur κατηνέχθησαν, copula hinc tollenda, et ante καταλαμβάνουσι ponenda est. Si κατενεχθεῖσαι scribas, utroque loco abesse potest καί; quamquam non omnino necessarium est, eam priore loco deleri. Et sic voluit, qui Cod. Cass. tractavit. Duk.

15. κατηνέχθησαν καὶ καταλαμβάνουσιν H.

persæque tempestatibus, Cyllenen appellunt, ibique Leucadiorum aliorumque navibus auctæ, ad expeditionem in Corcyram parantur.

Κυλλήνῃ τρεισκαίδεκα τριήρεις Λευκαδίων καὶ Ἀμπρακιωτῶν, καὶ Βρασίδαν τὸν Τέλλιδος ξύμβουλον Ἀλκίδᾳ ἐπεληλυθότα. ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες ἐς τὴν Κέρκυραν πλεῦσαι στασιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις παρόντων Ἀθηναίων περὶ Ναύπακτον, πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικὸν, ὅπως προφθάσωσι· καὶ παρεσκευάζοντο ὅ τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα. * οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κορινθίων ἀφεθέντες, τῷ μὲν λόγῳ ὀκτακοσίων ταλάντων τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ πεπεισμένοι Κορινθίοις Κέρκυραν προσποιῆσαι. καὶ ἔπρασσον οὗτοι, ἕκαστον τῶν πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν. καὶ ἀφικομένης Ἀττικῆς τε νεὼς καὶ Κορινθίας πρέσβεις ἀγουσῶν, καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι κατὰ τὰ ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι ὥσπερ καὶ πρότερον. καὶ ἦν γὰρ Πειθίας

70. Seditio enim Corcyræ orta erat, cujus causa demonstratur. Nam Pithias quidam, Atheniensium proxenus, reus absolvitur. Is cum quinque alios ex parte adversariorum accusasset et grandi pecunia damnasset, illi

8. Καὶ παρεσκευάζοντο] πρὸς τὸ ἐπιπλεῦσαι κατὰ τῶν Κερκυραίων στασιαζόντων. 11. Ναυμαχιῶν] οὐχ ὅτι γέγονεν ἐν Ἐπιδάμνῳ ναυμαχία, ἀλλὰ διὰ τὴν αἰτίαν τῆς Ἐπιδάμνου ἐν τοῖς Συβότοις, ὅτε ἐζώγρησαν Κορίνθιοι οὐκ ἐλάσσους χιλίων Κερκυραίων. 12. Τοῖς προξένοις διηγγυημένοι] διεγγύᾳ τῶν προξένων. 14. Μετιόντες] ὑποποιούμενοι. 18. Τὰ ξυγκείμενα] τὰ συμπε-

1. Κυλλήνῃ] Ita MSS. et Noster I. 30. et infra c. 76. Theophrast. H. Plant. IV. 1. Artemidor. I. c. 47. Wass.

τρεισκαίδεκα Q. om. E.H.g. ceteri τρισκαίδεκα.

2. ἀλκείδᾳ K. ut infra b.c. ἀλκείδας.

7. ἀθηναίων K.d.i.

8. ὅ τε ἀλκίδας καὶ ὁ βρασίδας e.

9. Ἐστασίαζον] Vid. Diodorum p. 315. d. Wass.

10. ἐπιδάμνου b.

11. ἀφέντες H.

12. ὀκτακοσίοις ταλάντοις i. διηγγυωμένοι E.

13. κερκυραίοις κόρινθον Thom. M. v. βούλομαι.

14. μετιόντες] ἐπιόντες g.

16. τε om. c.

19. ἦν om P.

πυθίας Q.e.

ἐθελοπρόξενός τε τῶν Ἀθηναίων καὶ τοῦ δήμου προειστήκει, ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες ἐς δίκην, λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν. ὁ δὲ ἀποφυγὼν ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς τεμένους καὶ τοῦ Ἀλκίνου· ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο

in desperatione salutis Pithiam cum sexaginta aliis trucidant. Ex Pithiæ parte pauci admodum in navem Atticam confugiunt.

φωνημένα. 1. Ἐθελοπρόξενος] ἀφ' ἑαυτοῦ γενόμενος, καὶ μὴ κελευσθεὶς ἐκ τῆς πόλεως. οἱ γὰρ πρόξενοι κελευόμενοι ἐκ τῆς ἑαυτῶν πόλεως ἐγίνοντο. 2. Οὗτοι οἱ ἄνδρες] οἱ ἀπὸ Κορίνθου ἐπανελθόντες, οἱ προδόται.

1. Ἐθελοπρόξενος] Explicat Pollux III. 59, 60. breviter Hesych. ἑκὼν πρόξενος. Sic ἐθελόκακος Dionys. Halic. ἐθελόπονος Xenoph. Wass.

3. Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν] Hinc refellas licet Solœcisten Luciani in fin. inter καταδουλοῦσθαι et καταδουλοῦν hoc discrimen statuentem: τὸ καταδουλοῦσθαι μὲν ἑτέρῳ, τὸ καταδουλοῦν δ' ἑαυτῷ γίγνεται. Et vanam esse observationem, ostenderunt Schol. Luciani e loco Isocratis, qui est in Evagor. p. 192. Ed. Steph. et Græv. e Thucyd. VIII. 46. Duk.

5. Ἐκ τοῦ τε Διὸς] Nota est hæc apud veteres religio lucorum, quam violatam dicebat Pithias. Vid. Ovid. VIII. Metam. 741. seqq. et IV. Fast. 753. ibique Neapol. Hinc sæpe in *Ovidio*, *incæduus lucus*, et *incædua silva*. Athenienses pœnam capitis statuerant in eos, qui vel minimam ilicem e luco Heroum excidissent. Ælian. V. Var. Hist. 17. Duk.

τεμένους] τοῦ τεμένους A.E.F.K. L.N.O.P.d.e.f.g.h.

καὶ ἀλκίνου H.L.O.g.

6. Καθ' ἑκάστην χάρακα] Vide quos laudat Jungermann. ad Polluc. I. 162. et Thom. Magistrum. Duk.

Ἀλκίνουν] Etsi hoc nomen frequentius sine contractione scribitur, tamen non desunt exempla in contrarium. Ἀλκίνους, Ἀλκίνουν, de hoc Alcinoo Conon Narrat. 3. apud Photium. Ἀλκίνου Ælian. XII. Var. Hist. 25. Ἀλκίνῳ Athen. I. 8. et Ἀλκίνους I. 11. Sic alius Ἀλκίνους apud Apollodor. III. 10. et Pausan. VI. 1. Itaque non adparet causa, cur Viri Docti id hoc loco, contra omnes libros scriptos et edd. mutare voluerint. Scholiast. Theocriti in IV. Idyll. 32. Ἄλκιμος, καὶ Κρότων Αἰακοῦ υἱοί, καὶ ὁ μὲν ἐβασίλευσε τῶν Κερκυραίων, ὁ δὲ ἐν Σικελίᾳ ἔκτισε Κρότωνα. Lego, Ἀλκίνοος, vel Ἀλκίνους, καὶ Κρότων, Φαίακος υἱοί. Nam non Æacus, sed, ut auctor est Conon l. d. Phæax pater Alcinoo fuit, a quo Corcyra, regnum Alcinoi, Phæacia, et incolæ Phæaces. Quod Schol. Theocr. Crotonem in Sicilia locat, id Berkelius ad Stephan. in Κρότων, Cluverium sequutus, de Magna Græcia Italiæ accipit. Sed ita non succurritur Stephano, qui sic ex una urbe duas faciet. Ceterum qui Scholiastæ Theocriti Κρότων est, eum Conon Locrum vocat, et Locros, urbem Italiæ, ab eo no-

στατήρ. ὀφλόντων δὲ αὐτῶν, καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων διὰ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὢν) πείθει ὥστε τῷ νόμῳ χρήσασθαι. οἱ δ' ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο, καὶ ἅμα ἐπυνθάνοντο τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστὶ, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσαντό τε, καὶ λαβόντες ἐγχειρίδια, ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες, τόν τε Πειθίαν κτείνουσι καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν ἐς ἑξήκοντα. οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον, ἔτι παροῦσαν. * δράσαντες δὲ τοῦτο, καὶ ξυγκαλέσαντες Κερκυραίους, εἶπον ὅτι ταῦτα καὶ βέλτιστα εἴη καὶ ἥκιστ' ἂν δουλωθεῖεν ὑπ' Ἀθηναίων, τό τε λοιπὸν μηδετέρους δέχεσθαι ἀλλ' ἢ μιᾷ νηὶ ἡσυχάζοντας, τὸ δὲ πλέον πολέμιον ἡγεῖσθαι. ὡς δὲ εἶπον, καὶ ἐπιχυ-

71. Quibus factis Corcyrei statuunt, neutram partem, nec Peloponnesios, neque Atheniensis admittere accepisse dicit. Sed cum Scholiasta faciunt Ovidius XV. Metam. princ. et Iamblich. de Vit. Pythag. cap. IX. In Conone quoque pro Λατῶος, a quo Locrum hospitio exceptum tradit, e Schol. Theocriti legendum puto Λακῶνος, et e Servio ad Virg. III. Æn. 552. Add. Holsten. ad Steph. in Λακίνιον. Duk.

3. Βουλῆς] βουλῆς ὁ βουλευτὴς· ἡ γενικὴ βουλῆντος. 4. Πείθει] τοὺς Κερκυραίους. Οἱ δὲ] οἱ πέντε ἄνδρες. 5. Ἐξείργοντο] ἐξέκειντον τῆς βουλήσεως αὐτῶν. 12. Δράσαντες δὲ] οἱ πέντε ἄνδρες. 16. Τὸ δὲ πλέον] πλῆθος δηλονότι.

1. ὀφειλόντων A.E.h. δὲ καὶ αὐτῶν K.

2. διὰ πλῆθος A.B.E.F.H.K.L. N.O.P.Q.c.d.e.f.g.i. ceteri διὰ τὸ πλῆθος.

τῆς] τε h. om. g.

Ὅπως ταξάμενοι ἀποδῶσιν] Pœnsionibus, hoc est, τεταγμέναις ταῖς καταβολαῖς, Budæus in Commentar. pag. 639. ubi Thucydidem eadem ratione hoc verbo uti ostendit III. 50. οἷς ἀργύριον Δέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν. Sic I. 99. οἱ πλείους αὐτῶν χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἐκνεύμενον ἀναλίσκημα φέρειν. Ibid. cap. 101. χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι, καὶ τὸ λοιπὸν φέρειν. Et cap. 117. Καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Pollux I. 169. χρήματα ταξάμενα. Duk.

9. καὶ τοὺς ἄλλους K.

10. ἐς] ὡς L. om. K.

φ] εἰ g.

15. ὁδετέρους d.i.

16. ὡς εἶδον e.

ρῶσαι ἠνάγκασαν τὴν γνώμην. πέμπουσι δὲ καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις, περί τε τῶν πεπραγμένων διδάξοντας, ὡς ξυνέφερε, καὶ τοὺς ἐκεῖ καταπεφευγότας πείσοντας μηδὲν ἀνεπιτήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφὴ γένηται. * ἐλθόντων δὲ οἱ Ἀθηναῖοι τούς τε πρέσβεις ὡς νεωτερίζοντας ξυλλαβόντες, καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν. ἐν δὲ τούτῳ τῶν Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα, ἐλθούσης τριήρους Κορινθίας καὶ Λακεδαιμονίων πρέσβεων, ἐπιτίθενται τῷ δήμῳ· καὶ μαχόμενοι ἐνίκησαν. ἀφικομένης δὲ νυκτὸς ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει, καὶ αὐτοῦ ξυλλεγεὶς ἱδρύθη, καὶ τὸν Ἑλλαϊκὸν λιμένα εἶχον· οἱ δὲ τήν τε ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν καὶ τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον. * τῇ δ' ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα, καὶ ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι, τοὺς δούλους παρακαλοῦντές τε καὶ ἐλευθερίαν ὑπισχνούμενοι·

tere, plus una nave appellentes. Legati his de rebus Athenas missi,

72. tamquam novatores ab Atheniensibus in vinculacon jecti et Æginam delati. Corcyræ autem, adventu Corinthiacæ cujusdam navis, iterum nobilium seditio coorta est, ita ut nobiles cum Spartanis legatis forum et unum portum, alterum cum castello plebs teneret.

73. Servi, ab utrisque tentati, plebi accedunt;

3. Ὡς ξυνέφερε] αὐτοῖς δηλονότι. Πείσοντας] οὐχὶ τοὺς Ἀθηναίους, ἀλλὰ τοὺς τῷ Πειθίᾳ τῆς αὐτῆς γνώμης, οὓς προεῖπε. 4. Ἀνεπιτήδειον] τῇ Κερκύρᾳ. 7. Ἐν δὲ τούτῳ] τῷ καιρῷ δηλονότι. Οἱ ἔχοντες τὰ πράγματα] οἱ δυνατοὶ, οἱ πλούσιοι. 12. Ἱδρύθη] ἐκαθέσθη ἐν ἀσφαλείᾳ. 13. Εἶχον] εἰς ἀσφάλειαν ἑαυτῶν δηλονότι. Οἱ δὲ] οἱ δυνατοὶ, καὶ ἔχοντες τὰ πράγματα.

1. δὲ om. c.
2. διδάξαντες P.
3. πείσοντας om. P.Q.
4. πράττειν L.O.P.d.e.i.
5. τούτους τοὺς πρέσβεις L.O.P.
6. ὅσους] οὓς L.O.
7. τῶν κερκυραίων A.B.E.F.H. L.O.P.Q.g. ceteri τῶν τε κερκυραίων.
8. τριήρους] νηὸς L.O.P.Q.
10. δὲ τῆς νυκτὸς K.
11. τὰ om. g.
καταφεύγει καὶ αὐτοῦ] om. K.
12. ἱδρύθη A.B.F.H.K.L.N.O. P.c.g. cum Thom. Mag. ἱδρύσθη b. vulgo ἱδρύθη.
ἑλλαϊκὸν Q.
τὸν λιμένα πρὸς d.
Ἑλλαϊκόν] Etiam Scholiast. Apollon. IV. Argon. 1149. Ἑλλικὸς λιμὴν παρὰ Φαίαξι. Ἑλλαϊκὸν ex Nostro citat Dion. Halic. p. 150. Wass. Vid. infr. cap. 81. et Palmer. Græc. Ant. II. 10. Duk.
14. αὐτῇ A.B.E.F.H.K.L.N. O.P.Q.g. ceteri αὐτὴν.
15. τε om. O.P.
ὀλίγον L.
17. παρακαλοῦντές τε τοὺς δού-

nobilibus octingenti ex continente.

καὶ τῷ μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμμαχον, τοῖς δ' ἐτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.

74. Pestridie pugna commissa ad vesperam, in qua plebs vicit, quæ clades magnæ vicissitudinis causa fuit.

* διαλιπούσης δ' ἡμέρας μάχη αὖθις γίγνεται, καὶ νικᾷ ὁ δῆμος, χωρίων τε ἰσχύϊ καὶ πλήθει προέχων· αἵ τε γυναῖκες αὐτοῖς ταλμηρῶς ξυνεπελάβοντο, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον. γενομένης δὲ τῆς τροπῆς περὶ δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς καὶ τὰς ξυνοικίας, ὅπως μὴ ἧ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας· ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη, καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄπεμος

2. Τοῖς δ' ἑτέροις] τοῖς πλουσίοις. 3. Διαλιπούσης δ' ἡμέρας] παρελθούσης ἡμέρας μιᾶς. 4. Πλήθει] λαοῦ δηλονότι. 5. Ξυνεπελάβοντο] ἐβοήθησαν, συνεφήψαντο. 6. Τῷ κεράμῳ] ἤγουν ταῖς κεραμίσι. Παρὰ φύσιν ὑπομένουσαι] ἤγουν τολμῶσαι παρὰ φύσιν. 7. Περὶ δείλην ὀψίαν] ἤγουν τοῦ ἡλίου περὶ δυσμὰς ὄντος. 8. Αὐτοβοεί] ἤγουν ἀπὸ μιᾶς βοῆς. 9. Ἐπελθὼν] ἐπιθετικῶς κινηθείς. Καὶ σφᾶς] τοὺς ὀλίγους. 11. Ἔφοδος] ἐπέλευσις τῶν δημοτῶν κατὰ τῶν ὀλίγων. Φειδόμενοι οὔτε] οὐκ ἀπεχόμενοι. 12. Χρήματα] πράγματα. 13. Ἐκινδύνευσε] ἐν χρῷ τοῦ κινδύνου ἐγένετο.

λους L.O. παρακαλοῦντες τοὺς δούλους P.

1. μὲν om. Q.
οἰκητῶν A.g.
3. διαλειπούσης g.
αὖθις μάχη g.
ἐγίγνετο Q.
4. ἰσχὺν d.i.
5. ξυνελάβοντο c.
7. τῆς om. b.
9. διέφθειρεν.

10. Ξυνοικίας] Οἰκίαν et συνοικίαν conjungit etiam Harpocration in Ναύκληρος: Ναύκληρος οὐ μόνον—ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας, ἢ συνοικίας. Ammonius ita distinguit: Οἰκία, ἡ ὑπὸ ἑνὸς, ἢ ὑπὸ ἑτέρου κατοικουμένη· συνοικία δὲ ἡ πολλοῖς, καὶ μισθουμένη. Itaque συνοικίαι pluribus per partes locabantur, ut Romæ insulæ. Unde Gloss. συνοικία, *insula*, et ἐνοικολόγος, *insularius*; qui Harpocrationi ναύκληρος. Add. Jungermann. ad Polluc. IX. 39. et Causaub. ad Athen. VII. 1. Duk.

11. οἰκίας Q.

13. Καὶ ἡ π. — διαφθαρῆναι] Thom. Magist. in βούλομαι. Mox Cod. Ar. pro ἐπεγένετο male ἐγένετο. Supra II. 77. ἐπεῦρά τε εἰ ἐπεγένετο αὐτῇ (nempe φλογὶ, ut bene Schol.) ἐκίφορον, οὐκ ἂν διέφυγον. Ὡς ἑκάστοις sic dicit, ut sæpe ὡς ἕκαστοι. Duk.

ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. καὶ οἱ μὲν παυσάμενοι τῆς μάχης ὡς ἑκάτεροι, ἡσυχάσαντες, τὴν νύκτα ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία νεὼς τοῦ δήμου κεκρατηκότος ὑπεξανήγετο, καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν. * τῇ δ' ἐπιγιγνομένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διιτρέφους, Ἀθηναίων στρατηγὸς, παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσὶ καὶ Μεσσηνίων πεντακοσίοις ἐπλίταις· ξύμβασίν τε ἔπρασσε, καὶ πείθει ὥστε ξυγχωρῆσαι ἀλλήλοις, δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι, οἳ οὐκέτι ἔμειναν, τοὺς δ' ἄλλους οἰκεῖν σπονδὰς πρὸς ἀλλήλους ποιησαμένους καὶ πρὸς Ἀθηναίους, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. καὶ ὁ μὲν ταῦτα πράξας ἔμελλεν ἀποπλεύσεσθαι· οἱ δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτὸν πέντε μὲν ναῦς τῶν αὐτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι ἂν κινήσει ὦσιν οἱ ἐναντίοι, ἴσας δὲ αὐτοὶ πληρώσαντες ἐκ σφῶν αὐτῶν ξυμπέμψειν. καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. δείσαντες δὲ ἐκεῖνοι μὴ ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι, καθίζουσιν ἐς τὸ τῶν Διοσκούρων ἱερόν. Νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρεμυθεῖτο. ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος ὁπλισθεὶς ἐπὶ

75. Nam postridie ejus diei, quo erat pugnatum, Nicostratus cum duodecim navibus Atticis advenit, pactionemque inter duas factiones et cum Atheniensibus conciliavit. Optimates tamen fidem non habebant adversariis, necdum [illegible] omnia pacata erant, cum

13. Ἀποπλεύσεσθαι] ἀναχωρήσειν τῆς Κερκύρας. 15. Τῶν αὐτοῦ] ἀπὸ τῶν νεῶν. Ἧσσόν τι] ἀντὶ τοῦ οὐδ' ὅλως ἢ ἔλαττον. 18. Κατέλεγον] καταλέγοντες ἐνέβαλον. 19. Καθίζουσιν] ἱκέται δηλονότι. 21. Οὐκ ἔπειθεν] ἀνίστα-

1. ἐγένετο L.d.
ἐς] ἐπ' I.L.O.P.e.
2. ἡσυχάσαντες c.
6. διιτρεφοῦς Q.d. διιτρεφεις E. διιτρεφοῦς etiam infra 4, 119 Q. et 4, 129 d. Et 8, 64 omnes aut διιτρέφη habent (A.B.g.) aut διιτρεφῆ (L.O.P.g.) aut διιτρεφῆν (F.H.Q.)
12. πρὸς] παρ' d.
13. ἀποπλεύσεσθαι d.i.
14. δήμου] μᾶζου g.
16. αὐτοῦ om. c.f.
17. ξυμπέμπειν I.L.O.P.
18. τοὺς] κατ' O.P.
δὲ ἐκεῖνοι om. d.
20. διοσκόρων A. διοσκουρίων i. Conf. Lobeck. ad Phrynich. p. 235.
δὲ] τε H.

τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ, τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν ἔλαβε, καὶ αὐτῶν τινὰς, οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. ὁρῶντες δ' οἱ ἄλλοι τὰ γιγνόμενα καθίζουσιν ἐς τὸ Ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. ὁ δὲ δῆμος δείσας μή τι νεωτερίσωσιν, ἀνίστησί τε αὐτοὺς πείσας, καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ Ἡραίου νῆσον, καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

76. Peloponnesiorum naves quinquaginta tres sub Alcida appropinquarent.

Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδὴν, αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες, μετὰ τὸν ἐκ τῆς Ἰωνίας πλοῦν ἔφορμοι οὖσαι, παραγίγνονται τρεῖς καὶ πεντήκοντα· ἦρχε δὲ αὐτῶν Ἀλκίδας, ὥσπερ καὶ πρότερον, καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. ὁρμισάμενοι δὲ ἐς Σύβοτα, λιμένα τῆς ἠπείρου, ἅμα ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ. * οἱ δὲ πολλῷ θορύβῳ, καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν, παρεσκευάζοντό τε ἅμα ἐξήκοντα ναῦς, καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἔασαι πρῶτον ἐκπλεῦσαι καὶ ὕστερον πάσαις

77. Corcyræi quidem ad certamen se parabant; sed etiam in classe eorum, cum hosti ex ad-

σθαι. 1. Ὑγιὲς] ὀρθὸν, ἀληθές. 7. Διακομίζει] διαπερᾷ. 9. Ἐκεῖσε] εἰς τὴν νῆσον. 10. Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης] οὕτω καταλλαγῆς γενομένης. Ἐν τούτῳ] τῷ πράγματι, τῷ δεινῷ. 11. Διακομιδὴν] διαπεραίωσιν. 12. Πελοποννησίων νῆες] αἱ τεσσαράκοντα, ὧν Ἀλκίδας ἐστρατήγει, καὶ αἱ λοιπαὶ Λευκαδίαι, ἃς εἴρηκεν. 16. Ἐς Σύβοτα λιμένα] τὸν ἔρημον, οὗ μέμνηται ἐν τῇ πρώτῃ. Ἐπέπλεον τῇ Κερκύρᾳ] κατὰ τῆς Κερκύρας ἔπλεον. 17. Οἱ δὲ] οἱ Κερκυραῖοι. 21. Σφᾶς] τοὺς Ἀθηναίους.

2. μὴ om. g.
4. διέφθειρεν K.P.d.e.
6. τριακοσίων N.
7. τι om. Q.
9. διεπέμποντο L.O.P.d.
12. κυλλήνης] μιτυλήνης d.i.
14. ἀλκείδας K.
ὥσπερ E.H.K.P.g.
16. ἕῳ] ἕως P.
18. τῇ om. e.
20. Illa παραινούντων—ἐκπλεῦσαι citat Th. in βούλομαι, omissa particula τε. Dux.

ἅμα ἐκείνους ἐπιγενέσθαι. ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολ- verso staret, seditio eru-
ἐμίοις ἦσαν σποράδες αἱ νῆες, δύο μὲν εὐθὺς ἠτομόλησαν, pit;
ἐν ἑτέραις δὲ ἀλλήλοις αἱ ἐμπλέοντες ἐμάχοντο· ἦν δὲ οὐ-
δεὶς κόσμος τῶν ποιουμένων. ἰδόντες δὲ οἱ Πελοποννήσιοι
τὴν ταραχὴν εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς Κερκυραίους ἐτάξ-
αντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθη-
ναίων, ὧν ἦσαν αἱ δύο, Σαλαμινία καὶ Πάραλος. * καὶ οἱ 78.
μὲν Κερκυραῖοι κακῶς τε καὶ κατ' ὀλίγας προσπίπτοντες quare Athe-
ἐταλαιπωροῦντο καθ' αὑτούς· οἱ δ' Ἀθηναῖοι, φοβούμενοι nienses quoque se
τὸ πλῆθος καὶ τὴν περικύκλωσιν, ἀθρόαις μὲν οὐ προσέ- recipere co-
πιπτον οὐδὲ κατὰ μέσον ταῖς ἐφ' ἑαυτοὺς τεταγμέναις, acti sunt.
προσβαλόντες δὲ κατὰ κέρας καταδύουσι μίαν ναῦν. καὶ
μετὰ ταῦτα κύκλον ταξαμένων αὐτῶν περιέπλεον καὶ
ἐπειρῶντο θορυβεῖν. γνόντες δὲ οἱ πρὸς τοῖς Κερκυραίοις,
καὶ δείσαντες μὴ ὅπερ ἐν Ναυπάκτῳ γένοιτο, ἐπιβοηθοῦσι·
καὶ γενόμεναι ἀθρόαι αἱ νῆες ἅμα τὸν ἐπίπλουν τοῖς Ἀθη-
ναίοις ἐποιοῦντο. οἱ δ' ὑπεχώρουν ἤδη πρύμναν κρουόμενοι,
καὶ ἅμα τὰς τῶν Κερκυραίων ἐβούλοντο προκαταφυγεῖν
ὅτι μάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωροῦντων, καὶ πρὸς

1. Πρὸς τοῖς πολεμίοις] πλησίον τῶν πολεμίων. 2. Ἠτομόλησαν] πρὸς τοὺς ἐναντίους. 3. Ἀλλήλοις] οὐχὶ τοῖς ἐναντίοις. 4. Τῶν ποιουμένων] τῶν γινομένων πραγμάτων. 5. Τὴν ταραχὴν] τῶν Κερκυραίων τὴν ἀσυνταξίαν. Πρὸς τοὺς Κερκυραίους ἐτάξαντο] κατὰ τῶν Κερκυραίων παρετάξαντο. 6. Πρὸς τὰς δώδεκα ναῦς] παρετάξαντο δηλονότι. 8. Κακῶς τε καὶ κατ' ὀλίγας] ἀτάκτως καὶ μετὰ ὀλίγων νεῶν. 10. Τὸ πλῆθος] τῶν νεῶν τῶν Πελοποννησίων. Τὴν περικύκλωσιν] τὸ περικυκλεῖσθαι ὑπὸ τῶν Πελοποννησίων. Ἀθρόαις μὲν] ταῖς ἐναντίαις ναυσί. 15. Δείσαντες] οἱ Πελοποννήσιοι. 17. Οἱ

1. ἐκείνους e.
5. ναῦς c.
7. Πάραλος] Adeas Ulpianum in Demosth. Mid. p. 216. c. Wass.
10. τὴν om. g.
11. ἑαυτοῖς E.b. αὐτοὺς c.f.
12. προσβάλλοντες L.O.P. προσβαλόντων i.
13. αὐτῶν om. g.
16. αἱ om. Q.
17. κρουσάμενοι c.f.
18. ταῖς O.
19. ἑαυτῶν om. K. ante ὅτι ponit B. post ὅτι h.

σφᾶς τεταγμένων τῶν ἐναντίων. ἡ μὲν οὖν ναυμαχία τοιαύτη γενομένη ἐτελεύτα ἐς ἡλίου δύσιν.

79. Cercyrsi, veriti, ne, quod Brasidas sussisse fertur, victores impetum faciant in urbem, eam custodiunt;

Καὶ οἱ Κερκυραῖοι, δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν, ὡς κρατοῦντες, οἱ πολέμιοι ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν ἢ καὶ ἄλλο τι νεωτερίσωσι, τούς τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ Ἡραῖον διεκόμισαν καὶ τὴν πόλιν ἐφύλασσον. οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι, κρατοῦντες τῇ ναυμαχίᾳ, τρεῖς δὲ καὶ δέκα ναῦς ἔχοντες τῶν Κερκυραίων ἀπέπλευσαν ἐς τὴν ἤπειρον, ὅθενπερ ἀνηγάγοντο. τῇ δ' ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, καὶ Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμμην τὸ ἀκρωτήριον ἀποβάντες ἐπόρθουν τοὺς ἀγρούς.

80. Cumque idem persuasissent civibus adversariis, Peloponnesii, vastata insulæ parte, abeunt, et mox cer-

* ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ, περιδεὴς γενόμενος μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς τε ἰκέταις ἦσαν ἐς λόγους καὶ τοῖς ἄλλοις, ὅπως σωθήσεται ἡ πόλις. καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐσβῆναι· ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα, [προσδεχόμενοι τὸν ἐπίπλουν]. οἱ δὲ Πελοποννήσιοι μέχρι

δ'] οἱ Ἀθηναῖοι. 4. Κρατοῦντες] τῇ ναυμαχίᾳ οἱ Πελοποννήσιοι. 7. Ἐπὶ μὲν τὴν πόλιν] κατὰ τῆς πόλεως ἦγον τῶν πολιτῶν. 10. Οὐδὲν μᾶλλον]

3. πλεύσαντες Q.g.
5. ἢ] εἰ K.
καὶ om. e.
6. πάλιν L.O.P.Q.
ἥραιον B.E. Sic infra c. 81. A.B.E.
8. τῇ om. Q.
τρισκαίδεκα δὲ A.E.H.K.L.N. O.P.Q.c.e.f.g. τρεῖς καὶ δέκα, omisso δὲ, B.h.
10. ἀνήγοντο Q.
11. ἐπέπλεον om. d.
12. βρασίδα c.f.
13. λευκίμμην B.E.H.c.h. Λευκίμμην] Ita lib. I. cap. 30, 31. corrupte apud Strabonem κατὰ τὴν Λευκίμμην. aliter Plin. Ptolemæus λεύκιμμα, et in MS. Coislin. etiam corruptius λεύκιμα. Wass.
16. οἰκέταις L.O.P.
18. νῆας g.
ἐσβῆναι B.E.F.H.I.K.L.N.O. P.d.e.f.g.h.i. ἐμβῆναι A. vulgo ἐμβῆναι.
19. προσδεχόμενοι τὸν ἐπίπλουν] om. A.F.H.g. in margine ponunt B.h.

μέσου ἡμέρας δηώσαντες τὴν γῆν ἀπέπλευσαν, καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων προσπλέουσαι ἀπὸ Λευκάδος· ἃς οἱ Ἀθηναῖοι, πυθανόμενοι τὴν στάσιν καὶ τὰς μετ' Ἀλκίδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν, ἀπέστειλαν, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν. οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερεγνώοντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες, ἃς ἐπλήρωσαν, ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν, ὅσους ἔπεισαν ἐσβῆναι, ἐκβιβάζοντες ἀπεχώρησαν, ἐς τὸ Ἡραῖόν τε ἐλ-

tiores duxe- de, advenæ LX. naviun Atticarum.

81. Quo facto statim eadem nocte domum contendunt, præter littora navigantes et super Leucadiæ isthmum naves per machinas transvehentes, ne conspicerentur. Corcyræi interim, sub Atheniensi classi tute-

ἤγουν οὔθ' ὅλως. 1. Τὰ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν] ἀντὶ τοῦ, ἀρχομένης ἡμέρας διὰ πυρσῶν ἐμηνύθησαν. 7. Ἐκομίζοντο ἐπ' οἴκου] ἐπεραιοῦντο. 8. Ὑπερενεγκόντες] ὑπερβιβάσαντες. Ὅπως μὴ περιπλέοντες ὀφθῶσιν] ὅπως μὴ περιπλέοντες ἔξωθεν τὴν Λευκάδα καὶ τὸν Ἰσθμὸν, φαιεθῶσιν ὑπὸ τῶν Ἀθηναίων. 9. Ἀποκομίζονται] ἀποπλέουσιν. 11. Οἰχομένας] ἀποπλευσάσας. Τούς τε Μεσσηνίους] οὓς ὁ Νικόστρατος ἐν Ναυπάκτῳ πεντακοσίους ἤγαγεν. 13. Ἐπλήρωσαν] ἀνδρῶν δηλονότι. 14. Ἐν ὅσῳ] χρόνῳ δηλονότι. Περιεκομίζοντο] περιέπλεον. 15. Λάβοιεν] ἀντὶ τοῦ ἔλαβον.

1. μέσης d.
καὶ om. L.P.
3. πλέουσαι I.
4. ἀλκείδου c.f.
5. τὸν] τῶν A.B.E.H.c.
9. Κερκυραῖοι δὲ — Λακεδαιμονίους] Dion. Halic. p. 150. Wass. Dionysius Thucydideam rei apud Corcyræos gestæ narrationem laudat, ut perspicuam, brevem, et plenam; quæ de communibus Græcarum civitatum malis addit, ea, tamquam tragica, et obscuros atque implicitos verborum ac sententiarum nexus habentia, et a communi usu sermonis abhorrentia, reprehendit. Duk.
10. αἰσθανόμενοι Dionysius.
ἐσπλεούσας c.
13. ὑλιακὸν L.
15. ἀπέκτειναν e.f.
16. ἐκβιάζοντες A.B.
ἀπεχώρησαν Dionysius p. 150.
ἀπεχῶντο γρ. F.N.e.
Ἀπεχώρησαν] E vulgata scriptura, quidquid eam Portus torqueat, nihil boni sensus elici po-

la, ira grassantur in adversarios, partim et privatas inimicitias ulciscuntur. Eo processit odium et crudelitas, ut ad altaria deorum trucidare vel inde vi abstrahere supplices religio non esset, et filium pater

θόντες τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν, καὶ κατέγνωσαν πάντων θάνατον. οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο, οἱ δ', ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο. ἡμέρας τε ἑπτὰ, ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἐξήκοντα ναυσὶ παρέμεινε, Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν, ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων σφίσιν

4. Ἀλλήλους] νῦν ἀντὶ τοῦ ἑαυτούς. Ἐκ τῶν δένδρων τινὲς] μετεωριζόμενοι δηλονότι. 6. Ἡμέρας τε ἑπτὰ] ἦγουν καθ' ἡμέρας τε ἑπτά. 7. Σφῶν αὐτῶν] ἤγουν ἑαυτῶν. 8. Τὴν μὲν αἰτίαν ἐπιφέροντες] τὸ ἔγκλημα. ἤγουν ἐγκαλοῦντες ἔγκλημα κοινὸν τὴν κατάλυσιν τοῦ δήμου. 10. Καὶ ἄλλοι χρημά-

test. Eam, quæ in marg. Cod. Cl. notata est, confirmat Suidas; Θουκυδίδης ἀπεχρῶντο, ἀντὶ τοῦ ἀνῄροντο. Idem ex Aristoph. Lemniis, quem locum etiam ante oculos habuit Pollux IX. 154. adfert, τοὺς ἄνδρας ἀπεχρήσαντο, pro διεχρήσαντο καὶ ἀπέκτειναν. Pollux VIII. 74. ἐπὶ τοῦ ἀνελόντος ῥητέον, ἀνεῖλεν — ἀπεχρήσατο. Et Hesych. ἀπεχρήσαντο, ἀπέκτειναν. Thucydidem eadem significatione dixisse ἀνεχρήσαντο, scribit Suidas. Hoc Kustero suspectum est: sed sic quoque Pollux l. d. ubi vid. quæ adnotant Doctiss. Interpretes. De varietate scripturæ voc. Ἥραιον agit Sylburg. ad Dionysium. Duk.

1. οἰκετῶν L.
2. ἀπάντων Dionysius.
4. διέφθειραν I.d.
ἀλλήλους ἐν τῷ ἱερῷ e.
5. ἀνῃροῦντο Q.

Ἀνηλοῦντο] Suidas ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες, Θουκυδίδης. Et, ἀνήλευται, πεφόνευται. Æschyl. Sept. cont. Theb. 819. Αὐτὸς δ' ἀναλοῖ ὄῆτα δύσστονον γένος. Schol. ἀπόλλυσι. Duk.

6. ἃς om. K.

ἀφικόμενος ὁ εὐρυμέδων B.E.H. g.h. cum Dionysio: ἀφικόμενός τε εὐρυμέδων K. ceteri ἀφικόμενος εὐρυμέδων.

7. κερκυραῖοι A.B.E.F.H.K.L. N.O.P.Q.c.d.e.f.g.h.i. ceteri οἱ κερκυραῖοι.

9. δὲ καί τινες K.

Τοῖς τὸν δῆμον καταλύουσιν] Etsi non magnopere probo sententiam Porti τοῖς pro αὐτοῖς poni putantis, quod frequentius pro τούτοις dicitur, et ἐν τοῖς, pro ἐν τούτοις: vid. ad cap. 17. hujus libri; tamen consentientibus libris in hanc scripturam nihil tentandum est. Sed credo alios potius dicturos fuisse, αἰτίαν ἐπιφέροντες, ὡς, vel αἰτίαν ἐπιφέροντες αὐτοῖς, ὡς τὸν δῆμον καταλύουσιν. Nam αἰτία sæpe post se habet particulam ὡς cum participio. Thucyd. II. 59. τὸν μὲν Περικλέα

ὀφειλομένων ὑπὸ τῶν λαβόντων· πᾶσά τε ἰδέα κατέστη θανάτου, καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδέν τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω. καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο, καὶ πρὸς αὐτοῖς ἐκτείνοντο, οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ

occideret. Et gravior etiam, quam vere fuit, vist est seditio, quod prima.

των] ἀπέθανον δηλονότι. 1. Τὰ τῶν λαβόντων] τὰ χρήματα. τῶν δανεισαμένων. Πᾶσά τε ἰδέα] πάντα δηλαδὴ τὰ εἰωθότα ἐν ταῖς στάσεσι γίνεσθαι τότε συνέβη, καὶ ἄλλα δὲ περισσότερα ἐν ταύτῃ τῇ στάσει. ὥστε ὑπὲρ πάσας τὰς ἄλλας ἐγένετο. 2. Καὶ, οἷον φιλεῖ ἐν τῷ τοιούτῳ] καὶ οἷον ἔθος ἐστὶν ἐν τοιαύτῃ στάσει. Οὐδέν τι οὐ] ἀντὶ τοῦ πᾶν. 5. Περιοικοδομη-

ἐν αἰτίᾳ εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν. Dionys. Halicarn. VIII. 81. καὶ ἐν αἰτίᾳ τοὺς πρότερους εἶχον δημάρχους, ὡς προδεδωκότας τὸ κοινόν. Herodian. IV. 6. τήν τε Κομμόδου ἀδελφὴν — ἀπέκτεινεν, αἰτίαν ἐπαγαγὼν, ὡς δακρυσάσῃ παρὰ τῇ μητρί. Καταλύειν τὸν δῆμον non raro legitur apud Thucydidem, et alios. Aristotel. V. Politic. 5. aliquoties sine discrimine dicit καταλύειν τὸν δῆμον, et καταλύειν τὴν δημοκρατίαν. Contenderunt inter se de versione Latina hujus phraseos Heraldus II. Observat. et Emend. 49. et Salmasius Observat. ad Jus Attic. et Roman. cap. 10. p. 296. Ei, quod in fine cap. dicit, ἐν τοῖς πρώτῃ ἐγένετο, simile est I. 6. ἐν τοῖς πρώτοις δὲ Ἀθηναίων — ubi tamen Stephanus præferebat πρώτοις. Duk.

1. ὑπολαβόντων τῶν ὀφειλόντων d.i.

Πᾶσά τε ἰδέα] Hæc imitatione sua atque exemplo comprobant Sallustius, et Virgilius. Sallust. Jug. XLVIII. postremo, quæcumque *dici*, aut *fingi* queunt ignavia, luxuriæque probra, in illo exercitu *cuncta* fuere, et *alia amplius*. Virgil. Æn. II. 369. " crudelis ubique Luctus, ubi- " que pavor, et *plurima* mortis " *imago*." Wass.

3. οὐ] μὴ i. καὶ K.

Καὶ ἔτι περαιτέρω] Adnotat Casaub. ad Dionys. Halic. p. 36. adfine esse hoc Dionysii XI, 39. δεινὰ καὶ πέρα δεινῶν. Duk.

4. πρὸς om. B. inter versus habet h.

αὐτοὺς A.B.H. αὐτοῦ E.

5. καὶ οἱ περιοικοδομηθέντες Dionysius.

Περιοικοδομηθέντες] Conf. huc, quæ de hac voc. deque κατοικοδομεῖν et ἐγκατοικοδομεῖν adnotat Valesius ad Harpocrat. in κατῳκοδόμησεν. Περιοικοδομεῖν etiam recte vertas *muro includere*. Hygin. Fab. LXIII. de Danaë: *Acrisius eam in muro lapideo præclusit*. Sed in eo, quod ibi adfert Vales. ex Apollodori II. 5. princ. de pugna Herculis cum leone Nemæeo, αὐτοῦ (τοῦ σπηλαίου) τὴν ἑτέραν ἀνῳκοδόμησεν εἴσοδον, mihi suspectum est ἀνῳκοδόμησεν. Lycurgus Rhetor quidem Orat. advers. Leocratem de Pausania, Duce Græcorum ad Platæas, agens p. 183. Edit. Hanov. itidem scribit, τὴν θύραν ἀνῳκοδομήσαντες, quod Interpres vertit *januam instaurantes*: sed hoc quoque in mendo cubare mihi persuadeo. Nam Thucyd. I. 134. de ea re dicit, καὶ τὰς θύρας ἀπῳκοδόμησαν. Diodor. Sicul.

Διονύσου τῷ ἱερῷ ἀπέθανον. οὕτως ὠμὴ στάσις προὐχώρησε· καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο,
82—84. Quæ crudelitas posthac omnes Græciæ urbes, seditionibus ortis, invasit. Temeritas laudata, insidiæ, dolus, falsa fides; damnata simplicitas, prudens sed lenta consultatio, indulgentia. Illis gloria-
*ἐπεὶ ὕστερόν γε καὶ πᾶν, ὡς εἰπεῖν, τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ τοῖς τε τῶν δήμων προστάταις, τοὺς Ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς ὀλίγοις, τοὺς Λακεδαιμονίους, καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφασιν, οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς· πολεμουμένων δὲ, καὶ ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν ἐναντίων κακώσει καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει, ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τι βουλομένοις ἐπορίζοντο. καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν καὶ ἀεὶ ἐσόμενα, ἕως ἂν ἡ

θέντες] κτίσμασι περιληφθέντες. 1. Οὕτως ὠμὴ στάσις] ἀντὶ τοῦ εἰς ὠμότητα πολλὴν ἡ στάσις προεχώρησε. καὶ μᾶλλον (φησὶν) ὠμὴ ἔδοξεν ἤπερ ἐγένετο, ἐπειδὴ πρώτως ἐν τῷ πολέμῳ γενομένη ἐξένισεν αὐτοὺς, παρὰ τὸ εἰωθὸς γενομένη. 2. Ἐν τοῖς] ἤγουν τοῖς Κερκυραίοις. 3. Ἐπεὶ ὕστερόν γε] ἤγουν μετ' ἐκείνην. Πᾶν τὸ Ἑλληνικὸν] ἀντὶ τοῦ πάντες οἱ Ἕλληνες. 5. Τοὺς Ἀθηναίους ἐπάγεσθαι] λείπει τὸ ἀξιούντων. 6. Λακεδαιμονίους] εἰκότως οἱ ὀλιγαρχικοὶ τοὺς Λακεδαιμονίους ἐπεκαλοῦντο, ἐσπουδακότας ὀλιγαρχεῖσθαι τὰς πόλεις. Οὐκ ἂν ἐχόντων πρόφασιν] ἀντὶ τοῦ αἰτίαν οὐκ ἐχόντων πρὸ τοῦ πολέμου καλεῖν αὐτοὺς τῶν Ἑλλήνων, νῦν δὲ λαβόντων ἀφορμὴν διὰ τὸ ἐχθροὺς εἶναι ἀλλήλοις Λακεδαιμονίους καὶ Ἀθηναίους. 8. Καὶ ξυμμαχίας ἅμα] ἡ διάνοια τοιαύτη· οἱ προεστῶτες τῶν δήμων καὶ οἱ ὀλιγαρχικοὶ ῥᾳδίως ἑκάτεροι, παρὰ Ἀθηναίοις καὶ Λακεδαιμονίοις, ἐπήγοντο, διὰ προσποίησιν συμμαχίας, δύναμιν ἑαυτοῖς ποιούμενοι, τῶν μὲν Ἀθηναίων ἑτοίμως ὑπακουόντων τοῖς δημοτικοῖς, ἵνα προσποιήσωνται συμμάχους αὐτοὺς, καὶ δι' αὐτῶν βλάψωσι Λακεδαιμονίους, τῶν δὲ Λακεδαιμονίων ὁμοίως τοῖς ὀλιγαρχικοῖς διὰ τὸ αὐτό. 9. Σφίσιν αὐτοῖς] ἤγουν ἑαυτῶν. Προσποιήσει] κτήσει βοηθείας. 11. Καὶ ἐπέπεσε] συνέβη. Πολλὰ] κακὰ δηλονότι. Καὶ χαλεπὰ] ἤγουν οὐ ῥᾴδια ἐνεγκεῖν τοὺς πάσχοντας. Κατὰ στάσιν] ἀντὶ τοῦ διὰ στάσιν. 12. Γιγνόμενα μὲν] ὡς τῇ φύσει ἑπόμενα. Ἡ αὐτὴ φύσις] ἤγουν καθὸ τρεπτή.

XI. 265. λέγεται τοὺς Λακεδαιμονίους ἐνοικοδομῆσαι τὴν εἴσοδον. Et Polyæn. VIII. 51. τὸν προδότην ἐνοικοδομήσαντες διέφθειραν. Duk.

2. ὅτι g.
ἐν om. B.
3. ἐπειδὴ g.
4. διαφθορῶν A.B.
τῷ δήμῳ c.

Τοῖς τῶν δήμων προστάταις] Aristotel. V. Politic. 7. Οἱ μὲν γὰρ Ἀθηναῖοι πανταχοῦ τὰς ὀλιγαρχίας, οἱ δὲ Λάκωνες τοὺς δήμους κατέλυον. Duk.

9. προσποιήσειν g.
10. αἱ om. A.
τι om. d.
11. πολλὰ χαλεπὰ c.f.

αὐτὴ φύσις ἀνθρώπων ἦ, μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπέ-

bantur, has vituperabant.

1. Μᾶλλον δὲ] μᾶλλον δὲ καὶ ἧττον. οἷον εἰπεῖν, ἐν ἄλλῃ πόλει μᾶλλον, ἐν ἄλλῃ δὲ ἧττον, τῇ μὲν πλέον, τῇ δὲ ἔλαττον, ὡς συνέβαινεν ἑκασταχοῦ. Καὶ ἡσυχαίτερα] ἤγουν ἠρίμα καὶ κατ' ὀλίγον ἐπερχόμενα. 2. Τοῖς εἴδεσι] τρόποις. Ὡς ἂν ἕκασται αἱ μεταβολαὶ] ὡς ἂν αἱ τύχαι καὶ αἱ μεταβολαὶ πίπτωσι. 4. Καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσιν] οἱ ἰδιάζοντες ἀνειμένας ἔχουσι τὰς γνώμας. 5. Διὰ τὸ μὴ ἀκουσίους] ἀκούσιον ἀνάγκην τὴν δι' ἀπορίαν γιγνομένην λέγει. ἤγουν, διὰ τὸ μὴ ἀναγκάζεσθαι περιπίπτειν ἀκουσίοις πράγμασι. 6. Τοῦ καθ' ἡμέραν] βίου δηλονότι. 7. Πρὸς τὰ παρόντα] πρὸς τὴν παροῦσαν κατάστασιν. τοῖς παροῦσιν ἐξομοιοῖ τὰς γνώμας. τῶν γὰρ ὀργὰς τὰς γνώμας καὶ τοὺς τρόπους ἐκάλεσεν. 8. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων] ἐστασίαζον αἱ πόλεις. καὶ αἱ ὕστερον τῶν ἄλλων στασιάζουσαι, οἷα προπετευσμέναι τὰς ἑτέρωθι στάσεις, ἐπὶ τοῦτο ἐφέροντο καὶ ἔβρεπον ταῖς διανοίαις, ὥστε κατὰ πολὺ ὑπερβαλάσθαι τὰς ἀλλαχοῦ στάσεις γινομένας. Καὶ τὰ ἐφυστερίζοντά που] τὰ ὕστερον γινόμενα.

1. *φύσις τῶν ἀνθρώπων* B.h.
ἡσυχαίτερα K. quem comparativum hujus loci auctoritate rejicit Thomas M. *ἡσυχίστερα* e.
καὶ om. i.
2. *ἤθεσι διηλλαγμένα ὡς* A. *ἕκαστα* A.B.E.g.
3. *τῶν ἀρῶν ξυντυχιῶν* c.
7. *τὸ παρὸν* L.O.
ὁρμὰς L.O.P.d.
8. *Ἐστασίαζέ*] Corrupte, qui hæc damnat, D. Halic. p. 150. *ἐστασίαζον* citat. Infra tamen recte, *τὴν εὐθυδίαν τῶν ἀνωμότων ἀξίωσιν* ordine paulo venustiore haud semel exhibet. Cæterum hæc gravissimo Script. Sallust. minime displicuerunt. Vide nos ad Catilin. LVI. Adde Aristotelem Rhet. I. 9. p. 724. Philonem de Fortitud. p. 571. Plutarchum in Solone p. 86. Lucret. IV. 1154. Tacitum Agric. XXI. Wass. Dionysius Halic. l. d. partem hujus digressionis de seditionibus urbium Græcarum, usque ad verba *ἐπὶ δὲ τῷ δηλέλωνται*, adcurate examinat, et, quid in singulis prope periodis reprehendi mereatur, ostendit. Dur.
9. *ὑφυστερίζοντά* g.
πίστει Q.
προγεγονομένων c. cum Dionysio p. 164. *προσγενομένων* e.

φερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπὴς, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν. τὸ δ' ἐμπλήκτως ὀξὺ ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποστροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων πιστὸς ἀεὶ, ὁ δ' ἀντιλέγων αὐτῷ ὕποπτος. ἐπιβουλεύσας

1. Καινοῦσθαι] καινοτόμα εἶναι. Τῶν τε ἐπιχειρήσεων] τοῖς τρόποις τῶν ἐπιχειρήσεων καινοῖς εὑρισκομένοις, καὶ τῇ δεινότητι τῶν τιμωριῶν. 2. Περιτεχνήσει] περιοιᾳ. Ἀτοπίᾳ] τῷ ἀήθει. Καὶ τὴν εἰωθυῖαν ἀξίωσιν] ἀξίωσιν μὲν τὴν σημασίαν εἶπε· δικαιώσει δὲ, ἀντὶ τοῦ τῇ ἑαυτῶν δικαίᾳ κρίσει. βούλεται δὲ εἰπεῖν ὅτι μετέθεσαν τὰ ὀνόματα. οὐ γὰρ ὡς νενόμιστο κρίσθεν, ἐχρῶντο κατὰ τῶν πραγμάτων, ἀλλὰ μεθάρμοσαν κατὰ τὴν ἑαυτῶν κρίσιν. τὴν μὲν γὰρ ἀλόγιστον τόλμαν (ἣ καὶ θρασύτης καλεῖται) ἀνδρείαν προσηγόρευσαν. τὸ δὲ φιλέταιρος παρελκόντως κεῖται. κέχρηται δὲ αὐτῷ διὰ τὸ προσθεῖναι τόλμαν ἀλόγιστον, ἵνα παρίσωσις γένηται. 4. Τόλμα μὲν γὰρ ἀλόγιστος] τὸ τολμᾶν ἀλογίστως. 5. Μέλλησις δὲ] τὴν δ' εὐλάβειαν καὶ τὴν μέλλησιν τὴν διὰ πρόνοιαν γιγνομένην δειλίαν ὠνόμασαν εὐπρεπῆ. τὴν δὲ σωφροσύνην (φησὶν) ἀνανδρείας προκάλυμμα ἔφυτο. καὶ τὸ πρὸς πάντα συνετὸν πρὸς πάντα ἀργὸν ἔλεγον. τὸ δὲ μανικῶς ὀξὺ ἀνδρεία παρ' αὐτοῖς ἐνομίζετο. τὴν κειμένην γὰρ (φησὶ) τῶν ὀνομάτων χρῆσιν ἀντήλλαξαν. καὶ ἐπιφέρει εὐθὺς καθ' ἕκαστον. 6. Καὶ τὸ πρὸς ἅπαν ξυνετὸν] καὶ τὸ μετὰ συνέσεως ἔρχεσθαι εἰς πᾶν ἔργον. 7. Ἐμπλήκτως] μανιωδῶς. Ἀνδρὸς] τῆς ἀνδρείας. 8. Ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι] τὸ ἐπικρυβδὴν βουλεύσασθαι δι' ἀσφάλειαν τρόφασις ἀποτροπῆς ἐνομίζετο. 10. Αὐτῷ] τῷ χαλεπαίνοντι.

1. τοῦ] ἐς τὸ Dionysius.
καινοῦσθαι A.B.E.h.
τ' om. K.

3. Τὴν εἰωθυῖαν — ἀργόν] Laudat Plutarch. de Adul. p. 56. vid. nos ad Sallust. Orat. Catonis. Eadem ad δικαιώσει D. Hal. pag. 151. qui τὴν εἰωθ. τῶν ὀν. ἀξ. non male. Wass.

4. Τόλμα — ἀργόν] Dionys. Halicarn. p. 136. ubi ἀνδρεία scribit, et πρόσχημα τοῦ ἀνάνδρου; proque προσέπαξ. non recte. Idem p. 151. cum editis. Et pag. 164. τόλμα μὲν, omisso γάρ. Τόλμα — πρόσχημα. Hermogenes I. περὶ Ἰδεῶν 6. qui ἀκριβῆς. hinc corrigendus. Wass. Ἀνδρεία etiam Plutarch. l. d. et Aristid. de Dict. Civ. pag. 192. Duk.

5. φιλαίταιρος A.H.P.Q.d.e.h.i.
6. πρὸς ἅπαν] παράταν L.O.P.
7. ἐκπλήκτως b.
8. τὸ] τοῦ L.O.P.
ἐπιβουλεύεσθαι K.

δέ τις τυχὼν ξυνετὸς, καὶ ὑπονοήσας ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν δεήσει τῆς τε ἑταιρίας διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν· οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελίας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο ἢ τῷ κοινῇ

1. Καὶ ὑπονοήσας ἔτι δεινότερος] ἐπιβουλεύεσθαι δηλονότι, ξυνετώτερος ἐνομίζετο. Προβουλεύσας δὲ] ὁ δὲ προσκοπῶν, δηλονότι ὅπως μήτε ἐπιβουλεύειν μήτ' ἐπιβουλεύεσθαι ἀνάγκη τις αὐτῷ γένηται, διαλύειν τὴν ἑταιρίαν ὑπωπτεύετο. 3. Ἁπλῶς δὲ] καθολικῶς φάναι. 4. Ὁ φθάσας τὸν μέλλοντα] ἀντὶ τοῦ, ὁ πρὶν παθεῖν ὑπὸ τῶν πολεμίων αὐτὸς προλαβὼν καὶ ποιήσας τοὺς πολεμίους, ἐθαυμάζετο. ἡ οὗτος, ὁ τὴν ἑαυτοῦ ἑταιρίαν καὶ πρῶτος τὸν πολέμιον δράσας κακῶς ἐπῃνεῖτο. Καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον] ὁ παρακελευσάμενος τοῖς μὴ διανοουμένοις κακόν τι δρᾶσαι, ἐπῃνεῖτο. ὁ παραινήσας, φθάσαι δηλονότι, τὸν μὴ διανοούμενον. 5. Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ] καὶ μὴν καὶ οἱ συγγενεῖς (φησὶ) τῶν φίλων ἀλλοτριώτεροι ἐνομίζοντο, διὰ τὸ ἑτοιμότερον τολμᾶν ὑπὲρ τῶν φίλων τοὺς φίλους ἢ τοὺς συγγενεῖς. 7. Μετὰ τῶν κειμένων νόμων] οὐ γὰρ κατὰ τοὺς κειμένους (φησὶ) νόμους ὠφελεῖσθαι θέλοντες, τοιαύτας ἐποιοῦντο συστάσεις καὶ ἑταιρίας, ἀλλὰ παρὰ τοὺς ὑπάρχοντας νόμους, διὰ πλεονεξίαν τοῖς ὀρθῶς (φησὶν,) ὑπὸ τῶν ἐξ ἐναντίας λεγομένοις ἐπείθοντο, οὐ δι' εὐγνωμοσύνην οὐδὲ δι' ἁπλότητα, ἀλλὰ εἰ ἔργῳ κρείσσους ἦσαν αὐτοὶ τῶν ἐναντίων, καὶ ἐν τῷ ἀσφαλεῖ καθεστήκεσαν. 8. Παρὰ τοὺς καθεστῶτας] νόμους δηλονότι. 9. Καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις] πιστοὶ (φησὶν) ἦσαν ἀλλήλαις, οὐχ ὅρκους διδόντες, ἀλλὰ κοινῶς τι παράνομον πράξαντες. 10. Τῷ κοινῇ τε

1. τι τυχὼν τε ξυνετὸς Dionysius, eo quo Virgilius sensu: Ausi omnes immane nefas ausoque potiti. Wass.

Καὶ ὑπονοήσας] Dionysius p. 151. ita interpretatur: καὶ οἱ τὰς ἐπιβουλὰς προεπινοοῦντες, εἰ φυλάξαιντο, ἔτι δεινότεροι. Et sequentia προβουλεύσας cet. ὁ δὲ προειδόμενος, ὅπως μηδὲν αὐτῷ δεήσει μήτ' ἐπιβουλῆς, μήτε φυλακῆς. Duk.

2. δεήσει A.B.E.H.I.P.c.d.e. f.g.h.i. vulgo δεήσοι.

τε om. i.

ἑταιρείας A.c.f.i.

3. διαλύτης E.

4. ὃς μὴ ἐπικελεύσαντος διανοούμενον d.

5. τὸν] τοῦ B.

6. τὸ ἀλλοτριώτερον K.

7. εἶναι διὰ τὸ ἀπροφ. i.

μετὰ τῆς τῶν e.

10. θείῳ καὶ νομίμῳ Dionysius: vulgatam a schol. Christiano introductam suspicatur Wassius.

ἐκρατοῦντο I.

τι παρανομῆσαι. τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἀνεδέχοντο ἔργων φυλακῇ, εἰ προὔχαιεν, καὶ οὐ γενναιότητι. ἀντετιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ προπαθεῖν. καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν· ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ τό τε ἀσφαλὲς ἐλογίζετο καὶ ὅτι ἀπάτῃ περιγενόμενος ξυνέσεως ἀγώνισμα προσελάμβανε. ῥᾷον δ' οἱ πολλοὶ κακοῦργοι ὄντες δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς ἀγαθοί, καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. πάντων δ'

παρανομῆσαι] τῇ κοινῇ παρανομίᾳ. 2. Γενναιότητι] ἀντὶ τοῦ χρηστότητι καὶ ἀπλότητι. 3. Περὶ πλείονος] περὶ πλείονος ἐποιοῦντο δρᾶσαί τι κακὸν τοὺς ἐναντίους, ἢ αὐτοὶ μὴ παθεῖν. ἀντὶ τῶν ἁπλῶν γὰρ τὸ ἀντιτιμωρήσεσθαι καὶ τὸ μὴ προπαθεῖν. 4. Καὶ ὅρκοι εἴ που ἄρα γένοιντο] καὶ ἐπίτε (φησὶν) ὅρκους παρέσχομεν ἀλλήλοις περὶ διαλλαγῆς, παραυτίκα μόνον ἴσχυον οἱ ὅρκοι, καὶ μέχρι τούτου ἐπίστευον αὐτοῖς, ἕως ἐν ἀπορίᾳ τοῦ ἄλλως πιστεῦσαι καθεστήκεσαν. ὡς ἂν εἰ ἔλεγεν, εἰ ἦσαν ἐν ἀπορίᾳ τοῦ πιστεῦσαι τῇ ἑαυτῶν δυνάμει, καὶ ἐπιθέσθαι τῇ ἑτέρων δυνάμει, ἴσχυεν ἐν αὐτοῖς οἱ ὅρκοι· εἰ δὲ συνέβη τινὰ αὐτῶν δυνηθῆναι, παρ' οὐδὲν θέμενος τοὺς ὅρκους ἐπετίθετο. 6. Ἐν δὲ τῷ παρατυχόντι] ἐν δὲ τῷ συμβαίνοντι, καὶ τῷ μετὰ ταῦτα χρόνῳ, ὁ ἀπὸ τύχης ἐσχηκὼς πρῶτος τὸ θαρρῆσαι καὶ δυνηθῆναι ἡδύτερον μᾶλλον διὰ τὴν πίστιν ἐπετίθετο, ἅπερ ἐκ τοῦ προφανοῦς μαχόμενος. καὶ τότε μάλιστα ἀσφαλὲς ἐνόμιζε τὸ ἐπιτίθεσθαι, διὰ τὸ ἄφρακτον εὑρεῖν τὸν ἐναντίον, τοῦ ὅρκου τῷ θάρρει. καὶ διὰ τοῦτο δὲ ἥδιον μετὰ τῶν ὅρκων ἐτιμωρεῖτο, ὅτι δέξαν φρονήσεως ἐλάμβανε, τῇ ἀπάτῃ τοῦ ὅρκου καὶ τῇ τέχνῃ περιγενόμενος. 12. Τῷ μὲν] ἐπὶ τῷ ἀμαθεῖς καλεῖσθαι. Ἐπὶ δὲ τῷ] ἐπὶ τῷ πανοῦργοι καλεῖσθαι. Πάντων δ' αὐτῶν αἴτιον] πάντων δὲ τῶν εἰρημένων κακῶν αἴτιον ἦν ἡ ἐπιθυμία τοῦ βούλεσθαι ἄρχειν τῆς γῆς διὰ πλεονεξίαν καὶ φιλοτιμίαν. ἐκ τούτων δὲ ἡ

1. —λως—ἄρα] duo versus vacui in H.
2. ἀνεδέχοντο i.
4. γένοιντο] ἐγίγνοντο Dionysius.
5. τὸν ἄπορον L.O. τὴν ἄπορον P. τὰ ἄπορα F.
6. ἔχοντες d.
7. εἰ] ἢ E.d.i.
ἴδοι N.g. ᾖδει c,f.
8. Ἀπὸ τοῦ προφανοῦς est phrasis Thucydidi familiaris. Vid. I. 35. 66. et II. 93. Duk.
τότε] ὅτι d.
9. ἀνάγκῃ K.
περιγενόμενον d.
10. προελάμβανε d.
ῥᾷδιον A.F.H.g.h.
πολλοὶ om. c.
12. τὸ μὲν I.

αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῆσάν τε τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις που ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἑτοῖμοι ἦσαν τὴν αὐτίκα φιλονεικίαν ἐκπιμπλάναι. ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου οἷς ξυμ-

στάσις ἀρχὴν λαμβάνουσα (φημὶ δὴ τοῦ ἄρχειν καὶ τῆς πλεονεξίας καὶ φιλοτιμίας) ὕστερον λαμβάνει ἑτέραν τῶν κακῶν αἰτίαν, τὴν τῶν στασιαζόντων προθυμίαν, ὥσπερ εἰς ἕξιν ἐρχομένων αὐτῶν τοῦ περιγενέσθαι καὶ μὴ ἡττηθῆναι τῶν ἐναντίων. 1. Ἐκ δ' αὐτῶν] ἤγουν δι' αὐτά. 3. Οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες] οἱ γὰρ ἐν ταῖς πόλεσι προϊστάμενοι τῆς δημοκρατίας ἢ τῆς ὀλιγαρχίας, μετὰ ὀνόματος ἑκάτεροι εὐπροσώπου καὶ πιθανοῦ, οἱ μὲν λέγοντες προΐστασθαι τῆς δημοκρατίας τῆς ἐλευθέρας, οἱ δὲ τῆς ἀριστοκρατίας λέγοντες ἀντικοσμεῖσθαι τῆς σώφρονος, τὰ μὲν δημόσια νικήσαντες εἶχον, καὶ οὐ μέχρι τοῦ δικαίου καὶ τοῦ συμφέροντος τῇ πόλει τὰς τιμωρίας ἐποιοῦντο. ὑπερβιβάσαι δὲ δεῖ τὸ προτιθέντες, καὶ συντάξαι πρὸς τῷ ἀνωτέρω τοῦ, " τιμωρίας" προτιθέντες. 4. Ἑκάτεροι] ἑκάτερος ὅταν ὦσι δύο μόνοι. ἑκάτεροι δὲ λέγονται, ὅταν ὦσι πολλοὶ εἰς δύο μεμερισμένοι. Εὐπρεποῦς] πιθανοῦ, εὐσχήμονος. Πλήθους τε ἰσονομίας] ἤγουν δημοκρατίας. 6. Ἆθλα] ἕπαθλα, ἀντὶ τοῦ κέρδη. 8. Τὰς τιμωρίας ἔτι μείζους] ἤγουν τιμωρούμενοι ἐπιτεταμένας ἐποίουν. 12. Ὥστε εὐσεβείᾳ μὲν] ὥστε μετ' εὐσεβείας μὲν πρᾶξαί τι οὐδετέρῳ φρονῖς ἢν οἷδὲ σπουδή· οἷς τισὶ δὲ συνέβαινεν ἐξαπατήσασι διὰ λόγου τινὸς εὐπρεποῦς πρᾶξαί τι γενναῖον, οὕτω ἐτιμῶντο. τὸ δὲ εἴνθες τὸ ἄκλοῦν καὶ τὸ ἀπόνηρον δηλοῖ.

1. αἴτιον ἀρχὴ A.B.E.F.H.K. L.N.O.P.c.g.h. αἴτιον δ' ἀρχὴ d.i. ceteri αἴτιον ἡ ἀρχή.
2. φιλονικεῖν Q.
4. πολιτικῶν L.O.P.
7. περιγενέσθαι i.
9. προστιθέντες K. cum Dionysio : τιθέντες i.
10. ἡδονὴν ἀεὶ c.f.
12. ἐκτιμπλάναι A.B.E.F.H.K. d.f. ἐκπιπλάναι e. ἐμπιπλάναι L.O. P.g. vulgo ἐμπιμπλάναι.
εὐσέβειαν d.
13. λόγων N.

βαίη ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἤκουον. τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο
83. ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο. * οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ, καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη, τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως ἐπὶ πολὺ διήνεγκεν· οὐ γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρὸς οὔτε ὅρκος φοβερὸς, κρείσσους δὲ ὄντες ἅπαν-

1. Ἐπιφθόνως τι διαπράξασθαι] ἀντὶ τοῦ ἐπίφθονον καὶ μέγα. τὰ γὰρ μεγάλα καὶ φθονεῖται. Ἄμεινον ἤκουον] ἤγουν ἐπῃνοῦντο. Τὰ δὲ μέσα τῶν πολιτῶν] ἤγουν οἱ μέσοι πολῖται· ἤγουν οἱ μετὰ τοὺς προστάτας. οἱ δὲ μέσοι (φησὶ) τῶν πολιτῶν (τουτέστιν οἱ μηδετέρῳ μέρει προστιθέμενοι, μήτε τῷ τῶν δημοτικῶν μήτε τῷ τῶν ὀλιγαρχικῶν, ἀλλ' ἡσυχάζοντες καὶ μὴ θέλοντες στασιάζειν) ὑπ' ἀμφοτέρων ἐφθείροντο, ἢ ὅτι οὐ συνηγωνίζοντο τοῖς στασιώταις παρακαλοῦσιν, ἢ φθονούμενοι ὑπὸ τῶν στασιαζόντων, ὡς ἀπειθεῖς αὐτοῖς εἶναι θέλοντες. 4. Καὶ τὸ εὔηθες] τὸ ἁπλοῦν, τὸ ἀπόνηρον. σημείωσαι τὸ εὔηθες ἐπὶ καλοῦ. καὶ οἱ ἁπλοῖ τῶν ἀνθρώπων καὶ ἀπόνηροι (οὗτοι δέ εἰσιν οἱ μεγαλοψυχίας μάλιστα καὶ εὐγενείας μετέχοντες) καταγελώμενοι ὑπὸ τῶν στασιαζόντων, ἀπώλλυντο· οἱ δὲ ἀπιστοῦντες ἀλλήλοις, καὶ παρατεταγμένοι δεινῶς κατ' ἀλλήλων, ὡς ἐπιτηδειότατοι αὐτοὶ διεσώζοντο διὰ τῆς ἀπιστίας καὶ τῆς παρασκευῆς. 6. Τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις] τὸ ἀπιστεῖν ἀλλήλοις, τὸ ἐντεῦθεν ἀντιτάττεσθαι. 7. Ἐπὶ πολὺ διήνεγκε] κρεῖττον ἐγένετο. Ὁ διαλύσων] ὁ φιλιώσων. 8. Ὅρκος φοβερὸς] θεῖος. Κρείσσους δὲ ὄντες] βέποντες δὲ οἱ ἄνθρωποι τοῖς λογισμοῖς πρὸς τὸ μὴ ἐλπίζειν τινὰ πίστιν καὶ βεβαιότητα, προενοοῦντο μᾶλλον, ἵνα μὴ πάθωσιν αὐτοὶ κακῶς. πιστεῦσαι δὲ οὐκ ἐδύναντο· καὶ οἱ ἀσυνετώτεροι ὡς ἐπιτηδειότατον ἦτοι ἐσώζοντο ἢ ἐνί-

2. τῶν πολιτικῶν ἐπ' g.

4. κακοπραγίας c.d.f.

5. Τὸ εὔηθες] Τὸ χρηστὸν Mœris Attice, ἑλληνικῶς, ἀνόητον. Suidas in εὔηθες, ἐπὶ τοῦ βελτίονος, et Ἠθὺς, εὐήθης. ἐκάλουν δὲ οὕτω τοὺς ὑπομόρους. Etymol. idem fere tradit, sed ex Schol. Thucyd. Suidæ verba exscribit Photius in Lex. MS. Τὸ εὔηθες—μετέχει. Magister: Κατ' εὐφημισμόν. Wass. Eadem, quæ Suidas in εὔηθες, habet etiam ead. voc. Auct. Etymologici MSS. sive is Photius, sive alius est, Biblioth. Urbis Traject. ad Rhen. Pollux III. 119. inter ea, quæ ad laudem pertinent, recenset etiam εὐήθης et εὐήθεια. Mox addit: τάττοιτο δ' ἂν ὁ εὐήθης καὶ ἐπὶ τοῦ ἀνοήτου, ὃς ἂν λεχθείη καὶ μωρὸς— Et hoc sensu Æschyl. Prometh. 383. κουφόνουν εὐηθίαν, dicit, i. e. μωρίαν, ut Schol. Add. Gataker. cap. 3. de Stilo Nov. Instrum. et Hemsterhus. ad Lucian. Timon. p. 101. Duk.

6. ἀντετάχθαι F.H.

7. διαλύττων d.

8. ἰσχυρὸς d.f.i.

κρείττους Dionysius, qui et infra ἥττους.

τες· λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν ἢ πιστεῦσαι ἐδύναντο. καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλείω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τό τε αὐτῶν ἐνδεὲς καὶ τὸ τῶν ἐναντίων ξυνιδὸν, μὴ λόγοις τε ἥσσους ὦσι καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι ποεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθείροντο.

[Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολμήθη, 84.
καὶ ὑπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ σωφροσύνῃ ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀνταμυνόμενοι δράσειαν, πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες, μάλιστα δ' ἂν διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην γιγνώσκοιεν, οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ ἀπὸ ἴσου δὲ μάλιστα ἐπιόντες, ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον ἐκφερόμενοι, ὡμῶς καὶ ἀπαραιτήτως ἐπέλθοιεν. ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν καιρὸν τοῦτον τῇ πόλει, καὶ

